Ὣς φάθ'· ὁ δ' ἐκ μεγάροιο διέσσυτο, κέκλετο δ' ἄλλους
Ὀτρηρὺς θεράποντας ἅμ' ἑσπέσθαι ἑοῖ αὐτῷ.
Οἱ δ' ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγὸν ἰφθίμους·
Καὶ τὺς μὲν κατέδησαν ἐφ' ἱππείοισι κάπῃσι,
Πὰρ δ' ἔβαλον ζειὰς, ἀνὰ δ' ὄλυρα λευκὸν ἔμιξαν·
Ἅρματα δ' ἔκλιναν πρὸς οἰώπια παμφανόωντα,
Αὐτὺς δ' εἰσῆγον θεῖον δόμον· οἱ δὲ, ἰδόντες

Porrò in vestibulo ædium ipsique & equi,
Et Telemachus heros, & Nestoris inclytus filius,
Steterunt: ipse verò procurrens vidit præstans Eteoneus,
Sedulus famulus Menelai gloriosi:
Ivitque celeriter annuncians per domos pastori populorum:
Propè autem stans verba alata dixit,
" Hospites jam quidem hi, ô à-Jove-nutrite Menelaë,
" Viri duo, prosapiæ verò Jovis magni similes sunt.
" Sed dic, si ipsis solvere debeamus veloces equos,
" Aut ad alium mittamus ire, qui eos amet.
Hunc graviter ingemiscens alloquutus est flavus Menelaus,
" Non quidem stultus eras, Boëthœda Eteoneu,
" Antea, cæterum nunc quidem puer veluti puerilia loqueris.
" Profectò jam nos, *tu & ego*, hospitalia multa ubi edimus
" Aliorum virorum huc venimus; si alicubi Jupiter
" In postremum saltem liberârit ab ærumnâ: sed solve equos
" Hospitum, ipsos verò deinde introduc ad epulandum.
Sic ait: ille verò ex ædibus proruit, vocabat etiam alios
Fidos famulos unà sequi seipsum.
Hi verò equos quidem solverunt sub jugo sudantes:
Et hos quidem alligârunt ad equina præsepia,
Apponebant autem avenas & hordeum album commiscuerunt:
Currus verò posuerunt ad parietes pellucidos;
Ipsos autem duxerunt in magnificam domum: hi utique videntes

ΣΧΟΛΙΑ.

22. Προμολῶν.] Προαλλῶν. Ἴδετο.] Ἐθεάσατο. Κρείων.] Ἐξέχων καὶ ἀφικέλως.
23. Ὀτρηρός.] Σπουδαῖος, δραστικός. Θεράπων.] Ὑπηρέτης φίλος, ὁ περὶ τὴν θεραπείαν ὑπάρχων.
24. Ἀγχιλέων.] Ὀφείλων ἀπαγγεῖλαι.
26. Ξείνω δή τινε.] Εἰσαγγέλλει μόνῳ περὶ ξένων Μενελάῳ ἀφὸ τοῦ προβεβουλεῦσθαι ὑπὸ ξένων.
27. Γενεὴ.] Γενήσῃ, γένῃ. Ἔοικεν.] Ἐοίκασιν.
28. Σφῶϊν.] Αὐτοῖς.
29. Ἄλλον.] Πρὸς ἄλλον. Ἰκανέμεν.] Παραγενέσθαι. Φιλήσῃ.] Φιλικῶς ὑποδέξηται.
35. Ἐξοπίσω.] Ἐς ὕστερον, εἰς τὸ μὴ πάντα.
36. Θοινηθέωσι.] Εὐωχηθῆναι.
40. Κάπῃσι.] Φάτναις· ἔλαις ἢ αὐτὶ ἢ ἀπαλαῖς, κεκερκισμέναις.
41. Ζειὰς.] Ὀλύρας.

NOTÆ IN SCHOLIA.

26. Προβεβουλεῦσθαι) Ità lego, pro ἐπιβεβουλεῦσθαι, ex *Aloysii* MSto, cùm & MS. GC. προβεβουλευσάσθαι, ferat.
27. Γενεὴ) MSS. legunt, Γενεὴν, καὶ Γένεσιν) γένῃ.
28. Σφῶϊν) Αὐτοῖς, MSS. αὐτῶν.
35. Ἐς ὕστερον, MSS. ἐξ ὑστέρου.

VARIÆ LECTIONES.

26. Τώδε) γρ. τώγε, *H. Steph.*
27. Γενεὴ) γρ. γένεϊ, MSS. *Aloysii* & GC. Vid. Not. in *Schol.*
28. Ἔοικεν) γρ. ἔοικτον, *H. Steph.*
38. Ἀμ' ἑπόμενοι) γρ. ἅμα πομπῇ, *H. Steph.* Vid. Not. ad χ'. v. 323.

Θαύ-

Θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος.
Ὡς γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης,
Δῶμα καθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
Ἐς ῥ' ἀσαμίνθους βάντες εὐξέστας λόεσθην.
Τὼ δ' ἐπεὶ οὖν δμῳαὶ λόεσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ' ἄρα χλαίνας ἕλκας βάλον ἠδὲ χιτῶνας,
Ἐς ῥα θρόνους ἕζοντο παρ' Ἀτρεΐδην Μενέλαον.
Χέρνιβα δ' ἀμφίπολος καλῇ ἐπέχυτο φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων· παρὰ δέ σφι τίθει χρύσεια κύπελλα.
Τὼ καὶ δεικνύμενος προσέφη ξανθὸς Μενέλαος,
Σίτυε δ' ἄπλεθον, καὶ χαίρετον· αὐτὰρ ἔπειτα
Δείπνου παυσαμένω, εἰρησόμεθ', οἵ τινες ἐστόν·
Ἀνδρῶν· οὐ γὰρ σφῷν γε γενὴ ἀπόλωλε τοκήων,
Ἀλλ' ἀνδρῶν γενὴ ἐστὲ διοτρεφέων βασιλήων,
Σκηπτούχων· ἐπεὶ οὔ κε κακοὶ τοιοίδε τέκοιεν.
Ὡς φάτο· καὶ σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
Ὀπτ' ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Δὴ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν,
Ἆσχε ἑὸν κεφαλῇ, ἵνα μὴ πυθοίατ' οἱ ἄλλοι,
Φράζεο, Νεστορίδη, τὰ μοι κεχαρισμένε θυμῷ,

Admirabantur per domum à-Jove-nutriti regis :
Instar enim solis splendor erat atque lunæ,
Domum per excelsam Menelai glorioſi.
Cæterùm postquam saturati sunt videndo oculis,
Ad labra descendentes perpolita lavabant.
Hos posquam igitur ancillæ lavârunt & unxerunt oleo,
Circaque chlænas villosas posuerant atque tunicas,
In thronos collocârunt juxtà Arridem Menelaum.
Aquam autem ancilla in gutturnio fudit ferens,
Pulchro, aureo, super argenteo lebete,
Ad lavandum : juxtáque politam extendit mensam.
Cibum verò veneranda promiconda apposuit ferens,
Fercula multa imponens, de *rebus* præsentibus largiens :
Coquus autem carnium lances proposuit sublatas
Diversarum : ipsisque apposuit aurea pocula.
Hos etiam datâ dextrâ alloquutus est flavus Menelaus,
" Cibúmque gustate, & gaudete : cæterùm deinde
" Cibo saturati, interrogabimus, quinam sitis
" Virorum : non enim vestrorum utique genus evanuit parentum,
" Sed virorum genus estis à-Jove-nutritorum regum,
" Sceptriferorum : quoniam neutiquam ignavi hujusmodi parere possunt.
Sic ait, & ipsis terga bovis pinguia apposuit
Assata in manibus capiens, quæ sibi dona apposuerant ipsi.
Hi verò ad cibos paratos appositos manus extendebant.
Cæterùm postquam potûs & cibi desiderium ademerunt,
Jam tum Telemachus alloquutus est Nestoris filium,
Propè admovens caput ; nè audirent alii,
" Considera, Nestoride, meo gratissime animo,

ΣΧΟΛΙΑ.

59. Δεικύμενος.] Δεξιούμενος.
61. Εἰρησόμεθα.] Ἐρωτήσομεν.
62. Οὐ γὰρ σφῷν γε γενὴ.] Σὺν τῷ ι γραπτέον, ἵν' ᾖ, σφῶϊν, δυϊκῶς· ἡ γὰρ ἀφανῶν ἐστὶ γενέων.
64. Κακοί.] Δειλοί, ἀσθενεῖς. Τέκοιεν.] Γεννήσειεν.
66. Τά ῥά οἱ.] Ἅπινα δὴ αὐτῷ. Γέρα.] Καλὰ παμμεγέθη. Πάρθεσαν.] Παρέθηκαν.
71. Φράζεο.] Νῦν ἀντὶ τοῦ, ὄφελε.

NOTÆ.

71. Τὰ μοι κεχαρισμένε θυμῷ) *Virgil.* Æn. l. XII. v. 142. Animo gratissime nostro.

NOTÆ IN SCHOLIA.

64. Γεννήσειεν) Ità, pro γενήσειεν, duo MSS.

VARIÆ LECTIONES.

60. Σίτυε θ' ἅπλεθον) κ. σίτυε ἅμ' ἅπλεθον, *H. Steph.*
61. Παυσαμένω — οἵ τινες) κ. παυσαμένω — ὅ τινες, *H. Steph.*
62. Γὴν) κ. γόν, *H. Steph.*

Χαλκῷ τε στεροπὴν καδδώματα ἠχήεντα,
Χρυσῷ τ', ἠλέκτρῳ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι.
Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.
Ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα.
Τῷδ' ἀγορεύοντι ξύνετο ξανθὸς Μενέλαος,
Καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Τέκνα φίλ', ἦτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
Ἀθάνατοι γὰρ τῷγε δόμοι καὶ κτήματ' ἔασιν.
Ἀνδρῶν δ' ἤκεν τίς μοι ἐρίσσειε, ἢ καὶ ἀρίζοι,
Κτήμασιν· ἢ γὰρ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς

" Æriſque ſplendorem, per domum ſonantem,
" Aurique, electrique, & argenti, atque eboris:
" Jovis nimirum talis eſt Olympii intùs aula.
" Quanta hæc pretioſa quam multa! Admiratio me capit intuentem.
Hunc ita alloquentem intellexit flavus Menelaus,
Et ipſos compellans, verba alata dixit,
" Filii chari, haud ſanè cum Jove mortalium ullus contenderit:
" Immortalia enim hujus habitacula & res ſunt.
" Hominum vero ſive aliquis mihi contendere poſſit, ſive minus,
" Opibus: certè plurima paſſus & multùm errans

ΣΧΟΛΙΑ.

72. Στεροπήν.] Ἔκλαμψιν. Ἠχήεντα.] Μεγάλα.

76. Ξύνετο.] Σωπῆκεν, ἤκουσεν.

80. Ἐρίσσειε.] Φιλονεικήσῃ.

81. Ἐπαληθεὶς.] Πλανηθεὶς· οἱ δὲ ἐπὶ τὰς ἀληθεῖς Αἰγυπτίους, ὅτι μανθικῆς ἔμπειροι.

NOTÆ.

72. Καδδώματα) Ità pro ἐ δώματα lego. Quicunque enim ſatis attentè perpenderit, τὸ στεροπὴν referri, ad χαλκῷ, χρυσῷ, ἠλέκτρῳ, ἐλέφαντι, mirabitur, quid καὶ δώματα, quæ prior erat *Lectio* ſignificet, & mecum fortè agnoſcet, καδδώματα potiùs legendum, ut ſuprà, ad v. 45. & 46. Ὥστε γὰρ ἠελίου &c. Δῶμα καθ' ὑπερβολήν. Certe mos erat, ante *Typographicam* inventam, Unum aliquem Doctum hominem multis Scribis eodem tempore prælegere; undè plurimæ Voces, ex Vocalium & Literarum conſimilis ſoni malè acceptâ & conceptâ notione, in Exemplaribus temerè mutatæ. At in hujuſmodi Erroribus Antiquitas plurimum Veritati obſtat; nec enim Omnes vident, & Pauci contra flumen audent navigare. Huc refer *Plinii*, l. 33. c. 4. Et *Electro* auctoritas, *Homero* teſte, qui *Menelai* Regiam Auro, Electro, Argento, Ebore, fulgere tradit. *Sam. Bochart.* Ἱεροζωϊκ. 2 Vol. l. 6. c. 16. fol. 872. De *Electro*, ubi ex *Ariſtophanis* Scholiaſt. pro ἤλεκτρον, poni ab *Homero*.

74. Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλὴ) Hanc Lectionẽ defendit *Ariſtarchus* contra *Seleucum*; ut *Athenæ.* l. 5. fol. 189. & ex eo *Euſtath.* fol. 1483. lin. 39. qui negabat, ullibi apud *Homerum* vocem Αὐλὴ ſignificare *Palatium Regium*, at potiùs, τόπον τινὰ ἀμφιπεράμενον, ὅ ἐστιν ὕπαιθρον, ὡς τὰ μεγάλων οἴκων. Ὅμηρος δέ, φησι, τῷ Αὐλῷ ἀεὶ πάσῃ ἐπὶ τὸ ὑπαίθριον τόπον, ἔνθα ἦν ὁ Ἑρκεῖος Ζηνὸς βωμός· ὁ μὲν που τοι Πηλεὺς καταλαμβάνεται, Αὐλῆς ἐν χόρτῳ· ἔχει δὲ χρύσειον ἄλεισον, Σπένδων αἰθόπι οἴνῳ ἐπ' αἰθομένοις ἱεροῖσιν. Ὁ δὲ Πελάμων, Αὐλῆς ἐν Χόρτοισι κυλινδόμενος κατὰ κόπρον· καὶ ὁ Ὀδυσεὺς ὡσαύτῳ τῆς ὡδὲ τὸ Φήμιον, Ἀλλ' ἐξελθόντες μεγάρων εὖ ναιεταόντων, Ἐκ φόνε εἰς αὐλήν. Et verè quidem in his locis, ut *Seleucus* ait, *Homerus* apertum locum, per αὐλὴν ſignificat; nec minùs tamen manifeſtè, quod *Ariſtarchus* ait, in aliis locis idem per Αὐλὴν, *Palatium* notat, ut in hoc ipſo, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή. Quem locum *Seleucus* longè aliàs profert, nè hanc Αὐλῆς ſignificationem cogatur admittere, *viz.* Ζηνός που τοιοῦτα δόμοις ἐν κτήματα κεῖται, quâ *Lectione*, in hoc loco nihil abſurdius; licet bene infrà, v. 127. Αἰγυπτίης, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται. Alius etiam locus hanc noſtram aſſertionem confirmat, *viz.* α'. v. 425. ὅθι οἱ θάλαμοι εὐεπήκεες αὐλῆς Ὑψηλοῦ δέδμηνται. In quem locum *Euſtath.* Αὐλὴ μέν, κυρίως τόπος ἐστὶ ἀμφιπερόμενος, ὅ ἐστιν, ὕπαιθρος, ὡς τὰ μεγάλων οἴκων. Ἡ Αὐλαὶ, τὰ βασίλεια, ἀφ' τὸ μεγάλως ἔχειν ὡς τὰ οἴκων ὑπαίθρους τόπους. Συνεκδοχικῶς δὲ, ἡ ὅλη οἰκία, ἐν τῷ, Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν Αὐλή. Vid. *Iſaac. Caſaubon.* in locum *Athenæi*, fol. 335. *Gerard. Croiſius*, Ὁμήρου Ἑβραΐζων, p. 423. Poeta alludit ad interius Atrium, ſive *Sanctuarium*, Tabernaculi, quod erat in *Iſraele*, in quo Deus dicebatur verſari, quod quidem ſplendidiſſimum fuit.

NOTÆ IN SCHOLIA.

75. Ἄσπετα) Πολλά. Hoc *Pſeudo Scholion* deleo; quòd utræque voces ſint in *Textu*.

VARIÆ LECTIONES.

72. Καδδώματα) γρ. καὶ δώματα, vid. Not. in *Textum*.

74. Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλὴ) γρ. Ζηνός που τοιοῦτα δόμοις ἐν κτήματα κεῖται, *Seleucus*, vid. Not. ad *Textum*.

76. Ξύνετο) γρ. ξύνιεν, malè ut *Euſtath.*

78. Τέκνα φίλ', ἦτοι Ζηνὶ βροτῶν) γρ. τέκνα φίλα, Ζηνὶ μὴ βροτῶν, *H. Steph.* incogitanter ductâ *Interpretatione*, pro *Variâ Lectione*. *Ibid.* Βροτῶν) γρ. βροτῷ, *Gerard. Croeſ.* p. 423.

Ἠγα-

Ἠγαγόμην ἐν νηυσί, κὴ ὀγδοάτῳ ἔτεϊ ἦλθον·
Κύπρον, Φοινίκην τε, κὴ Αἰγυπτίους ἐπαλήθεις,
Αἰθιοπάς θ' ἱκόμην, κὴ Σιδονίους, κὴ Ἐρεμβούς,
Καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι.
Τρὶς γὰρ πίτνει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν·
Ἔνθα μὴν οὔτε ἄναξ ἐπιδεύεται, οὔτε τι ποιμὴν,
Τυρῷ κὴ κρειῶν, οὐδὲ γλυκεροῖο γάλακτος·
Ἀλλ' αἰεὶ παρέχουσιν ἐπιτροχόωντα γάλα θηλαί.
Ἕως ἐγὼ δεῦρ' εἰς κεῖνα πολὺν βίοτον συναγείρων
Ἠλώμην, τείως μοι ἀδελφεὸν ἄλλος ἔπεφνε,
Λάθρη, ἀνωΐστῳ, δόλῳ ὑλομανέος ἀλόχοιο·
Ὡς οὔτοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
Καὶ πατέρων τάδε μέλλετ' ἀκουέμεν, οἵ τινες ὔμμιν
Εἰσίν· ἐπεὶ μάλα πολλ' ἔπαθον, κὴ ἀπώλεσα οἶκον,
Εὖ μάλα ναιετάοντα, κεχανδότα πολλὰ κὴ ἐσθλά.
Ὧν ὄφελον τριτάτῳ περ ἔχων ἐν δώμασι μοῖραν

" Vectus in navibus, & octavo demum anno veni domum:
" Cyprum, Phœnicémque, & Ægyptios oberrans,
" Æthiopasque adii, & Sidonios, & Erembos,
" Et Libyam, ubi agni protinùs cornuti sunt.
" Ter enim pariunt oves per annum integrum:
" Ibi quidem neque herus indigens est, neque pastor
" Casei & carnium, neque dulcis lactis:
" Sed semper præbent per-totum-annum lac mulgendum.
" Dum ego in his partibus multas facultates colligens
" Errabam, interea mihi fratrem alius interfecit,
" Clàm, insperatò, dolo pernicioſæ uxoris.
" Adeò neutiquam gaudens istis facultatibus impero.
" Et ex patribus ista debebatis audivisse, quicunque vobis
" Sunt: quando quidem valdè multa passus sum, & perdidi domum,
" Perquàm benè habitatam, continentem multa & preciosa.
" Quorum utinam debuissem vel tertiam habens in domo partem

ΣΧΟΛΙΑ.

83. Αἰγυπτίους.] Ἐπὶ τὰς Αἰγυπτίους.

84. Ἰκόμην.] Παρεγχρόμην. Σιδονίους.] Τὰς παρὰ τῇ Ἐρυθρῇ θαλάσσῃ λέγει· ὅθεν μετῴκησαν οἱ Φοίνικες. Ἐρεμβούς.] Τὰς Τρωγλοδύτας, παρὰ τὸ εἰς τὴν ἔρεβον δύνειν· οἱ δὲ τὰς Ἰνδὰς, παρὰ τὸ Ἔρεβος· μέλανες γάρ. ὅθεν καὶ Κρατὴς ἐρεμνὰς γράφει. οἱ δὲ ἴδιον ἔθνος. ἔνιοι δὲ τὰς Ἄραβας, καὶ μεταχαράττουσιν ὅτι· Αἰθίοπας θ' ἱκόμην ἢ Σιδονίους, Ἄραβάς τε.

85. Ἄφαρ κεραοί.] Ταχέως φέρουσι διὰ τὴν εὐθίαν. οἱ δὲ ἐπίθετον τῶν ἀρνῶν τὸ κεραοί. Τινὲς δὲ τὸ ἄφαρ, ὅτι ταχέως καὶ προϊμοι γίνονται.

86. Τελὲς γὰρ πίτνει μῆλα.] Ἄλλοτε ἄλλα, ἢ δι' ὅλου

NOTÆ.

84. Σιδονίους) Vid. ad *Iliad.* ζ'. v. 290. Ἐρεμβούς) Ab ἔρεβος, fit τὸ ἔρεμβος, *Sophocl.* Aj. v. 395. undè ἐρεμνὸς, tenebrosus, & Gentile, Ἐρεμβός. De quâ voce, præter *Br. Schol.* vid. *Eustath.* in locum, item in *Dionys.* Perieg. v. 180. & v. 963. & quæ Nos ad prædict. locum *Sophoclis. Zeno,* Ἄραβάς τε legit, ut *Strabo* l. 1. fol. 70. & l. 7. fol. 458. & l. 16. fol. 1131.

85. Καὶ Λιβύην) *Steph.* δεῦρ πόλεων, v. Ἀσία.

NOTÆ IN SCHOLIA.

86. Τοιαῦταί εἰσιν) MS. *Aloysii* τοιαῦται, pro αὗται &c.

89. Θηλάσσῃ) Ità pro corrupto θυλάσσῃ, ex MSS.

VARIÆ LECTIONES.

84. Καὶ Ἐρεμβούς) γρ. Ἄραβάς τε. *Zeno. Crates,* & *Posidonius,* καὶ ἐρεμνούς. Vid. Not. in *Textum,* & *Brevia Scholia.*

87. Ἐπιδεύεται.] Ἐνδεής.

89. Ἐπιστολὺ, ἄφθονον. Θῆσσ.] Κυρίως μὲ τὸ θηλάσσῃ· νῦν δὲ τὸ ἀμέλγειν εἶπεν, παρὰ τὴν θηλήν.

91. Ἠλώμην.] Ἐπλανώμην. Τείως.] Τηνικαῦτα.

92. Ἀνωΐστῳ.] Ἀνυποπτήτως, οὔτε μηδὲ ὁτιοῦν τινά.

95. Καὶ ἀπώλεσα οἶκον.] Ἀμφίβολον, πότερον τὸν ἑαυτοῦ, ἢ τὸν Πελάμου.

96. Κεχανδότα.] Χωρητικά.

NOTÆ IN SCHOLIA.

95. Πότερον) MS. *Aloysii* ità, pro ὁπότερον, *Sensu* maximè flagitante.

VARIÆ LECTIONES.

90. Ἕως ἐγὼ) γρ. εἴως ἴχω, *Hervag.* Edit. 1551.

94. Υ̓́μμιν) γρ. ὑμῖν, *H. Steph.*

95. Πόλλ' ἔπαθον) γρ. πολλὰ πάθον, *H. Steph.*

Ναίεσκε,

Ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, ἔχαις Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἔμπης πάντας μὲν ὀδυρόμην ἠδ' ἀχέουσα,
Πολλάκις ἐν μεγάροισι καθήμενον ἠμετέροισιν,
Ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ' αὖτε
Παύομαι· αἶψηρὸς δ' κόρος κρυεροῖο γόοιο.
Τῶν πάντων ἕ τόσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνός, ὅτε μοι ὕπνον ἀπέχθηται ἠδ' ἐδωδὴ
Μνωομένῳ· ἐπεὶ οὔτις Ἀχαιῶν τόσσ' ἐμόγησεν,
Οἷα Ὀδυσσεὺς ἐμόγησε καὶ ἤρατο· τῷ δ' ἄρ' ἔμελλεν
Αὐτῷ κήδε' ἔσεσθαι, ἐμοὶ δ' ἄχε' αἰὲν ἄλαστον
Κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται. οὐδέ πῃ ἴδμεν,
Ζώει ὅγ', ἢ τέθνηκεν. Ὀδύρονται νύ πού αὐτὸν
Λαέρτης θ' ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια,
Τηλέμαχός θ', ὃν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ.
Ὡς φάτο· τῷ δ' ἄρα παῖδος ὑφ' ἵμερον ὦρσε γόοιο.
Δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις βάλε, παῖδος ἀκούσας,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχών
Ἀμφοτέρῃσιν χερσί· νόησε δέ μιν Μενέλαος·
Μερμήριξε δ' ἔπειτα κατ' φρένα καὶ κατ' θυμόν,
Ἦέ μιν αὐτὸν πατρὸς ἐάσειε μνηστῖνα,
Ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε μυθήσαιτο.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατ' φρένα καὶ κατ' θυμόν,
Ἐκ δ' Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
Ἦλυθεν, Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα·

" Habitare, & viri salvi essent: qui tum periérunt
" Trojâ in latâ, longè ab Argis pulchros equos-pascente.
" Sed tamen omnes quidem lugens & deflens,
" Crebrò domi desidens nostræ,
" Interdum quidem luctu mentem oblector, interdum rursus
" Quiesco: brevis verò satietas molesti luctûs.
" Horum omnium causâ non tantùm lugeo, tametsi tristis,
" Ut unius gratiâ, quique mihi somnum invisum facit & cibum
" Recordanti; quoniam nullus Græcorum tantum laboravit,
" Quantum Ulysses laboravit & pertulit: huic utique infaustus-erat
" Ipsi, dolores ut essent, mihi verò mœror semper gravissimus
" Illius *causâ*, quoniam diù longè abest, neque scimus,
" An vivat ille, an mortuus sit. Deflent utique illum
" Laërtèsque senex, & prudens Penelope,
" Telemachúsque, quem reliquit recèns-natum in domo.
Sic ait; huic certè ob patrem desiderium excitavit luctûs.
Lacrymas verò à palpebris humi fudit, de patre audiens,
Chlanam purpuream oculis obtendens
Utráque manu: observavit autem Menelaus ipsum:
Cogitavit verò deinde in mente & in animo,
An ipsum eum patris sineret memoriam inducere,
An prior interrogaret singuláque diceret.
Interim dum ille ista deliberabat in mente & in animo,
Helena ex thalamo odorifero excelso
Egressa est, Dianæ aureum-arcum habenti similis:

ΣΧΟΛΙΑ.

102. Γόῳ φρένα τέρπομαι.] Πληρεῖμαι.
103. Αἶψηρὸς δ' κόρος.] Ὁ ὑπὲρ τὸ ἄκλαυτον μοι θρῆνος ταχέως θραύεται.
104. Ὀδύρομαι.] Ἀποκλαίομαι.
105. Ἀπέχθηται.] Εἰς μῖσος ἄγει.
106. Μνωομένῳ.] Μνησθυομένῳ. Ἐμόγησεν.] Ἐκοπίασεν.
107. Ἤρατο.] Ὑπέμεινεν.
109. Ἀποίχεται.] Ἄπεισιν, ἀποδημεῖ.
119. Ἐξερέοιτο.] Ἐξεραυνήσειεν, ἀνακρίνοι. Μυθήσαιτο.] Εἴποι.
121. Θυώδεος.] Εὐώδους.

NOTÆ.

102. Ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι) *Aristot.* l. 1. ad Πολιτ. fol. 176. Probat, Voluptatem quandam in Luctibus &c.
120. Ἕως ὁ ταῦθ' ὥρμαινε) *Amphibrachys*, *Dactylo* ἰσάχρονος, ut supra, v. 90.

NOTÆ IN SCHOLIA.

123. Ἀνάκλιντρον) Ità pro corrupto ἀνάκλιτον, ex *Eustathio*.

VARIÆ LECTIONES.

118. Ἐάσειε) γρ. ἐάσει, Prior. Codd.
119. Μυθήσαιτο) γρ. περιέσαιτο, *H. Steph.*

Τῇδ' ἄρ' ἄμ' Ἀδρήστη κλισίλω εὐτυκτον ἔθηκεν·
Ἀλκίππη δ' ταπῆτα φέρεν μαλακὴ ἐερσίοιο·
Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκε
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι' ἐνὶ Θήβῃς
Αἰγυπτίης, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται·
Ὅς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους,
Δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα·
Αὐτὰρ ἐπ' αὐτῷ
Ἑλένη ἄλοχος πόρε κάλλιμα δῶρα,
Χρυσείω τ' ἠλακάτην, τάλαρόν θ' ὑποκυκλον ὄπασεν,
Ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεκρασται,
Τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα,
Νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ' αὐτῷ
Ἠλακάτη τέτατο, ἰοδνεφὲς εἶρος ἔχουσα.
Ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
Αὐτίκα δ' ἣγ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα,

"Ιδμεν δὴ, Μενέλαε διοτρεφὲς, οἵ τινες οἵδε
Ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;
Ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κελεύει δέ με θυμός.
Οὐ γάρ πω πρὶν φημι ἐοικότα ὧδε ἰδέσθαι
Οὔτ' ἄνδρ', οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωσαν,

Huic ſtatim Adraſta ſellam benè factam appoſuit:
Alcippe verò tapeta ferebat mollis lanæ:
Phylo autem argenteum quaſillum ferebat, quem illi dedit
Alcandra, Polybi uxor, qui habitabat in Thebis
Ægyptiacis, ubi plurima in ædibus bona jacent;
Qui Menelao dedit duo argentea labra,
Geminoſque tripodas, decemque auri talenta:
Seorſim verò rurſus Helenæ uxor dederat pulchra dona,
Aureamque colum, quaſillúmque rotundum præbuit
Argenteum, auro verò labia perfecta erant:
Hunc ſanè ei ancilla Phylo appoſuit ferens,
Filo elaborato repletum: cæterùm ſuper eum
Colus extenſa erat, violaceam lanam habens.
Sedit verò in ſellâ, & ſcabellum ſub pedibus erat:
Continuò autem illa verbis maritum interrogabat ſingula,
" Scimúſne, Menelaë rex, quinam hi
" Virorum gloriantur, veniſſe noſtram domum?
" Mentiar, an verum dicam? Jubet me animus.
" Nullum enim unquam puto ſimilem adeò vidiſſe
" Neque virum neque mulierem: admiratio me tenet aſpicientem,

ΣΧΟΛΙΑ.

123. Κλισίην.] Δίφρον, ἀνάκλιντον ἔχοντα.
125. Τάλαρον.] Κάλαθον.
126. Θήβῃς.] Θῆβαι, πόλις Αἰγύπτου, ἡ νῦν καλουμένη Διὸς πόλις.
130. Κάλλιμα.] Ἄγαν καλά.
131. Τάλαρον ὑποκυκλον.] Κύκλον ἔχοντα, ἢ ὑποτροχον.
132. Κεκρασται.] Ἐτετελείωται.
134. Νήματος ἀσκητοῖο.] Εἰς νῆσιν ἐπιτηδειότερον, καλῶς γεγνότος. Βεβυσμένον.] Πεπληρωμένον.
135. Ἠλακάτη.] Ἐργαλικὸν, ἐργαλεῖον. Τετάνυστο.] Ἐπέκειτο. Ἰοδνεφὲς.] Μέλαν, ἢ πορφυροῦν. Εἶρος.] Ἔριον.
139. Εὐχετόωνται.] Ἔνιοι, Εὐχετόωνται. Ἐκαχχῶνται.
141. Εἰοικότα.] Ὅμοιον ὄντα.

NOTÆ.

126. Ἀλκάνδρη Πολύβοιο δάμαρ) Θύωρις βασιλεὺς Αἰγύπτου, ὁ παρ' Ὁμήρῳ καλούμενος Πόλυβος, Ἀλκάνδρας ἀνὴρ, ἐν Ὀδυσσείᾳ φερόμενος παρ' ᾧ, φησὶ, Μενέλαον σὺν τῇ Ἑλένῃ, μὴ πλῶν ἄλλοσε Τροίας κατηχθαι πλανώμενον. *Euſebii* Chronic. Canon, fol. 115. & *Joſeph. Scaligeri* Animadverſ. fol. 50. *Thuoris*,

NOTÆ IN SCHOLIA.

131. Ἔχουσα) Pro ἔχον, lego.
134. Νήματος ἀσκητοῖο) Nihil hìc addo, nihil demo, nihil muto; excepto verborum ordine, qui rectè ſe non habebat, & caſu ἐπιτηδειότερος, qui malè &c.

VARIÆ LECTIONES.

126. Ὅς ἔναι' ἐνὶ Θήβῃς) χρ. ὃς ἄνασσ' ἐνὶ Θήβῃς, Vid. in *Textum*.
127. Ἐν κτήμασι) χρ. ἐνὶ κτήμασι. Vid. ad v. 74. Not. in *Text.* & *Iliad.* ι'. v. 381.
131. Χρυσείην) γρ. χρυσῆν, at Incontracta *Homero* uſitatiora.
139. Εὐχετόωνται) χρ. εὐχετόωντε, *Br. Schol.* & MSS. *Aloyſii* & *GC.*

Ὡς

Ὡς ὅδ' Ὀδυσῆος μεγαλήτορος υἷϊ ἔοικε
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ
Κεῖνος ἀνὴρ, ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοὶ
Ἦλθεθ' ὑπὸ Τροίλῳ, πόλεμον θρασὺν ὀρμαίνοντες.
Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ εἰσκεις.
Κείνου γὰρ τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,
Ὀφθαλμοί τε βολαί, κεφαλή τ', ἐφύπερθέ τε χαίτη.
Καὶ νῦν ἤτοι ἐγὼ μεμνημένῳ ἀμφ' Ὀδυσῆϊ,
Μυθεόμην, ὅσα κεῖνος ὀϊζύσας ἐμόγησεν
Ἀμφ' ἐμοί· αὐτὰρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε,
Χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖϊν ἀναχώων.
Τόνδ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Κεῖνος μὲν τοῦτόν γε ἰὸς ἐτήτυμον, ὡς ἀγορεύεις·
Ἀλλὰ σαόφρων ἐστὶ, νεμεσσᾶται δ' ἐνὶ θυμῷ,
Ὧδ' ἐλθὼν τοπρῶτον, ἐπεσβολίας ἀναφαίνειν
Ἄντα σέθεν, τὸν νῶϊ, θεὸν ὣς, τερπόμεθ' αὐδῇ.
Αὐτάρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ,
Τῷ ἅμα πομπὸν ἕπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
Ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι, ἠέ τι ἔργον.
Πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς πάϊς οἰχομένοιο,
Ἐν μεγάροις, ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν·

"Ut iste Ulyssis magnanimi filio similis
"Telemacho, quem reliquit recens natum domi suæ
"Ille vir, quando mei inverecundæ gratiâ Græci
"Venistis ad Trojam, bellum ferox excitantes.
Hanc vicissim respondens alloquutus est flavus Menelaus,
"Sic nunc ego reputo, uxor, ut tu putas.
"Illius enim ejusmodi pedes, ejusmodique manus,
"Oculorumque jactus, caputque & superne comæ.
"Et nunc sanè ego recordatus de Ulysse,
"Loquebar, quantas ille ærumnas patiens toleravit
"Pro me: cæterùm hic amaras à palpebris lacrymas stillabat,
"Chlænam purpuream oculis obtendens.
Hunc rursus Nestorides Pisistratus contrà alloquutus est,
"Atride Menelaë, a-Jove-nutrite, dux populorum,
"Illius quidem hic filius est certo certiùs, quemadmodum dicis,
"Sed modestus est, indignaturque in animo,
"Huc veniens primùm, jactationes verborum ostentare
"Coram te, cujus nos, dei tanquam, delectamur voce.
"Cæterùm me præmisit Gerenius eques Nestor,
"Hunc simul comes ut sequerer; cupiebat enim te videre;
"Ut ei aut verbis consulas, sive reipsâ.
"Plurimos enim dolores patitur ob patrem filius absentem,
"Domi suæ, cui non alii auxiliatores sunt:

ΣΧΟΛΙΑ.

148. Ἔϊσκεις.] Ἀπεικάζεις.
149. Τοῖαι.] Τοιαῦται.
150. Βολαί.] Τὰ βλέμματα. Ἐφύπερθεν.] Ἐπάνωθεν.
152. Μυθεόμην.] Ἔλεγον, διηγούμην. Ὀϊζύσας.] Ταλαιπωρήσας.
158. Σαόφρων.] Σώφρων. Νεμεσσᾶται.] Ἐντρέπεται, αἰδεῖται.
159. Ἐπισβολίας ἀναφαίνειν.] Τὰς γλυκυμύθους καὶ κολακικὰς μνησικάκων εἰς αὐτὸν φλυαρίας, ἢ πὰς περὶ τὸν οἶκον αὐτοῦ φλυαρίας, καὶ λοιδορίας, διεξιέναι. ἢ ὑπὸ σωφροσύνης καὶ βέλους περικαθέρκεις λόγων. ἐπισβολίας δὲ νῦν τὰς τῶν εἰσβολὰς καὶ ὀχλήσεις. Ἀναφαίνειν.] Φαίνειν, διεξιέναι.
162. Ἐέλδετο.] Ἐπεθύμει.
163. Ὑποθήσεαι.] Ὑποβάλῃς.
165. Ἀοσσητῆρες.] Βοηθοί.

NOTÆ.

149. Κείνου γὰρ τοιοίδε πόδες) *Virgil.* Æn. l. 3. v. 490. *Sic oculos, sic ille manus, sic ora ferebat.*

165. Ἐν μεγάροις· ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔασιν) Olim in plurimis Editt. πολλοὶ, quod Sensus respuit; non enim necesse est, ut Orphanus *multos* habeat Patronos, at saltem ut *alios*, præter se habeat; nè dicam *Versum* cum voce πολλοὶ, laborare. Rectè itaque *Eustathius* in Commentariis legit, ἄλλοι, ut sit συνίζησις, sive συνεκφώνησις, quasi scriberetur, ᾧ μὴ ἄλλοι. Quem *Latinorum* morem nec *Græcis* planè incognitum probo, ad *Eurip.* Oreſt. v. 596. Ità *Theogn.* v. 927. Φείδεσθ' ᾧ ἄμεινον· ἐπεὶ ἐδὲ γανόντ' ἀπέκλαισ'. Vid. *Iliad.* π'. v. 31. *H. Stephan.* ἄλλοι etiam inter *Var. Lect.* habuit ut *Romana* Editio, in *Textu.*

VARIÆ LECTIONES.

165. Ἄλλοι) χρ. πολλοὶ, vid. Not. ad *Textum.*

Ὣς νῦν Τηλεμάχῳ· ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
Εἴσ', οἵ κεν κτῆμον ἀλάλκοιεν κακότητος.
Τόνδ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὢ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
Ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολεῖς ἐμόγησεν ἀέθλους·
Καί μιν ἔφιλον ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
Ἀργείων, εἰ νῶϊν ὑπείρ ἅλα νόστον ἔδωκε
Νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς·
Καί κέν οἱ Ἀργεϊ νάσσα πόλιν, καὶ δώματ' ἔτυξα,
Ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ᾧ,
Καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
Αἳ περιναιετάουσιν, ἀνάσσοιμι δ' ἐμοὶ αὐτῷ.
Καί κε δαμὰ σύθαδ' ἐόντες ἐμισγόμεθ'· οὐδέ κεν ἡμέας
Ἄλλο διέκρινεν Φιλέοντέ τε τερπομένω τε,
Πέρ γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
Ἀλλὰ τὰ μὲν πω μέλλεν ἀγαστεαὶ θεὸς αὐτὸς,
Ὃς κεῖνον δύσμορον ἀνόστιμον οἷον ἔθηκεν.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε μὲν Ἀργείη Ἑλένη Διὸς ἐκγεγαυῖα,
Κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος·
Οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτῳ ἔχεν ὄσσε·
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
Τόν ῥ' Ἠὼς ἔκτεινε Φαεσίμβροτος ἀγλαὸς υἱός·
Τῷ ὅγ' ὀπιμνησθεὶς ἔπεα πτερόεντ' ἀγόρευεν,
Ἀτρεΐδη, πέρι μέν σε βροτῶν πεπνυμένον εἶναι
Νέστωρ φάσκ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο
Οἵσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.
Καὶ νῦν, εἴπ πού ἐστι, πίθοιό μοι· ὐ γὰρ ἔγωγε

" Sic nunc Telemacho *est*: hic quidem abest, neque eidem alii
" Sunt, qui per populum avertere possent calamitatem.
Hunc vicissim respondens alloquutus est flavus Menelaus,
" Dii Boni! Certè perquam amici viri filius meam domum
" Pervenit, qui mei gratiâ plurima subiit certamina:
" Atque ipsum statuebã aliquandò reducem amplexurũ me præter cæteros
" Græcos, si nobis super mare reditum dedisset
" Navibus velocibus fieri Olympius latè-tonans Jupiter:
" Et sanè ei in Argo erexissem urbem, & ædes ædificassem,
" Ex Ithacâ reducens cum facultatibus & filio suo,
" Et omni populo, unâ urbe evacuatâ *earum*,
" Quæ circum-habitabantur, imperantur autem à me ipso:
" Et sanè crebrò hîc unà fuissemus versati: neque nos
" Aliud diremisset amantésque oblectantésque,
" Antequam mortis nigra nebula obruisset.
" Sed hæc quidem forte erat, ut invideret deus ipse,
" Qui illum infelicem absque reditu solum reddidit.
Sic ait: his verò omnibus desiderium excitavit luctûs.
Flebat quidem Argiva Helena ex Jove nata,
Flebat etiam Telemachúsque & Atrides Menelaus:
Neque sanè Nestoris filius absque lacrymis habebat oculos;
Recordabatur enim in animo inculpati Antilochi;
Quem sanè Auroræ interfecit splendidæ inclytus filius:
Hujus ille recordatus verba volatilia dixit,
" Atride, supra alios immortales te prudentem esse
" Nestor dicebat ille senex; quando recordaremur tui
" Suis in domibus, & nos mutuò alloqueremur.
" Quare nunc, si forte licet, pareas mihi; non enim ego

ΣΧΟΛΙΑ.

167. Ἀλάλκοιεν.] Κωλύσωσι, βοηθήσωσιν.
171. Ἔφην.] Ἔλεγον. Φιλησέμεν.] Φιλοφρονήσασθαι.
174. Νάσσα.] Κατῴκησα. Ἔτυξα.] Κατεσκεύασα.
175. Τέκεϊ.] Τέκνῳ.
176. Ἐξαλαπάξας.] Μεταστήσας τὰς συνοικούσας εἰς ἕτερον τόπον.
179. Διέκρινεν.] Διεχώρισεν.
180. Ἀμφεκάλυψε.] Περιεκάλυψεν.
181. Ἀλλὰ τὰ μὲν πω μέλλεν.] Ἀλλὰ τοῦτο μὲν ἐφικτὸν. Ἀγαστεαὶ.] Θαυμάσιος.
182. Ἀνόστιμον.] Ἐπανόδου μὴ τυχόντα.
188. Ἠὼς υἱός.] Ὁ Μέμνων. Τιθωνῷ γὰρ καὶ τῇ Ἡμέρᾳ υἱός.
192. Ἐρέοιμεν.] Ἐρωτήσαιμεν.
193. Εἴπ πού ἐστιν.] Εἰ συνέρχεται.

NOTÆ IN SCHOLIA.

179. Διέκρινεν) Διεχώρισεν. Addo, ex MS. *Aloysii*.

Τέρπομ' ὀδυρόμενος· μεταδόρπιος· ἀλλὰ καὶ Ἠὼς
Ἐσαῦ(θ) ἠριγένεια· νεμεσσῶμαί γε μὴν ὐδὲν
Κλαίειν, ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
Τοῦτό νυ καὶ γέρας οἷον ὀϊζυροῖσι βροτοῖσι,
Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
Καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, ὅττι κάκιστος
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἔγωγε
Ἥντησ', οὐδὲ ἴδον· πέρι δ' ἄλλων φασὶ γενέσθαι
Ἀντίλοχον, θοὸν μὴν θείειν ταχύν, ἠδὲ μαχητήν.
Τόνδ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ὦ φίλ', ἐπεὶ τόσα εἶπες, ὅσ' ἂν πεπνυμένος ἀνὴρ
Εἴποι καὶ ῥέξειε, καὶ ὃς πολυγενέστερος εἴη·
Τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις·
Ῥεῖα δ' ἀείγνωτος γόνος ἀνέρος, ᾧ τε Κρονίων
Ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε.
Ὡς νῦν Νέστορι δῶκε θεμιστοπόλος πάντα,
Αὐτὸν μὴν λιπαρῶς γηράσκειν ἐν μεγάροισιν,
Υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.
Ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πάρ ἐτύχθη·
Δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
Χεύάντων· μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται
Τηλεμάχῳ καὶ ἐμοί, διαειπέμεν ἀλλήλοισιν.

" Delector fleni inter cænandum: Sed & mox Aurora
" Aderit manè genita; moleste quidem neutiquam fero
" Deplorare; quicunq; mortuus fuerit mortaliū, & fatū consequutus fuerit.
" Illud certè munus solum est miserorum mortalium,
" Fonderéque comas, profunderéque lachrymas à genis.
" Etenim meus mortuus est frater, neutiquam pessimus
" Græcorum: scies autem tu, non enim ego
" Obviam fui, neque vidi: supra autem alios ferunt fuisse
" Antilochum, supra quidem currendo velocem, atque bellatorem.
Hunc mœstis verbis excipiens alloquutus est flavus Menelaus,
" Amice, quandoquidem talia dixisti, quæcunque prudens vir
" Diceret & faceret, etiam qui major natu esset:
" Tali enim natus es Patre; quare etiam prudentèr loqueris.
" Facilè conspicuus est Filius Viri; cui Saturnius
" Faustitatem destinavit Nuptiis paritèr & Natalitiis:
" Sicut nunc Nestori dedit assidue diebus omnibus,
" Ipsum quidem molliter senescere domi suæ,
" Filios rursus prudentes, & hastâ esse optimos.
" Nos tamen fletum relinquamus, qui priùs incidit:
" Cœnæ verò rursus memores simus, manibusque aquam
" Profundant: sermones autem etiam manè erunt
" Telemacho & mihi, ad colloquendum invicem.

Σ Χ Ο Λ Ι Α.

194. Μεταδόρπιος.] Μετὰ τὸ δεῖπνον· ἢ ὕστερος, οὐκ ἀρίστου μοι θρηνεῖν μὴ τὸ δεῖπνον. *Ἄλλως, Μεταδόρπιος.] Δείπνου ἄρα, ἤγουν οὐ τοῦ δείπνου· καὶ μεταδήμιος, ἔνδημος, ὁ ἐν δήμῳ ὤν.
195. Νεμεσσῶμαι.] Νεμεσίζομαι, μέμφομαι.
199. Κάκιστος.] Δειλός.
200. Ἴδμεναι.] Εἰδέναι.
205. Ῥέξειε.] Πράξοι.
206. Ὃ.] Διὸ ὅ.
207. Ἀείγνωτος.] Εὔγνως.
208. Ἐπικλώσῃ.] Εἱμαρμένον ποιήσῃ. Γεινομένῳ.] Τεκνοποιοῦντι, γεννῶντι.
210. Λιπαρῶς.] Εὐδαιμόνως, μεγάλως.
211. Πινυτούς.] Σώφρονας, σωστικούς.
213. Μνησώμεθα.] Ἐπιμεληθῶμεν.
214. Χεύάντων.] Ἐπιχεέτωσαν, Ἀττικῶς.
215. Διαειπέμεν.] Διαλεχθῆναι.

NOTÆ IN SCHOLIA.

195. Νεμεσσῶμαι) Νεμεσίζομαι, μέμφομαι. Pro corrupto νεμέσσομαι, lego νεμεσίζομαι· quæ tamen unica vox deest MSS. illa enim νεμεσσῶμαι, μέμφομαι, tantum legunt.

208. Ἐπικλώσῃ) Εἱμαρμένον ποιήσῃ. Ità MSS. quæ cùm *Variæ Lectionis* vestigia præferant, licet ἐπικλώσῃ sit in *Textu*, minimè mutanda censeo. *Schrevel.* Edit. ἐπικλώσῃ) ποιήσῃ &c.

VARIÆ LECTIONES.

197. Οἷον) γρ. οἷον, θαυμασικῶς, inquit *Eustathius*. Vid. *Duport.* Gnomolog. in locum.
207. Ἀείγνωτος γόνος) γρ. ἀείγνωτον γένος, *H. Steph.*
208. Ἐπικλώσῃ) γρ. ἐπικλώσῃ, MSS. *GC.* & *Aloysii.*
212. Ἡμεῖς δ') γρ. ἡμεῖς δὴ, *Eustath.*

Ὡς

Ὣς ἔφαθ'· Ἀσφαλίων δ' ἄρ' ὕδωρ ἐπὶ χεῖρας ἔχυθεν,
Ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα παρκείμενα χεῖρας ἴαλλον.
Ἔνθ' αὖτ' ἄλλ' ὀνόησ' Ἑλένη Διὸς ἐκγεγαυῖα·
Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων·
Ὅς τὸ καταβρόξειεν, ἐπὶ κρητῆρι μιγείη,
Οὐκ ἂν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
Οὐδ' εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε,
Οὐδ' εἴ οἱ προπάροιθεν ἀδελφεὸν, ἢ φίλον υἱὸν,
Χαλκῷ δηϊόῳεν, ὁ δ' ὀφθαλμοῖσιν ὁρῷτο.
Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
Ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις,
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.
Ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος τελέει πάντων
Ἀνθρώπων· ἦ γὰρ Παιήονός εἰσι γενέθλης.

Sic ait: Asphalion verò aquam manibus infudit,
Sedulus famulus Menelai glorioſi.
Hi vero ad cibos paratos appoſitos manus mittebant,
Ibi tum alia excogitavit Helena è Jove nata:
Protenus ſanè in vinum miſit pharmacum, unde bibebant,
Abſque dolore & irâ, malorum oblivionem inducens omnium:
Qui illud deglutierit, poſtquam crateri mixtum erit,
Non utique totâ die profundere poterit lachrymas à palpebris,
Neque, ſi ei mortui fuerint matérque patérque,
Neque ſi ei coràm fratrem, aut charum filium
Ferro trucidarent, ipſe vero oculis videret.
Talia Jovis filia habebat pharmaca utilia,
Bona, quæ illi Polydamna præbuit Thonis uxor,
Ægyptia; ubi plurima producit alma terra
Pharmaca, multa quidem ſalubria mixta, multa quoque lethalia:
Medicus verò unuſquiſque peritus ſuprà omnes
Homines: ſanè enim Pæonis ſunt ex proſapiâ.

ΣΧΟΛΙΑ.

216. Ἀσφαλίων.] Πεποίηκε τὸ ὄνομα παρὰ τὴν ἀσφάλειαν.

221. Νηπενθές.] Ἀπενθές. Ἄχολον.] Τὸ τὴν χολὴν παῦον. Ἐπίληθον.] Περιπαροξυτόνως, ἵν' ᾖ ἐπιληπτικόν. εἰ δὲ περισπάσαιμεν, ἵν' ᾖ ἐπιλανθάνεσθαι ποιῶν.

222. Καταβρόξειεν.] Καταπίοι.

223. Ἐφημέριος.] Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ ἔπιεν.

226. Δηιόωεν.] Ἀναιρεῖεν, φονεύοιεν.

227. Μητιόεντα.] Περιπλεκὰ, ἢ ὑπὸ συνέσεως ἠνεγμένα.

228. Πολύδαμνα.] Ἀμφίβολα, πότερον τὰ φαρμακίδες ἐσὶ τὸ ὄνομα· ἢ τὰ φάρμακα τὰ πολλὰς δαμνάντα.

NOTÆ.

221. Νηπενθές) De *Nepenthe*, *Plutarchus*, *Plinius*, *Macrobius*, & alii apud *Duport.* Gnomolog. in locum; quibus add. *Martinii* Lexicon *Philolog.* v. *Nepenthes*, *P. Petiti* l. cui Nomen, *Homeri Nepenthes*, ſive de *Helena* Medicamento, *Trajecti.* 1689. *Joh.*

NOTÆ IN SCHOLIA.

221. Περιπαροξυτόνως) Ità duo MSS. pro corrupto, παροξυτόνως.

227. Συνέσεως ἠνεγμένα) Ultimam vocem, utpote neceſſariam, ex MSS. addo.

228. Θῶνι, ut proprium Nomen ſcribo, & pro χρόνῳ, χρονικῶν, pro quo νόμῳ legit *Fabricius.*

232. Παιήονος) In hoc *Scholio*, κιχωελισμένος ex MSS. lego, pro κιχωελισμένως, & ex iiſdem, atque *Euſtathio*, Verſus *Heſiodi* emendo; excepto, quòd Παίων, pro Παιήων, Metri gr. legam.

VARIÆ LECTIONES.

221. Ἐπίληθον) *gr.* ἐπιλῆθον, *Br. Schol.* ἐπιλανθὲς, *Plutarch.* Vit. *Homeri.*

229. Αἰγυπτίη, τῇ) *gr.* Αἰγυπτίη, τῇ, *Theophraſt.* περὶ φυτῶν, l. 9. c. 15. fol. 96. *Ibid.* Φέρει) *gr.* φύει, *Id.* ibid.

230. Μεμιγμένα) *gr.* πεπυγμένα, *Theophraſt.* ibid.

Αὐτὰρ ἐπεί ῥ' οἰνήκε, κέλθυσέ τε οἰνοχοῆσαι,
Ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ἦδέ καὶ οἵδε
Ἀνδρῶν ἐσθλῶν παῖδες, ἀτὰρ θεὸς ἄλλο τ' ἐπ' ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.
Ἦ τοι νῦν δαίνυσθε, καθήμενοι ἐν μεγάροισι,
Καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
Πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι ὐδ' ὀνομήνω,
Ὅσσοι Ὀδυσσῆος ταλασίφρονος εἰσὶν ἄεθλοι·
Ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί.
Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσας,
Σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν.
Ἄλλῳ δ' αὐτὸν φωτὶ καταπρύτων ἤϊσκε
Δέκτῃ, ὃς ἁδὴν τοῖος ἔλυ ἐπὶ νηυσὶν Ἀχαιῶν·
Τῷ ἴκελος κατέδυ Τρώων πόλιν· οἱ δ' ἀβάκησαν
Πάντες· ἐγὼ δέ μιν οἵη ἀνέγνων τοῖον ἐόντα,
Καί μιν ἀνηρώτων· ὁ δ' ἠρεδοσύνῃ ἀλέεινεν.
Ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόουν ἠδὲ χρῖον ἐλαίῳ,

Cæterum poſtquam immiſit, juſſitque vinum infundere,
Denuò verbis excipiens alloquuta eſt,
" Atride Menelaë, a-Jove nutrite, atque etiam hi
" Virorum fortium filii, porrò Deus aliud in alium
" Jupiter bonúmque malúmque confert; poteſt enim omnia.
" Sanè nunc convivamini, ſedentes in domibus,
" Et ſermonibus delectamini: decentia enim ordine dicam.
" Omnia quidem non ego enarrare queam, neque nominare,
" Quot Ulyſſis patientis ſunt certamina:
" Sed qualiter iſtud fecit, & ſuſtinuit fortis vir
" Populo in Trojanorum, ubi paſſi eſtis ærumnas Græci:
" Seipſum plagis indecentibus domando,
" Vilibus pannis circumjectis ad humeros, ſervo ſimilis,
" Virorum hoſtium ingreſſus eſt urbem latam:
" Alii verò ſeipſum viro diſſimulans aſſimilavit
" Mendico, qui neutiquam talis erat apud naves Græcorum:
" Huic ſimilis ingreſſus eſt Trojanorum urbem, illi vero ignorabant
" Omnes: ego verò ipſum ſola agnovi talem exiſtentem,
" Et ipſum interrogabam: ille verò præ aſtutiâ tergiverſabatur.
" Sed quando certò ipſum lavi & unxi oleo,

Σ Χ Ο Λ Ι Α.

233. Οἰνοχοῆσαι.] Κεράσαι.

238. Ἦτοι νῦν δαίνυσθε.] Τὸ ἑξῆς, Ἀτρεΐδη καὶ παῖδες, ἦτοι νῦν δαίνυσθε· Ζεὺς γὰρ ἄλλοτε ἄλλα πρήσσει. νῦν μέντοι ἡμῖν τὸ εὐωχεῖσθαι.

239. Καταλέξω.] Ἐρῶ τε εἶπον.

241. Ἄεθλοι.] Ἆθλοι, ἀγῶνες.

244. Αὐτὸν μὲν.] Δύο ἰσοδυναμοῦσαι ἀντωνυμίαι ἀντὶ μιᾶς παραλαμβάνονται. Ἀεικελίῃσι.] Δαμασικαΐς, δεινοῖς, χαλεποῖς.

245. Σπεῖρα κακά.] Ἱμάτια, προσέθηκε δὲ κακὰ, ἵνα δηλώσῃ ῥάκη. Οἰκῆϊ.] Οἰκέτῃ, δούλῳ.

246. Ἀνδρῶν δυσμενέων.] Οἱ μὲ, ἵνα μιτηρήσῃ τὸ πῖχος, οἱ δὲ, ἵνα πείσῃ τὸν Ἑλένην συνεργῆσαι τοῖς Ἕλλησι. Κατέδυ.] Εἰσῆλθεν.

247. Ἤϊσκεν.] Ἀπείκαζεν, ὡμοίου.

248. Δέκτῃ.] Ἐπαίτῃ, ἀπὸ τοῦ δέχομαι. Ὃς ἁδὴν τοῖος ἦεν.] Τὸ δὴν παρέλκει.

249. Ἀβάκησαν.] Ἠγνόησαν· παρὰ τὸ βάζω ἐχνμαίτησις· ἡ δὲ λέξις, ἣν ἅπαξ εἰρημένην ἐστίν.

250. Ἀνέγνων.] Ἐπέγνων.

251. Ἀνηρώτων.] Ἠρώτων. Κερδοσύνῃ.] Δόλῳ, πανουργίᾳ. Ἀλέεινεν.] Ἐφυλάττετο.

252. Ἐλόουν.] Ἔλουον· ἵνα ἀκριβέστερον τὸ καθ' ἑαυτὸν μάθῃ, αὖθις ἔλουεν αὐτόν.

N O T Æ.

244. Αὐτὸν μὲν) Ità Codd. omnes; verùm puto, αὐτόν μιν, ſcribi debere. Nam ut ἑαυτὸν dicimus, ſic ἕ αὐτὸν agnoſcimus, non ἕ αὐτόν. Judicent Docti. Vid. ad *Iliad.* α'. v. 271.

NOTÆ IN SCHOLIA.

244. Δαμασικαΐς) Ità pro δυσήναις, MSS. auctoritate lego; eſt etiam δύσηνος, ὁ κακῶς.

249. Ἀβάκησαν) Lego, ἃ ἅπαξ λέξις &c. ex MSS. Vid. ad *Anacreon.* v. 1202.

VARIÆ LECTIONES.

236. Ἄλλο τε) κ. ἄλλοτε, *Br. Schol.*

244. Αὐτὸν μὲν) κ. αὐτίν μιν, vid. Not. in *Textum.*

Ἀμφὶ

Ἀμφὶ δ' εἵματα ἕσσα, καὶ ὤμοσα καρτερὸν ὅρκον,
Μὴ μὲν πεῦ Ὀδυσῆα μετὰ Τρῶας ἀναφῆναι,
Πείν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι·
Καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
Πολλοὺς δὴ Τρώων κτείνας ταναήκεϊ χαλκῷ,
Ἦλθε μετ' Ἀργείους· κατὰ δὲ Φρύνιν ἤγαγε πολλήν.
Ἔνθ' ἄλλαι Τρωαὶ λίγ' ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
Χαῖρε, ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
Αὖ οἰκόνδ'· ἄτλην δὲ μετέτρεπον, ἰὼ Ἀφροδίτη
Δῶκε, ὅτε μ' ἤγαγε κεῖσε φίλης ἀπὸ παλείδος αἴης,
Παῖδά τ' ἐμὴν νοσφισαμένην, θάλαμόν τε, πόσιν τε,
Οὔ τευ δευόμενον, οὔτ' ἄρ' φρένας, οὔτε τι εἶδος.
Τὼς δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος,
Ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες.
Ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τὲ
Ἀνδρῶν ἡρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν·
Ἀλλ' οὔπω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
Οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ.
Οἷον καὶ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ,
Ἵππῳ ἔνι ξεστῷ, ἵν' ἐνήμεθα πάντες ἄριστοι
Ἀργείων, Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
Ἦλθες ἔπειτα σὺ κεῖσε· κελευσέμεναι δέ σ' ἔμελλε
Δαίμων, ὃς Τρώεσσιν ἐθύλειο κῦδος ὀρέξαι,

" Vestibus autem indui & juravi firmum juramentum,
" Non ante Ulyssem Trojanis me prodituram,
" Quàm ipse ad naves celeres tentoriáque perveniſſet:
" Et tunc tandem mihi omnem mentem aperuit Græcorum.
" Plurimos autem Trojanorum cùm interfeciſſet longo ferro,
" Venit ad Græcos: aſſutiam verò induxit multam.
" Ibi aliæ Trojanæ ſtridulè ejulabant: ſed meum pectus
" Gaudebat: nam jam mihi cor verſum erat redire
" Rurſus domum: damnum verò deflebam, quod Venus
" Dederat, quando me duxit illuc charâ à patriâ terrâ,
" Filiámque meam ſeparans, thalamumque, maritumque,
" Nullius rei indigentem, neque mentis, neque formæ.
Hanc dictis excipiens alloquutus eſt flavus Menelaus,
" Certò hæc omnia, uxor, ut decet, dixiſti:
" Jam quidem multorum cognovi conſiliumque mentemque
" Virorum heroum, multamque peragravi terram:
" Sed nondum talem ego vidi oculis,
" Quale Ulyſſis patientis erat gratum pectus,
" Quale etiam illud fecit, & ſuſtinuit fortis vir,
" Equo in polito, ubi inſidebamus omnes optimates
" Græcorum, Trojanis cædem & fatum inferentes.
" Veniſti deinde illuc: juſſiſſe autem te videbatur
" Deus, qui Trojanis voluit glóriam præbuiſſe,

Σχολια.

253. Ἕσσα.] Ἐνέδυσα.
254. Ἀναφῆναι.] Μηνύσαι, δεῖξαι.
257. Ταναήκεϊ.] Τεθαμμένην ἔχοντι τὴν ἀκμήν.
258. Καὶ ἡ φρένιν ἤγαγε πολλήν.] Καὶ φρόνησιν αὐτῶν ἤγαγεν· τετέκεν, ἢ αὐτὸς κατεφρόνησε τότε αὐτῶν, ἢ τὰς Ἕλληνας ἐποίησεν αὐτῶν καταφρονῆσαι, δι' ὧν ἔπεισε τὴν Ἑλένην· ἢ φρονήσεως ἀπείρως ἑαυτῷ προσέθηκε τὸ ὄνομα ταῦτα ποιήσας· οἱ δὲ νεώτεροι, φρένιν τὴν λείαν ἀπεδέξαντο.
259. Λίζα.] Ὀξέως. Ἐκώκυον.] Ἐθρήνουν.
260. Νέεσθαι.] Πορεύεσθαι.
261. Μετέτρεπον.] Μετεμελόμην.
263. Νοσφισαμένην.] Χωρίσασα, καταλιποῦσα. Πόσιν.] Ἄνδρα.
264. Τεῦ.] Τινός. Δευόμενον.] Ἐνδεῆ ὄντα, ἐνδεόμενον.
267. Ἐδάην.] Ἔμαθον.
268. Ἐπελήλυθα.] Ἐπῆλθον.
272. Ἵππῳ ἔνι ξεστῷ.] Τῷ ἀρείῳ ἵππῳ, καλῶς ἐξεσμένῳ. Ἐνήμεθα.] Ἐμβεβληκότες ἤμεθα.
274. Κελεύσεμεναι.] Πρεσβεύσαι.

Notæ.

272. Ἵππῳ ἔνι ξεστῷ) Hiſtoriam Equi *Trojani* tangit iterum, θ'. v. 492. Vid. ad *Euripid.* Troad. v. 10.

Notæ in Scholia.

264. Ἐνδεόμενον) Ità MSS. non ἐνδευόμενον, quod *Poeticum* eſſet.

Variæ Lectiones.

270. Ἔσκε) γρ. ἔσχε, *H. Steph.*

Καὶ

Καί τοι Δηΐφοβος θεοείκελ' ἕσπετ' ἰόντι.
Τεὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,
Ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
Πάντων Ἀργείων φωνὴν ἴσκων' ἀλόχοισιν.
Αὐτὰρ ἐγὼ, καὶ Τυδείδης, καὶ δῖος Ὀδυσσεὺς
Ἥμενοι ἐν μέσσοισιν, ἀκούσαμεν, ὡς ἐβόησας.
Νῶϊ μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντε,
Ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι·
Ἀλλ' Ὀδυσεὺς κατέρυκε, καὶ ἔσχεθεν ἱεμένω περ.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν ἠδὲ Ἀχαιῶν
Ἀγκλυτος δέ σε γ' οἷος ἀμείψασθαι ἐπέεσσιν
Ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε
Νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς·
Τόφρα δ' ἔχ', ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Ἄλγιον· οὐ γάρ οἵ πι τάγ' ἤρκεσε λυγρὸν ὄλεθρον,
Οὐδ' εἰ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
Ἀλλ' ἄγεθ', εἰς εὐνὴν πέπερ ἡμέας, ὄφρα κεν ἤδη
Ὕπνῳ ὕπο γλυκερῷ τερπώμεθα κοιμηθέντες.
Ὣς ἔφαθ'· Ἀργείη δ' Ἑλένη δμωῇσι κέλευσε

"Et te Deiphobus deo-similis sequebatur profectam.
"Ter autem circumlustrâsti cavas insidias attrectans,
"Nominatim verò Græcorum nominabas optimates,
"Omnium Græcorum voce assimulatâ uxoribus.
"Cæterùm ego & Diomedes & divus Ulysses
"Sedentes inter medios, audivimus, ut vocabas.
"Nos quidem ambo prompti eramus facto impetu
"Vel exire, vel intus statim obtemperare & *respondere*;
"Verùm Ulysses prohibuit & continuit quantumvis cupidos.
"Ibi alii quidem omnes tacebant filii Græcorum:
"Anticlus verò te solus convenire verbis
"Voluit; sed Ulysses os manibus compressit
"Indefinenter fortibus, servavitque omnes Græcos:
"Tam diù detinuit, donec te seorsim adduxit Pallas Minerva.
Hunc rursus Telemachus prudens contrà alloquutus est,
"Atride Menelaë, à-Jove-nutrite, dux populorum,
"Durius est: non enim ei ista depulerunt tristem mortem,
"Neque si ei cor ferreum intus esset.
"Sed agite ad cubile mittite nos, ut jam
"Somno à dulci delectemur dormientes.
Sic ait: Argiva autem Helena ancillis præcepit

ΣΧΟΛΙΑ.

276. Καίτοι Δηΐφοβος.] Ἐπεὶ τελευτήσαντος Ἀλεξάνδρου ὑπὸ Φιλοκτήτου, Δηΐφοβον ἐγαμήθη ἡ Ἑλένη. Θεοείκελος.] Θεοῖς ὅμοιος. Ἴσκω.] Παρομοιάζω. Τοί.] Σοί.

277. Περίστειξας.] Περιῆλθες· ἀπὸ τοῦ στείχειν, ὃ ἐστι παραδιοδεύειν. Κοῖλον λόχον.] Τὸν ἐν μέσῳ ἵππον. Ἀμφαφόωσα.] Ψηλαφῶσα.

278. Ἐκ δ' ὀνομακλήδην.] Ἐξ ὀνόματος.

279. Ἴσκουσα.] Ἀπεικάζουσα.

282. Νῶϊ.] Ἡμεῖς. Μενεήναμεν.] Προεθυμήθημεν.

ΝΟΤΑ.

279. Πάντων Ἀργείων φωνὴν ἴσκων' ἀλόχοισιν) *Ptolemæus Hephæstion.* l. 4. Φασὶν, Ἦχω μὲν τὴν Ἑλένην τὸ κύριον κληθῆναι, ἀφ' οὗ τὸ φανέρωμα αὐτὴν γενέσθαι.

NOTÆ IN SCHOLIA.

Aloysii; Neutrum ἀπεκλήθη, quod olim.

287. Πίεζε) Ἔσφιγξεν. Ità pro ἔσφιγξεν, nec sine MSS.

VARIÆ LECTIONES.

279. Ἴσκουσ') γρ. εἴσκουσ', *Florentin.* & *Rescii Lovaniana.*

294. Τρίπιθ') γρ. τραπιθ', *Eustath. Ibid.* Ὄφρα κεν) γρ. ὄφρα κὴν, *H. Steph.*

295. Τερπώμεθα) γρ. περπώμεθα, MS. *GC.* & *Aloysii*, & *Seberi* Index; *H. Steph.* περπώμεθα, in *Textu*, & τερπώμεθα, in Margine.

Δέμνι'

Δέμνι' ὑπ' αἰθούσῃ θέμψαι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἀνθέμψαι ὕλας καθύπερθεν ἔσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δαὶς μὲν χερσὶν ἔχουσαι.
Δέμνια δὲ στόρεσαν· ἐκ δὲ ξείνους ἄγε κήρυξ.
Οἱ μὲν ἄρ' ἐν προθόμῳ δόμου αὐτόθι κοιμήσαντο
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός·
Ἀτρεΐδης δὲ καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
Πὰρ δ' Ἑλένη ταναύπεπλος ἐλέξατο δῖα γυναικῶν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ὦρτο δ' ἄρ' ἐξ εὐνῆφι βοὴν ἀγαθὸς Μενέλαος·
Εἵματα ἑσσάμενος περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα·
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην,
Τηλεμάχῳ δὲ παρίζε, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε,
Τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, Τηλεμάχ' ἥρως,
Ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης;
Δήμιον, ἢ ἴδιον; τόδε μοι νημερτὲς ἐνισπε.
Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀτρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Ἦλυθον, εἴπινά μοι κληηδόνα πατρὸς ἐίσποις·
Ἐδίεταί μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα.
Δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος, οἵ τε μοὶ αἰεὶ

Cubilia sub porticu ponere, & stragula pulchra
Purpurea injicere, sterneréque superne tapetas,
Chlænásque imponere villosas ad supra cooperiendum.
Illæ ibant ex ædibus facem in manibus gestantes;
Cubilia verò straverunt, hospites autem eduxit præco.
Hi quidem in vestibulo domûs illic dormiebant
Telemachusque heros, & Nestoris inclytus filius;
Atrides verò dormivit in recessu domûs excelsæ,
Juxtáque Helena lato peplo cubabat præstans mulierum:
Quando verò manè-genita apparuit roseis-digitis aurora,
Surrexit ex lectulo bello præstans Menelaus
Vestes indutus, acutum vero gladium circumposuit humero,
Pedibus verò mollibus subligavit pulchros calceos;
Festinabatque ire ex thalamo deo similis coram;
Telemachoque assidebat, sermonemque habuit, & sic fatus est,
" Ecqua tete necessitas huc egit, Telemache heros,
" Ad Lacedæmona divinam, per lata dorsa maris?
" Ad publicum *quid*, an privatum? hoc mihi verè dic.
Hunc rursus Telemachus prudens contrà alloquutus est:
" Atride Menelaë, à Jove nutrite, rex populorum,
" Veni, siquam mihi famam de patre diceres.
" Dissipantur mihi facultates, pereunt verò pinguia opera:
" Hostium virorum plena est domus, qui mihi perpetuò

ΣΧΟΛΙΑ.

297. Δέμνια,] Στρώματα.
298. Ἐφύπερθε.] Ὑπεράνωθεν.
300. Δαὶς.] Φῶς, λαμπάδα.
301. Στόρεσαν.] Ἔστρωσαν.
302. Προθόμῳ.] Τῷ πρὸ τῆς θαλάμου.
304. Μυχῷ.] Τῷ ἐσωτάτῳ.
305. Ταναύπεπλος.] Τετραμμένον πέπλον ἔχουσα. Ἐλέξατο.] Ἐκοιμήθη.
306. Ἦμος.] Ἡνίκα, ὅτε.
310. Ἴμεν.] Πορεύεσθαι.
312. Δεῦρο.] Ἐνταῦθα.
313. Νῶτα θαλάσσης.] Μεταφορικῶς τὸ πλάτος τῆς θαλάσσης εἶπεν.
314. Δήμιον.] Δημόσιον. Νημερτὲς.] Ἀληθὲς.
317. Κληηδόνα.] Κλεηδόνα, φήμην. Ἐνίσπεις.] Εἴπῃς.
319. Πλεῖος.] Πλήρης.

NOTÆ.

312. Τίπτε δέ σε χρειὼ, — δήμιον, ἢ ἴδιον) Subaudi, στεῦγμα &c. ut ad α'. v. 225.

NOTÆ IN SCHOLIA.

297. Στρώμασι) Quæ hactenùs sequebantur, deleo; viz. ὑπ' αἰθούσῃ) ὑπειληχῇ, quòd τὸ ὑπειληχῇ sit δηλωτικὸν τοῦ ἐκγεγόνατε, quæ vox non hujus est loci; quare in alium removi, ad γ'. v. 399. Vid. ad η'. v. 345.

305. Ταναύπεπλος) Τετραμμένον. Ità pro corrupto πεπραμένον, ex *Aloysii* MS.

317. Κληηδόνα) Κλεηδόνα, φήμην. Media Vox ex duobus MSS.

VARIÆ LECTIONES.

304. Καθεῦδε) γρ. καθεύδει, vid. ad α'. v. 611. *Br. Schol.*

Μὴλ' ἁδινὰ σφάζωσι, καὶ εἰλίποδας ἕλικας βοῦς,
Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες.
Τὕνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
Κείνῳ λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴπερ ὄπωπας
Ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἀκούσας
Πλαζομένῳ· πέρι γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
Μηδέ τί μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων,
Ἀλλ' εὖ μοι καταλέξον, ὅπως ἤντησας ὀπωπῆς.
Λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσεὺς
Ἢ ἔπος ἠέ τι ἔργον ὑποσχὰς ἐξετέλεσσε
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
Τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπε.

Τόνδε μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος,
Ὦ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
Ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
Νεβρὼς κοιμήσασα νεηγενέας γαλαθηνὰς,
Κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
Βοσκομένη, ὁ δ' ἔπειτα εἰὼ εἰσήλυθεν ὑλιὼ,
Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
Ὡς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσῃ.
Αἰ γὼ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ποθ', ἐϋκλειμένῃ ἐνὶ Λέσβῳ,
Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,

" Oves teneras mactant, & flexipedes sinuosos boves,
" Matris meæ proci, mirâ insolentiâ prædicti.
" Propterea nunc ad tua genua venio, siquidem velis
" Illius sævam mortem dicere, si ubi vidisti
" Oculis tuis, aut alterius sermonibus audivisti
" Errantis: supra modum enim ipsum ærumnosum peperit mater.
" Neque quicquam me veritus blandiaris, neque misertus,
" Sed planè mihi enarra, quomodo tibi contigit videre.
" Precor, si unquam tibi aliquod pater meus bonus Ulysses
" Aut dictum, aut etiam factum, sustinens effecit
" Populo in Trojanorum, ubi passi estis ærumnas Græci,
" Horum nunc mihi memor sis, & mihi verum enarres.

Hunc multùm suspirans alloquutus est flavus Menelaus,
" Dii Boni! Certè utique perquam fortis viri in cubili
" Voluerunt cubare, imbecilles ipsi cùm sint.
" Quemadmodum si quando in lustro cerva fortis leonis
" Hinnulos collocans nuper-genitos lactantes,
" Juga investigat, & valles herbosas
" Pascens, hic deinde suum ingressus cubile,
" Et utrisque illis indecentem mortem immittit:
" Ita Ulysses illis turpe fatum immittet.
" Utinam, Jupiterque pater, & Minerva, & Apollo,
" Talis sit, qualis olim, benè conditâ in Lesbo,
" Contentione cum Philomelide luctatus est insurgens:

Σ Χ Ο Λ Ι Α.

321. Ὑπέρβιον.] Μεγάλην.
322. Ἱκάνομαι.] Ἱκετεύω.
323. Ὄπωπας.] Ἑώρακας.
325. Ὀϊζυρόν.] Ταλαίπωρον.
326. Μειλίσσεο.] Προσηνῶς λάλει σε.
329. Ὑποσχὰς.] Ὑποδεξάμενος.
331. Ἐνίσπε.] Εἰπέ.
334. Ἀνάλκιδες.] Ἀσθενεῖς.
335. Ξυλόχῳ.] Σωρὸν ὕλης, κοίτην θηρίων.
336. Νεβρὸς.] Τὰ ἔμβρυα τῶν ἐλάφων. Νεηγενέας.] Νεογνὰς, νεοτόκους, νεοθηλεῖς, γαλαθηνὰς.] Μικρὰς, ἔτι γάλακτι τρεφομένας.
337. Κνημούς.] Τὰς πρόβασεις τῶν ὀρέων. Ἐρέῃσιν.] Ἐξερεύνᾳ. Ἄγκεα.] Τὰς κοίλας τόπους τῶν ὀρέων. Ποιήεντα.] Βοτανώδη.
338. Εἰὼ.] Τῇ ἑαυτῆ. Εἰσήλυθεν.] Εἰσῆλθεν.
340. Ἐφήσῃ.] Ἐπιβαλεῖ.
343. Φιλομηλείδῃ.] Τῷ Πατρόκλῳ. Φιλομήλας γὰρ ἦν υἱός.

Ν Ο Τ Æ.

336. Νεβρὸς — νεηγενέας, γαλαθηνὰς) *Anacreon.* v. 1129. Νεοθηλέα γαλαθηνὸν νεβρόν.

NOTÆ IN SCHOLIA.

343. Ἐξ ἔριδος Φιλομηλείδῃ) Hoc *Scholion* examinatur ad ε'. v. 134. Not. in *Schol.* Vid. quæ Nos ad *Iliad.* α'. v. 307.

Variæ Lectiones.

329. Ἤ τι) γρ. ἢ ἔπι, *H. Steph.*
336. Γαλαθηνὰς) γρ. γαλαθινὰς, *Hesych.* γαλαπίνας, *Cal. Rhodig.* fol. 150. Error in utroque.

Κὰδ' δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί.
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσεύς,
Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε
Ἄλλα παρὲξ εἴποιμι ἰδὼν Πρωτῆα γέροντα,
Ἀλλὰ τὰ μέν μοι εἶπε γέρων ἅλιος νημερτὴς,
Τῶν ὑδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ὑποθύσω.
Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
Ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τελείας ἑκατόμβας·
Οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτιοι δ' ἐπάροιθε, Φάρον δέ ἑ κικλήσκουσι,
Τόσσον ἄνευθ', ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
Ἤυσεν, ἢ λιγὺς οὖρος ὑποπνείησιν ὄπισθεν.
Ἐν δ' λιμένι εὐόρμῳ, ὅθεν τ' ἀπὸ νῆας ἐΐσας
Ἐς πόντον βάλλουσιν, ἀφυσάμενοι μέλαν ὕδωρ.
Ἔνθα μ' ἐείκοσιν ἤματ' ἔχον θεοί, οὐδέ ποτ' οὖροι
Πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
Πομπῆες γίνονθ' ἐπ' εὐρέα νῶτα θαλάσσης.
Καί νύ κεν ἤια πάντα κατέφθιτο, καὶ μενοεικὼν
Εἰ μή τίς με θεῶν ὀλοφύξατο, καί μ' ἐσάωσε,

" Prostravit verò fortiter, gavisi sunt autem omnes Græci:
" Talis existens cum procis versaretur Ulysses,
" Omnes sanè brevis-vitæ fierent amarique-matrimonii.
" Ista verò, quæ me interrogas & precaris, non utique ego
" Alia præter *verum* dixero declinando, neque decipiam:
" Sed ea quidem, quæ mihi dixit senex marinus verus,
" Ex his neutiquam tibi ego celabo dictum, neque occultabo.
" In Ægypto me adhuc dii cupidum redire
" Detinuerunt, quoniam non ipsis exhibueram legitimas Hecatombas:
" Dii enim semper volunt nos memores esse præceptorum.
" Insula deinde quædam est valdè undoso in ponto,
" Ægyptum ante, Pharum verò ipsam vocant,
" Tantùm semota, quantùm toto die cava navis
" Confecerit, cui stridulus ventus aspiret à puppi:
" In eâ autem portus portuosus, unde naves æquales
" In pontum deducunt, postquam hauserunt nigram aquam:
" Illic me viginti diebus detinuerunt dii, neque unquam venti-secundi
" Spirantes apparuerunt marini, qui sanè navium
" Ductores sunt supra lata dorsa maris.
" Et fortassis viatica omnia consumpta essent, & animi virorum,
" Nisi me aliqua dearum respexisset, & me servâsset,

ΣΧΟΛΙΑ.

344. Κὰδ' δ' ἔβαλε.] Κατέβαλε ἢ, ἔφηκεν, ἔπεμψεν. Κεχάροντο.] Ἐχάρησαν.
345. Ὁμιλήσειεν.] Συμβάλοι, μαχέσαιτο.
347. Λίσσεαι.] Ἱκετεύεις, παρακαλέσεις.
348. Παρὲξ.] Ἔξω παρὰ ταῦτα. Παρακλιδὸν.] Παρακλινθείσης, παρεξαπείσης τὴ λέξεως.
349. Γέρων ἅλιος.] Θαλάσσιος γέρων, ὁ Πρωτεύς. Νημερτὴς.] Ἀληθὴς ἀψευδής.
355. Φάρον.] Νῆσον Αἰγύπτου, τὴν νῦν Ἀλεξάνδρειαν.
356. Τόσσον ἄνευθεν.] Εἰκὸς, τοσοῦτον εἶναι καὶ

NOTÆ IN SCHOLIA.

348. Φιλομηλείδη) Quòd *Patronymica* formentur etiam ex Matribus, ostendo, in Notis ad *Schol.* ε'. v. 134.
352. Ἔσχον, ἐπεὶ οὔ σφιν) Hic *Ultima*, & ἐπεὶ, unà cum πρὶ ἢ, coalescit, ut ad v. 165. & infrà, ad v. 682. notamus. Vid. ad *Iliad.* ν'. v. 777.
355. Αἰγύπτῳ) Vid. infrà, ad v. 477.
348. Παρακλιδὸν) In fine, addo τὴ λέξεως, ad Sensum dilucidandum.
356. Τόσσον ἄνευθεν) Pro ἐκτὸς, lego εἰκὸς, pro τὰς ἡρωϊκὰς χρόνους τὸ ἀφέσημα, ἔπειτα ἀπαλαιωθῆναι, & Νεϊλαιτερχιοῦλος τὴν ἰδίαν ἰλὺν· πολεμόχωρος δὲ ἡ Αἰγυπτία, καθὰ Ἡρόδοτον. Ἄνευθε.] Μακρὰν, πόρρω. Πανημερίη.] Διὰ πάσης ἡμέρας. Γλαφυρὴ.] Κοίλη.
357. Ἤυσε.] Διεπέρασεν. Ὑποπνείησιν.] Ἐπιπνέῃ.
358. Εὔορμῳ.] Εὐκαθόρμιστος.
359. Ἀφυσάμενοι.] Ἀντλήσαντες.
361. Ἁλιαέες.] Οἱ ἐν τῇ θαλάσσῃ πνέοντες.
363. Ἤια.] Ἐφόδια. Κατέφθιτο.] Κατηνάλωτο, ἀπέλιπεν.
364. Ὀλοφύξατο.] Ὠκλησεν.

VARIÆ LECTIONES.

353. Βούλοντο) γρ. βούλοιντο, *H. Steph.*
364. Ἐσάωσε) γρ. ἐλίησε, *H. Steph.*

Πρωτέος ἰφθίμη θυγάτηρ, ἁλίοιο γέροντος,
Εἰδοθέη· τῇ γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα,
Ἥ μ' οἴῳ ἔρροντι συνεύνετο, νόσφιν ἑταίρων.
Αἰεὶ γὰρ τοὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός.
Ἦ δ' ἐμοῦ ἄγχι στᾶσα ἔπος Φάτο, φώνησέν τε,
Νήπιος εἶς, ὦ ξεῖνε, λίην τόσον, ἠὲ χαλίφρων,
Ἠὲ ἑκὼν μεθίης, καὶ τέρπεαι ἄλγεα πάσχων,
Ὡς δὴ δηθὰ σοὶ νήσῳ ἐρύκεω, οὐδέ τι τέκμωρ
Εὑρέμεναι δύνασαι, μινύθῃ δέ τοι ἦτορ ἑταίρων.
Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Ἔκ μού τοι ἐρέω, ἥτις σύ γε ἐσσὶ θεάων,
Ὡς ἐγὼ ἄκων ἔχων κατερύκομαι, ἀλλά νυ μέλλω
Ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν·
Ἀλλὰ σύ πέρ μοι εἰπέ, θεοὶ δέ τε πάντα ἴσασιν,
Ὅστις μ' ἀθανάτων πεδάα καὶ ἔδησε κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀληθέως καταλέξω,
Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς,
Ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅστε θαλάσσης

" Protei glorioſi filia, marini ſenis,
" Idothea: huic ſanè potiſſimùm animum commovi,
" Quæ mihi ſoli deſperabundo obvia fuit, ſeorſum à ſociis.
" Semper enim circa inſulam errantes piſcabantur
" Curvis hamis: domabat etenim ventrem fames.
" Hæc me propè aſtans, verbum dixit, & proloquuta eſt,
" Stultus es, ô hoſpes, maximoperè, aut remiſſo animo,
" Aut ſponte ceſſas, & delectaris dolores ferens,
" Adeò utique diù in inſulâ detineris, neque ullum finem
" Invenire poteris; minuitur autem tibi cor ſociorum.
" Sic ait: cæterum ego ipſam mutuis excipiens alloquutus ſum,
" Sanè tibi dicam, quæcunque tandem ſis dearum,
" Quòd ego neutiquam voluntarius detineor, ſed videor
" Immortales offendiſſe, qui cœlum latum habitant:
" Sed tu mihi dic, dii enim omnia ſciunt,
" Quiſnam me immortalium impedit & moratur iter,
" Reditumque; ut in pontum devenam piſcoſum.
" Sic dicebam: illa verò ſtatim reſpondebat diva dearum,
" Enimvero ego tibi, ô hoſpes, valdè vè enarrabo:
" Verſatur quiſpiam hic ſenex marinus veridicus,
" Immortalis Proteus Ægyptius, quique maris

ΣΧΟΛΙΑ.

365. Πρωτέως θυγάτηρ.] Εἰδοθέα.
366. Ὅρμενα.] Ἐπόρξα.
367. Ἔρροντι.] Μετὰ λύπης περιουσίᾳ καὶ φθορᾶς.
368. Ἀλώμενοι.] Πλανώμενοι. Ἰχθυάασκον.] Ἰχθῦς ἔθηρων.
369. Γναμπτοῖς.] Ἐπικαμπέσιν. Ἔτειρε.] Κατεπόνει.
371. Χαλίφρων.] Κεχαλασμένας ἔχων τὰς φρένας, ἢ ἠλίθιος.
372. Μεθίης.] Ἀμελεῖς.
373. Ἐρύκεω.] Κατέχῃ, κωλύῃ.
374. Μινύθῃ.] Ἐλαττῶται, μειοῦται.
377. Κατερύκομαι.] Κατέχομαι. Μέλλω.] Ἔοικα.
378. Ἀλιτέσθαι.] Ἁμαρτῆσαι.
380. Πεδάα.] Ἐμποδίζει, κατέχει.
384. Πωλεῖται.] Ἀναστρέφεται, παραγίνεται.

NOTÆ.

365 Πρωτέος — θυγάτηρ — Εἰδοθέη) Εἰδοθέα, ἀφ' ὅτου θεῶν εἴδησιν· *Euripides*, Θεονόην vocat, nomine ejuſdem ſignificationis, ut *Simmias Rhodius* Μακροπόλεμον dixit, pro Τηλέμαχον, & eidem *Penelope* dicitur, Οὐδένος εὐάτειρα, quòd *Ulyſſes* ejus Maritus οὔτιν ſe vocatum voluit, in *Cyclopis* antro. Hanc etiam Εὐρυνόμην vocat *Zenodotus*, apud *Euſtath.* fol. 1500. lin. 40. *Conon* hanc narrat, Amore captam *Canobi*, *Menelai* naucleri, *Narrat.* 8.

379. Θεοὶ δέ τε πάντα ἴσασιν) Prior ἴσασιν *Communis*; hìc *Brevis*, & *Iliad.* ζ'. v. 151. at producitur, *Iliad.* ι'. v. 36.

380. Ἀλλὰ σύ πέρ μοι εἰπὲ) Τὸ ἑξῆς, Εἰπέ μοι, ὅστις θεῶν με πεδᾷ, & ἔδησέ με κελεύθου, & νόστον εἰπέ. Ita mox, v. 423. Εἰρέσθαι, ὅστις σὲ θεῶν χαλεπαίνει, & νόστον, εἴρεσθαι δηλονότι.

VARIÆ LECTIONES.

366. Εἰδοθέη) γρ. Εὐρυνόμη, *Zenodot.* vid. Not. in *Textum*, ad v. 365.

369. Ἔτειρε) γρ. ἔθειρε, *H. Steph.* errore preli; quem tamen ſecuti, *Caſtellio*, *Spondan.* *Schrevel.* in *Textu* & *Scholiis*, &c.

Πάσης

Πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑπόδμως·
Τόνδε τ' ἐμόν φασιν πατέρ' ἔμμεναι, ἠδὲ τεκέσθαι.
Τόνγ' εἴπως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
Ὅς κέν τοι εἴπῃσιν ὁδὸν ἠμὲτρα κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα·
Καὶ δέ κέ τοι εἴπῃσι, διοτρεφὲς, αἴ κ' ἐθέλῃσιν,
Ὅ, τι τοὶ ὀν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται,
Οἰχομένοιο σέθεν δολιχιὴν ὁδὸν ἀργαλέην τε.
Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
Μήπως μὲ προϊδὼν, ἠὲ προπεπευσόμενος, ἀλέηται·
Ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι.
Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω·
Ἡμόσσ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβηκώς,
Τῆμος ἄρ' ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς,
Πνοιῇ ὑπὸ Ζεφύροιο, μελαίνῃ φρικὶ καλυφθείς,
Ἐξ δ' ἐλθὼν κοιμᾶται ὑπὸ σπέσι γλαφυροῖσιν.
Ἀμφὶ δέ μιν Φῶκαι, νέποδες καλῆς Ἁλοσύδνης,
Ἀθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,

" Totius profunditates novit, Neptuni minister;
" Hunc meum inquiunt patrem esse, atque genuisse:
" Quem si quo pacto tu poteris ex insidiis prendere,
" Ille tibi dicat viam & mensuras itineris,
" Reditumque, ut per mare proficiscaris piscosum:
" Atque præteres tibi dixerit, ô nobilis, si modo velit,
" Quodcunque tibi in domibus malúmque bonúmque acciderit,
" Absente te per longam viam difficilemque.
" Sic ait: cæterùm ego ipsam vicissim alloquutus sum,
" Ipsa nunc explica insidias divini senis,
" Nè quo pacto me prævidens, aut præsciens, effugiat;
" Difficilis enim est deus mortali homini domari.
" Sic dicebam, ipsa continuò respondit diva dearum,
" Enimvero ego tibi, hospes, valdè verè dicam:
" Quando sol medium cœlum ascenderit,
" Tum certè è mari emergit senex marinus veridicus,
" Flatu sub Zephyri, nigrâ procellâ obtectus,
" Egressus verò dormit sub specubus cavis.
" Circa ipsum vero Phocæ, progenies pulchræ Halosydnæ,
" Frequentes dormiunt, è cano mari egressæ,

ΣΧΟΛΙΑ.

386. Ὑποδμώς.] Θεραπων, ὑπηρέτης.
388. Δύναιο.] Δυνηθείης. Λοχησάμενος.] Ἐνεδρεύσας. Λελαβέσθαι.] Ἐπιλαβέσθαι, κρατῆσαι.
393. Δολιχήν.] Μακρὰν.
395. Φράζευ.] Διανοῦ, βουλεύου.
396. Προϊδὼν.] Προγνωσθείς. Ἀλέηται.] Ἐκκλίνῃ, φυλάξηται.
397. Δαμῆναι.] Δαμασθῆναι.
400. Ἀμφιβεβηκώς.] Περιών.

NOTÆ.

404. Ἀμφὶ δέ μιν Φῶκαι, νέποδες καλῆς Ἁλοσύδνης) Νέποδες, τέκνα, ἀπόγονοι. Hinc *Callimach.* de *Simonide, Hyrrhici* filio. Οὐ γὰρ ἐρῶ τὸν μῦθον, ὡς ὁ Κεῖος Ὑρρίχου νέπως. *Philoxenus* ἰχθύας καλεῖ τέκνα θαλάσσης, ut *Athenæ.* l. 1. fol. 5. *Theocrit.* Idyll. 17. v. 25. Ἀθήναιοι δὲ καλοῦσι, φησὶ νέποδας γαμβρούς. Vid. *Isaac. Casaubon.* Lect. *Theocrit.* c. XVIII. & *Meric. Casaubon.* De nuperâ *Homeri* Editione, Differt. 1. p. 33. Quin *Eustath.* fol. 1502. lin. 36. Νέποδες γὰρ θαλάσσης, αἱ φῶκαι, ὅ ἐστι τέκνα. Νέπους γὰρ, παῖδά τινα γλῶσσαν, ὁ ἀπόγονος. *Apollon.* l. 4. v. 1755. Τοῖς νεπόδεσσιν ἐοίμην. Vid. *Martinii* Lexicon Philolog. v. *Nepos.*

405. Ἀθρόαι εὕδουσιν) *Martial.* Dormitis nimium, Glires, Vitulique marini. *Plin.* l. 9. c. 13. Nullum animal graviore somno premitur. Vid. *Ælian.* Animal. l. IX. c. L. & *Pierii* Hieroglyph.

401. Ἐξ ἁλός.] Ἥτοι ἔξω τῆς θαλάσσης.
402. Φρικὶ.] Τῇ ἐπιζυμούσῃ μελανίᾳ τοῦ ὕδατος ἢ τῇ ἐπιπολαίῳ κινήσει τοῦ ὑδάτων.
404. Ἀμφὶ δέ μιν φῶκαι.] Περὶ αὐτὸν ἡ φώκας συνοικοῦσιν ὁ Πρωτεὺς· ἐπιτηδειόταται γὰρ τῶν ἁλίων ζώων τοῦτο εἰς μαγείαν. Νέποδες.] Αἱ ἀπὸ θηλείας τινὸς πορείαν ποιούμεναι, ἢ ἄπαιδες. Ἁλοσύδνης.] Τῆς θαλάσσης, παρὰ τὸ σὺν ἁλὶ σεύεσθαι.
405. Ἀθρόαι.] Ὁμοῦ πᾶσαι.

VARIÆ LECTIONES.

389. Ὅς κεν) γρ. ὥς κεν, ἀντὶ τοῦ, ἄχελε, *Hesych.* Vid. ad *Iliad.* β'. v. 325. Not. in *Textum.*
391. Ἐθέλῃσιν) γρ. ἐθέλησθα, vid. *Eustath.*
399. Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως καταλέξω) γρ. Τοιγὰρ ἐγὼν ἐρέω· σὺ δ' σὶ φρεσὶ βάλλεο σῇσι, *H. Steph.* ex Romanâ *Eustathii* Edit. Nostram tamen, præter Vulgares, & ipsum *Steph.* defendit Lectionem, præfertque *Florentina*, & *Lovaniana.*

Πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.
Ἔνθα σ' ἐγὼν ἀγαγοῦσα, ἅμ' ἠῒ φαινομένῃφιν,
Εὐνάσω ἐξείης· σὺ δ' εὖ κείνασθαι ἑταίρους
Τρεῖς, οἵ τοι νηυσὶν εὐεστέλμοισιν ἄριστοι·
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα τοῖν γέροντος.
Φώκας μὲν τοι πρῶτον ἀριθμήσῃ, καὶ ἔπειτα
Αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται, ἠδὲ ἴδῃται,
Λέξεται ἐν μέσῃσι, νομεὺς ὡς πώεσι μήλων·
Τὸν μὲν ἐπὴν δὴ πρῶτα καλευνηθέντα ἴδησθε,
Καὶ τότ' ἔπειτ' ὔμμιν μελέτω κάρτος τε βίη τε,
Αὖθι δ' ἔχειν μεμαῶτα καὶ ἐστύμενον ῥα ἀλύξαι.
Πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ' ἐπὶ γαῖαν
Ἕρπετα γίνονται, καὶ ὕδωρ, καὶ θεσπιδαὲς πῦρ·
Ὑμεῖς δ' ἀσφαλέως ἐχέμεν, μᾶλλόν τε πιέζειν.
Ἀλλ' ὅτε κεν δή σ' αὐτὸς ἀνείρηται ἐπέεσσιν,
Τοῖος ἐὼν, οἷόν κε καλευνηθέντα ἴδησθε,
Καὶ τότε δὴ χέσθαι τε βίης, λῦσαί τε γέροντα,
Ἥρως· εἰρέσθαι δέ, θεῶν ὅτις σε χαλέπτει,
Νόστον θ'· ὡς ἐπὶ πόντον ἐλεύσεται ἰχθυόεντα.
Ὡς εἰπῦσ', ὑπὸ πόντον ἐδύσαλο κυμαίνοντα·
Αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ' ἕταροι ἐν φαμάθοισιν,
Ἴα· πολλὰ δέ μοι κραδίη πόρφυρε νόοιο.

" Acerbum ſpirantes maris profundi odorem.
" Illuc te ego ducens, ſimul aurorâ illucescente,
" Collocabo ex ordine: tu verò probè elige ſocios
" Tres, qui tibi apud naves tranſtratas optimi ſunt:
" Omnes autem tibi enarrabo aſtutias ipſius ſenis.
" Phocas quidem primùm numerabit, & inſpiciet;
" Cæterùm poſtquam omnes per quinterniones numerârit atq; inſpexerit,
" Cubabit in medio, paſtor veluti in grege ovium:
" Atqui ubi primùm ſopitum videritis,
" Tum deinde vobis curæ ſit robúrque viſque,
" Illic utique tenere cupientem & geſtientem licet elabi.
" Omnia verò factus molietur, quæcunque in terrâ
" Animalia ſunt, & aqua, & divinitùs ardens ignis:
" Vos tamen firmiter tenete, magiſque premite.
" Sed quando utique te ipſe interrogaverit verbis,
" Talis apparens, qualem conſopitum videritis,
" Et tum certè deſiſte à vi, ſolvéque ſenem,
" Heros: interroga verò deorum quiſnam te affligat,
" Reditumque; ut per pontum proficiſcaris piſcoſum.
" Sic loquuta, in pontum ſubiit fluctiſonum:
" Cæterùm ego ad naves, ubi ſtabant in arenâ,
" Ibam multùm verò mihi cor cogitabat eunti.

ΣΧΟΛΙΑ.

406. Ἀποπνείουσαι.] Ὄζουσαι. Πολυβενθέος.] Πολὺ βάθος ἔχούσης.
408. Εὐνάσω.] Καθαχλινῶ, κοιμίσω. Κεῖνασθαι.] Ἐπιλέξασθαι.
410. Ὀλοφώϊα.] Ὀλίγεια, ἢ ἀπόκρυφα, ἢ ὄθλια.
411. Ἔπεισιν.] Ἐπιλεύσεται.
412. Πεμπάσσεται.] Κατὰ πέντε ἀριθμήσῃ.
413. Λέξεται.] Καθαχλιθήσεται. Νομεὺς ὡς.] Ὡς ποιμὴν. Πώεσι.] Ποιμνίοις.
414. Κατδυνηθέντα.] Κοιμηθέντα.
416. Ἀλύξαι.] Ἐκφυγεῖν.
417. Πειρήσεται.] Πειρασθείη.

NOTÆ.

408. Εὖ κρίναντ) Cùm *olim* εὖ malè adeſſet, ſcribendum vidi, ἐὺ, cum notâ Ἀλαλύσεως, *Verſus* cauſâ; nam σὺ, *brevis* Natura. Sic *Iliad.* γ'. v. 235. Ὅυς κεν ἐὺ γνοίῃ. Ità *Odyſſ.* η'. Argument. Ἥτις δ' ἐὺ φρονέοι. Sic *Heſiod.* Theogon. v. 885. Ἀφνειὸν

VARIÆ LECTIONES.

408. Εὖ) γρ. εῦ, vid. Not. in *Textum*.
414. Ἴδησθε) γρ. ἴδηαθε, *H. Steph.* & illius ſequaces, haud bene.
418. Ἕρπετά.] Κυρίως μὲν, οἱ ὄφεις· καθαχρηστικῶς δὲ νῦν, πάντα τὰ ζῳα.
419. Ἀσπαλῶς.] Ἀσφαλῶς, βεβαίως, ἀμεταπτώτως. Μᾶλλον πιέζειν.] Βιαιότερον κρατεῖν.
420. Ἀνείρηται.] Ἐρωτήσῃ.
422. Σχέσθαι.] Παῦσαι.
423. Εἰρέσθαι.] Ἐρωτᾶν. Χαλέπτει.] Βλάπτει.
424. Ἐλεύσεται.] Ἔλθῃς, πορεύσεις.
425. Ἐδύσατο.] Κατέδυσεν.
427. Ἴα.] Ἐπορεύθην, ἢ ἐπορεύομαι.
427. Πόρφυρε.] Ἐν βάθει τὴν ἀμφοίαν διενοεῖτο καὶ ὑπενοεῖτο, καὶ ἐταράσσετο· ὥσπερ συμβαίνει ἐπὶ τῶν ὑδάτων· ὁ δὲ τοῖτον εὖ διδάσκαλος πρὸς.
418. Θεσπιδαὲς πῦρ) Vid. *Heraclit.* περὶ ἀπίστων, c. 29. *Lucian.* hæc facetè rider, Dialog. 2.
423. Εἰρέσθαι) Vid. ad v. 380.
421. Ἴδησθε) γρ. ἰδῆσθε, vid. ad v. 414.

Αὐτὰρ

Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Δόρπον δ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νὺξ,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότε δὴ ῥ' ἴμεν ἔνα θαλάσσης εὐρυπόροιο
Ἴκια, πολλὰ Διὶ γενέθλιος· αὐτὰρ ἑταίρους
Τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰθύν.
Τόφρα δ' ἄρ' ἦγ' ὑποδῦσα θαλάσσης εὐρέα κόλπον,
Τέσσαρα Φωκάων ἐκ πόντου δέρματ' ἔνεικε·
Πάντα δ' ἔσαν νεόδαρτα· δόλον δ' ἐπεμήδετο παλεί·
Εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἁλίησιν,
Ἧστο μένουσ', ἡμεῖς δὲ μάλα σχεδὸν ἤλθομεν αὐτῆς·
Ἐξείης δ' ἔυνησε, βάλεν δ' ἐπὶ δέρμα ἑκάστῳ.
Κεῖθι δὴ αἰνότατος λόχος ἔπλετο· τεῖρε γὰρ αἰνῶς
Φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
Τίς γὰρ ἂν εἰναλίῳ δαμασθεὶς κοιμηθείη;
Ἀλλ' αὐτὴ ἐσάωσε, καὶ ἐφράσατο μέγ' ὄνειαρ·
Ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα,
Ἡδὺ μάλα πνείουσαν· ὄλεσε δὲ κῆτος ὀδμήν.
Πᾶσαν δ' ἠοίλυν μένομεν τετληότι θυμῷ.
Φῶκαι δ' ἐξ ἁλὸς ἦλθον ἀολλέες· αἱ μὲν ἔπειτα

" Cæterùm poſtquam ad navem veni atque mare,
" Cœnam apparavimus, deinde acceſſit divina nox,
" Tum obdormivimus in littore maris.
" Quando vero mane-genita apparuit roſeis-digitis aurora,
" Tunc ad littus maris lata-vada-habentis
" Ibam, plurimùm dîis ſupplicans: porrò ſocios
" Tres ducebam, quibus potiſſimum confidebam ad omne molimen.
" Interea verò hæc ingreſſa maris latum ſinum,
" Quatuor Phocarum ex ponto pelles attulit:
" Omnes verò erant recens-excoriatæ: dolum autem ſtruebat patri:
" Cubilibus enim in arenâ exſculptis marinâ,
" Sedebat expectans, noſque valdè prope venimus eam.
" Ex ordine itaque collocavit, injecitque corium unicuique.
" Illic ſanè moleſtiſſimæ inſidiæ erant: affligebat enim graviter
" Phocarum in mari-nutritarum peſſimus odor:
" Quis etenim marinum propè cetum poſſet cubare?
" Sed ipſa ſervavit & excogitavit magnum remedium:
" Ambroſiam ad nares unicuique poſuit afferens,
" Dulce admodùm ſpirantem: repreſſitque ceti odorem.
" Totum matutinum tempus expectavimus patienti animo.
" Phocæ autem è mari venerunt frequentes: illæ quidem deinde

ΣΧΟΛΙΑ.

πων, τὸ δὲ βάθος κινέμενα μελαίνεσθαι. Κιόντι.] Ἀπίοντι.

429. Ὁπλισάμεσθα.] Παρεσκευάσαμεν. Ἀμβροσίη.] Ἄφθαρτος, θεία.

434. Πεποίθεα.] Ἐπεποίθειν, ἐθάρρουν. Πᾶσαν ἐπ' ἰθύν.] Ἐπὶ πᾶσαν ὁρμὴν καὶ πρᾶξιν.

435. Ὑποδῦσα.] Καταδῦσα. Εὐρέα.] Πλατὺν, ἢ μέγαν.

437. Νεόδαρτα.] Νεωστὶ ἐκδαρθέντα.

438. Διαγλάψασα.] Διακοιλάνασα.

440. Ἔυνησεν.] Κατέκλινεν, ἐκοίμησεν.

441. Αἰνότατος.] Δεινότατος, χαλεπώτατος. Τεῖρε.] Κατεπόνει.

442. Ἁλιοτρεφέων.] Τῶν ἐν τῇ θαλάσσῃ τρεφομένων. Ὀλοώτατος.] Ὀλεθριώτατος.

443. Εἰναλίῳ.] Θαλασσίῳ.

444. Ὄνειαρ.] Ὠφέλιμον.

445. Ἀμβροσίην.] Νῦν τὸ θεῖον καὶ εὐῶδες ἔλαιον.

446. Ἡδὺ.] Ἡδέως.

447 Ἠοίην.] Τὸν ἀπὸ πρωΐας ἕως ὥρας ἕκτης καιρόν. Τετληότι.] Καρτερικῷ, ὑπομονητικῷ.

NOTÆ.

435. Εὐρέα κόλπον) Notandum, quod Vulgari Grammaticæ deeſt, Nomina Adjectiva in ὺς, duplicem habere *Accuſativum*, in *Maſculo*, ut εὐρέας pro εὐρὺν, ut hîc, ἡδέα pro ἡδὺν, &c.

NOTÆ IN SCHOLIA.

435. Εὐρέα) Πλατὺν, ἢ μέγαν. Ità pro πλατεῖαν, ἢ μεγάλην, ut concordet cum τὸ κόλπον, in *Textu*.

VARIÆ LECTIONES.

438. Διαγλάψασ') γρ. Διαγνάψασ', *H. Steph.*

441. Κεῖθι δὴ αἰνότατος) γρ. ἔνθα κὲν αἰνότατος, *H. Steph.*

443. Τίς γὰρ ἂν εἰναλίῳ) γρ. τίς γάρ κ' εἰναλίῳ, *H. Steph.*

Ἐξῆς

Ἑξῆς ἡϋάζοντο ῥοθίῳ ῥηγμῖνι θαλάσσης.
Ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός, εὗρε δὲ Φώκας
Ζατρεφέας· πάσας δ' ἄρ' ἐπώχετο, λέκτο δ' ἀριθμόν.
Ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ
Ὠίετο δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
Ἡμεῖς δ' αἶψ' ἰάχοντες ἐπεσσύμεθ'· ἀμφὶ δὲ χεῖρας
Βάλλομεν· οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
Ἀλλ' ἤτοι πρώτιστα λεὼν γένετ' ἠϋγένειος,
Αὐτὰρ ἔπειτα δράκων, καὶ πάρδαλις, ἠδὲ μέγας σῦς·
Γένετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον.
Ἡμεῖς δ' ἀσφαλέως ἔχομεν τετληότι θυμῷ·
Ἀλλ' ὅτε δὴ ῥ' ἀνίαζ' ὁ γέρων, ὀλοφώϊα εἰδώς,
Καὶ τότε δή μ' ἐπέεσσιν ἀνειρόμενος προσέειπεν,
Τίς νύ τοι, Ἀτρέος υἱὲ, θεῶν συμφράσσατο βουλὰς,
Ὄφρα μ' ἕλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;
Ὣς ἔφαθ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον,
Οἶσθα, γέρον· τί με ταῦτα δολοφρονέων ἐρεείνεις;
Ὡς δὴ δηθ' ἐνὶ νήσῳ ἐρύκομαι, οὐδέ τι τέκμωρ
Εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
Ἀλλὰ σύ πέρ μοι εἰπὲ, θεοὶ δέ τε πάντα ἴσασιν.
Ὅστις μ' ἀθανάτων πεδάα καὶ ἔδησε κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.

« Ordine ſopiebantur juxta littus maris.
« Meridianus autem ſenex venit è mari, inveniitque Phocas
« Obeſas: omnes verò adibat, recenſuitque numerum.
« Nos autem primos recenſuit inter cetos, nec omninò in animo
« Suſpicabatur dolum eſſe, deinde cubavit & ipſe.
« Nos vero protinùs vociferantes irruimus: circumque manus
« Jecimus, neque ipſe ſenex doloſæ obliviſcebatur artis,
« Sed certè primùm leo factus eſt magnis-jubis,
« Porrò deinde draco, & panthera, atque ingens ſus:
« Factus eſt etiam liquida aqua, & arbor altis foliis:
« Nos vero firmitèr tenebamus forti animo.
« Sed cùm jam anguſtabatur ſenex, verſutias doctus,
« Tunc certè me verbis interrogans alloquutus eſt,
« Quiſnam tibi, Atrei fili, deorum conſuluit conſilia,
« Ut me caperes invitum inſidiatus? cujus rei opus habes?
« Sic ait; cæterùm ego ipſum excipiens alloquutus ſum,
« Scis, ſenex; quid me iſta decipiens interrogas?
« Quòd jam diu in inſulâ detineor, neque ullo pacto finem
« Invenire queo, minuitur autem mihi animus cor.
« Sed tu utique mihi dic, dii etenim omnia ſciunt,
« Quinam me immortalium impedit (& averti à viâ)
« Reditum ægre, ut per pontum vadam piſcoſum.

ΣΧΟΛΙΑ.

449. Ἑξῆς.] Ἐφεξῆς, κατὰ εἶχον. Ἡϋάζοντο.] Ἐκοιμῶντο.

450. Ἔνδιος.] Μεσημβρινός· τότε γὰρ ἀρχὴ λοιπὸν ἐωθινῆς ἡ ἕλη, ὅ ἐστιν, ἡ ἀκτὶς ἡλίου.

451. Ζατρεφέας.] Εὐτραφεῖς. Λέκτο.] Ἠριθμήσατο.

452. Λέγε.] Κατηρίθμει.

453. Ὠίετο.] Ὑπενόησεν. Λέκτο.] Νῦν ἐκαθεύδησεν.

454. Ἰάχοντες.] Βοήσαντες. Ἐπεσσύμεθα.] Μετὰ ὁρμῆς ἐπήλθομεν.

456. Ἀλλ' ἤτοι πρώτιστα.] Οὐχ ὅλως μετέβαλεν, ἀλλὰ φαντασίαν ἐποίησε τέχνην μαγικὴν ἐλέφθη γὰρ ὡς ὁλοκληρωτὸν ὁμοῦ, καὶ πρωτίστως ἐπὶ πᾶς μεταβολὰς μαντείας. Ἠϋγένειος.] Καλὸν ἔχων γένειον.

459. Ἔχομεν.] Κατείχομεν.

460. Ἀνίαζεν.] Ἔστενζεν.

461. Ἀνειρόμενος.] Ἐρωτῶν.

463. Τέο σε χρή;] Τί σοι χρεία ἐστὶ;

465. Παρφρονέων.] Παραλογιζόμενος.

466. Ἐρύκομαι.] Κατέχομαι.

469. Πεδάα.] Ἐμποδίζει, καταχεῖ.

470. Ἐλεύσομαι.] Ἔλθω, διαπεράσω.

NOTÆ.

454. Ἡμεῖς δ' αὖ ἰάχοντες) Ità *Virgil.* Georg. l. 4. v. 439. Cum clamore ruit magno &c. totum denique hunc locum, à v. 411. ad v. 465. imitatur ibid. à v. 429. ad v. 447. &c.

470. Νόστον θ') De *Syntaxi*, vid. ad v. 380.

NOTÆ IN SCHOLIA.

456. Οὐχ ὅλως) Ità lego pro ὁ καλῶς, *Senſu* omninò poſtulante; quanquam in hâc parte nihil favent MSS. Alterutrum tamen eorum, MS. *GC.* προσφθεγκτικῶς, pro προσφθεγκτικῶς, &c.

VARIÆ LECTIONES.

465. Ἐρεείνεις) γρ. ἀγρεινεῖς, *H. Steph.*

Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
Ἀλλὰ μάλ' ὤφελες Διΐ τ' ἄλλοισίν τε θεοῖσιν
Ῥέξας ἱερὰ καλὰ ἀναβαινέμεν, ὄφρα τάχιστα
Σὴν ἐς πατρίδ' ἵκοιο, πλέων ἐπὶ οἴνοπα πόντον.
Οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
Πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο διιπετέος ποταμοῖο
Αὖτις ὕδωρ ἔλθῃς, ῥέξῃς θ' ἱερὰ ἑκατόμβας
Ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι·
Καὶ τότε τοὶ δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μνώεαι.
Ὣς ἔφαθ'· αὐτὰρ ἐμοὶ γε κατεκλάσθη φίλον ἦτορ,
Οὕνεκά μ' αὖτις ἄνωγεν ἐπ' ἠεροειδέα πόντον
Αἰγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
Ἀλλὰ καὶ ὣς μιν ἔπειτα ἀμειβόμενος προσέειπον,
Ταῦτα μὲν δὴ οὕτω τελέω, γέρον, ὡς σὺ κελεύεις.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
Οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
Ἦέ τις ὤλετ' ὀλέθρῳ ἀδευκέϊ ἧς ἐπὶ νηὸς,
Ἦὲ φίλων ἐν χερσίν, ἐπεὶ πολεμον τολύπευσεν;
Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
Ἰδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σε φημὶ

" Sic dicebam; ille verò rursus respondens alloquutus est,
" Atqui omninò debebas Jovi, aliisque diis
" Sacris litatis, conscendere, ut velocissimè
" Tuam in patriam venires, navigans per nigrum pontum.
" Non enim tibi antèà fatum est amicosque videre & venire
" Ad domum benè-constructam, & tuam ad patriam terram,
" Quàm Ægypti à-Jove-fluentis fluvii
" Rursus ad aquas redieris, feceriſque sacras Hecatombas
" Immortalibus diis, qui cœlum latum tenent:
" Et tunc tibi dabunt viam dii, quamtu affectas.
" Sic ait; cæterùm mihi infractum est charum cor,
" Eò quod me rursus jubebat per obscurum pontum
" Ægyptum ire, longam viam difficilemque
" Verùm etiam sic ipsum verbis excipiens alloquutus sum,
" Ista quidem sic perficiam, senex, ut tu præcipis:
" Sed agè mihi hoc dic & verè recense;
" Num omnes cum navibus illæsi redierint Graci,
" Quos Nestor & ego reliquimus à Troiâ profecti,
" An quispiam periit morte inopinatâ suâ in navi,
" Aut amicorum in manibus, postquam bellum contecerunt?
" Sic dicebam; ille me rursus excipiens alloquutus est,
" Atride, quid me ista interrogas? neuti uam te convenit
" Scire, neque explora e meum animum; neque te puto

Σ Χ Ο Λ Ι Α.

472. Ὤφελες.] Ὄφελες.

473. Ἀναβαινέμεν.] Ἀναβαίνειν, ἐπὶ τῶν πλοίων δηλονότι.

474. Ἵκοιο.] Παραγένοιο, ἔλθοις.

477. Αἰγύπτοιο.] Αἰγυπτίου, ὁ Νεῖλος ἀφ' ἑτέρου καλεῖτο Διιπετὴς.] Τῷ ὑπὸ Διὸς πληρουμένῳ.

481. Κατεκλάσθη.] Ἐλυπήθη λίαν.

483. Δολιχήν.] Μακράν.

484. Τελέω.] Τελῶ, πλεύσω, πληρώσω.

489. Ἀδευκέϊ.] Ἀπροσδοκήτῳ, χαλεπῷ.

490. Τολύπευσεν.] Ἐμηχανήσατο, μὴ καθ' ἡδονὴν πράξῃ. πολυπεύειν ἀρχέζοος· πολύπη· ἡ ἐργασία· πολυπούτων, καταπονούντων καὶ φιλοπραγμόνων ἔθνη.

492. Διείρεαι.] Ἐρωτᾷς.

493. Δαήναι.] Μαθεῖν.

N O T Æ.

477. Αἰγύπτοιο διϊπετὸς ποταμοῖο) Ἡ Αἴγυπτος, γῆ· ὁ Αἰγύπτιος, ποταμός· ὃς καὶ ὕστερον Νεῖλος Vid. *Eustath.* & *Br. Schol.* in locum; cui Nomen *Sihor*, & *Plinio*, Siris; item *Melus*, & *Triton*. Vid. *Festum* in *Melo*, & *Scaliger.* in *Festum*; *Diodor Sicul.* tol. 17. *Heliodor. Æthiop.* l. 10. *Servium* in *Virgil Plin.* l. 5. c 9. &c.

485. Ταῦτα μὲν δὴ οὕτω) *Ampnimacer* in *Primo* loco, ut σ'. v. 246. Πλείονές κεν μνησῆρες ἐν ὑμετέροισι δόμοισιν. Ità *Virgil. Æn.* l. 6. v. 791. *Hic Vir, hic est, tibi quem promitti sæpiùs audis.* Vid. ad β'. v. 346.

492. Ἀτρεΐδη, τί με ταῦτα διείρεαι) Hic damnatur impotuna Curiosit s e Futuro, vid. *A. Gell.* l. 14. c. 1. & quæ Nos ad *Euripid.* Helen. v. 345.

V A R I Æ L E C T I O N E S.

492. Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; & γρ. Ἀτρεΐδη, μὴ ταῦτα διείρεο, *H. Steph.* licet ille μὴ tantùm proferat; nec consequentèr aliam vocem, ut debuit.

Διὸς

Δὶὺ ἄκλαυτον ἔσεσθαι, ἐπὶὺ εὖ πάντα πύθηαι·
Πολλοὶ μὲὺ γὰρ τῶνδε δάμεν, πολλοὶ δ᾽ λίποντο.
᾽Αρχοὶ δ᾽ αὖ δύο μοῦνοι ᾽Αχαιῶν χαλκοχιτώνων,
᾽Εν νόστῳ ἀπόλοντο· μάχη δέ τι καὶ σὺ παρῆσθα·
Εἷς δ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρείῃ πόντῳ.
Αἴας μὲὺ μετὰ νηυσὶ δάμη δολιχηρέτμοισι·
Γυρῆσιν μὲὺ πρῶτα Ποσειδάων ἐπέλασσε
Πέτρῃσιν μεγάλῃσι, καὶ ἐξέσαωσε θαλάσσης·
Καί νύ κεν ἔκφυγε κῆρα, καὶ ἐχθόμενός περ ᾽Αθήνῃ,
Εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε, καὶ μέγ᾽ ἄασθη·
Φῆ ῥ᾽ ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης·
Τῷ δὲ Ποσειδάων μεγάλ᾽ ἔκλυεν αὐδήσαντος.
Αὐτίκ᾽ ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν,
῞Ηλασε Γυραίῃ πέτρῃ, διὰ δ᾽ ἔχεεν αὐτήν.
Καὶ τὸ μὲὺ αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ·
Τῷ ῥ᾽ Αἴας τὸ πρῶτον ἐφεζόμενος μέγ᾽ ἄασθη,

" Diù absque lacrymis fore, postquam bené omnia audieris:
" Multi etenim istorum domiti sunt, multique relicti.
" Duces verò duo soli Græcorum loricatorum,
" In reditu periêrunt; pugnæ etenim & tu interfuisti:
" Et unus adhuc alicubi vivus detinetur lato in ponto.
" Ajax quidem inter naves domitus est longos-remos habentes:
" Ad Gyras quidem primùm Neptunus advexit
" Petras ingentes, & servavit è mari:
" Et sanè effugisset mortem, quantumvis invisus Palladi,
" Nisi impium dictum protulisset, & graviter offendisset:
" Dixit, invitis diis, se effugiturum ingentes fluctus maris.
" Hunc Neptunus magnifica audivit jactantem:
" Statim deinde, tridente arrepto, manu forti,
" Percussit Gyream petram, absciditque ipsam:
" Et unum quidem illic mansit, alterum fructum incidit mari:
" Huic sane Ajax primùm insidens, valdè læsus est,

ΣΧΟΛΙΑ.

496. ᾽Αρχοὶ δ᾽ αὖ δύο.] Τὸν Αἴαντα τὸ Λοκρὸν λέγει, καὶ τὸ Ἀγαμέμνονα· ἐκ γὰρ αὐτοῦ ἐδίπλου εἰς τὴν αὐτοῦ παρεῖναι οἰκίαν.

497. Παρῆσθα.] Παρῆς.

499. Δολιχηρέτμοισι.] Μεγάλαις, ἐπιμήκεσι, μακροπτέροις.

500. Γυρῆσι.] Πέτραις πλησίον Μυκόνου τῆς νήσου, ὕπτιος καλυμμέναις, ἐπεὶ εἰσὶ ἀφανεῖς. Ἐπέλασσε.] Προσήγγισεν.

502. Ἐχθόμενος.] Λυπούμενος.

503. Ὑπερφίαλον.] Ὑπερφανον. Ἄασθη.] Ἐβλάβη.

504. Ἀέκητι.] Ἀβουλία, παρὰ γνώμην. Λαῖτμα.] Βάθη, ἢ λῆσμα.

507. Ἔλασσεν.] Ἔπληξεν. Γυραίῃ πέτρῃ.] Τὰς Γυρὰς.

508. Αὐτόθι.] Ἐπὶ χαίρας, ἐπὶ τόπου. Τρύφος.] Τὸ ἀπόκλασμα.

509. Ἐφεζόμενος.] Ἐπικαθήμενος.

NOTÆ.

495. Πολλοὶ γὰρ μὲ τῶνδε δάμεν) De *Græcorum* Reditu infelici, vid. ad α'. v. 327.

499. Αἴας μὲ μετὰ νηυσὶ δάμη) *Sil. Italicus*, Qualis Oïliades fulmen jaculante Minervâ, Surgentes domuit fluctus ardentibus ulnis. *Plinius* notat *Ajacis* Picturam fulmine percussi, *Apollodori* opus *Athenienſis*, à se visam *Pergamo*. Solus ferè *Timæus Siculus*, Histor. l. 2. *Ajacem* Iram *Neptuni* evasisse scribit, Μετὰ τὴν Τροίας ἅλωσιν, πολλοὶ τῶν Λοκρῶν περὶ τὰς Γυρὰς ναυαγησάντων ἀνηρέθησαν· οἱ δὲ λοιποὶ σὺν Αἴαντι μόλις εἰς Λοκρίδα διεσώθησαν. Φθορᾶς δὲ καὶ λοιμοῦ τὴν χώραν αὐτῶν, μέχρι τὸ τέλτον ἔτος, ἐχόντων,

Αἰφ᾽ τὴν μίξιν ἀθυμοῦσαν Αἴαντος τῇ Κασσάνδρᾳ, ἔχρησεν ὁ θεὸς, εἰς ἔτη χίλια τὴν Ἀθηνᾶν τὴν ἐν Ἰλίῳ ἱλάσκεσθαι, πέμποντας δύο παρθένους ἐπὶ κλήρου. Vid. *Elia Schedii*, De Diis *Germanis*, l. 2. c. 33. p. 398. *Ajacis* hujus historiam vid. in *Brevibus Scholiis*, ad *Iliad* ν'. v. 66.

502. Καί νυ κεν ἔκφυγε κῆρα — εἰ μὴ ὑπερφίαλον) Offendit Poeta, *Peccatores ultrò sibi suum exitium accelerare, Deo ferè invito; neque per suum pati scelus Iracunda Jovem ponere fulmina.*

503. Ἔπος ἔκβαλε) Ità Vett. omnes, sola *Elzeviriana*, ἔβαλε, per errorem.

VARIÆ LECTIONES.

494. Δὴν ἄκλαυτον ἔσεσθαι, ἐπὶὺ εὖ) γρ. δὶὺ ἄκλαυτον ἔσεσθαι, ἐπεί κ᾽ εὖ, *H. Steph.*

495. Πολλοὶ μὲ γὰρ τῶνδε δάμεν) γρ. πολλοὶ μὲ γὰρ πῶνγε θάνον, & πολλοὶ μὲ τέτων ἔθανον, *H. Steph. Ibid.* Πολλοὶ δ᾽ λίποντο) γρ. πολλοὶ δ᾽ ἐλίποντο.

498. Εὐρείῃ πόντῳ) γρ. εὐρείῃ κόσμῳ, *Tzetzes* Chiliad. VII. §. 110.

503. ῞Εκβαλε) γρ. ἔβαλε, vid. Not. in *Textum*; & ἔκφαβε.

Τόνδ᾽

Τόνδ' ἐφόρῃ χῦ πόντον ἀπείρονα κυμαίνοντα.
Ὣς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ·
Σὸς δέ πε ἔκφυγε κῆρας ἀδελφεὸς, ἠδ' ὑπάλυξεν,
Ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε Μαλειάων ὄρος αἰπὺ
Ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
Πόντον ἐπ' ἰχθυόεντα φέρεν, μεγάλα στενάχοντα,
Ἀχρῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναίει Θυέστης
Τοπρίν, ἀτὰρ τότ' ἔναιε Θυεστιάδης Αἴγισθος.
Ἀλλ' ὅτε δὴ κῦ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
Ἄψ ὄ θεοὶ ἔτρεψαν, κῦ οἶκαδ' ἵκοντο,
Ἦ τοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης,
Καὶ κύνῃ ἀπόμυος ἦν πατρίδα· πολλὰ δ' ἀπ' αὐτῦ
Δάκρυα θερμὰ χέοντ', ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
Τόνδ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς, ὅν ῥα καθεῖσεν
Αἴγισθος δολόμητις ἄγων· ἑκατὸν δ' ἔχετο μισθὸν,
Χρυσῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅγ' εἰς ἐνιαυτὸν,
Μή ἑ λάθοι παριὼν, μνησαίλο ὄ θούριδος ἀλκῆς.
Βῆ δ' ἴμεν ἀγγελέων τοὺς δώματα ποιμένι λαῶν·
Αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσσατο τέχνην·
Κεινάμενος κῦ δῆμον ἐείκοσι φῶτας ἀείρας,
Εἶσε λόχονδ', ἑτέρωθι δ' ἀνώγῃ δαῖτα πένεσθαι.
Αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν,
Ἵππουσιν κῦ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
Τόνδ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε κῦ κατέπεφνε
Δειπνίσας, ὥστις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
Οὐδέ τις Ἀτρεΐδεω ἑταίρων λίπεν, οἵ οἱ ἕποντο,

" Hunc enim detrusit in mare ingens, undosum,
" Sic ille quidem ibi periit, postquam bibit salsam aquam:
" Tuus verò utcunque effugit mortem frater, atque elapsus est
" In navibus cavis, i. e. *in Classe*: servavit enim veneranda Juno.
" Sed quando nunc statim videbatur Maleatum montem arduum
" Pervenire, tum certè ipsum abreptum procella
" Pontum per piscosum tulit valdè ingemiscentem,
" Agri ad extremam oram, ubi ædes habitabat Thyestes
" Priùs, cæterùm tunc habitabat Thyestiades Ægisthus:
" Sed cùm jam & illinc apparebat reditus illæsus,
" Retroque dii ventum verterunt; & domum venerunt,
" Certè ille quidem gaudens conscendit in patriam terram,
" Et osculabatur attingens suam patriam; multæque ab ipso
" Lacrymæ uberes effundebantur, quoniam lubenter vidit terram.
" Hunc sanè à speculâ conspexit speculator, quem constituit
" Ægisthus dolosus, ducens: promisit etenim mercedem,
" Auri duo talenta; observabat verò hic toto anno,
" Nè ipsum lateret accedens, memorque foret strenui roboris.
" Festinabat itaque ire annunciaturus ad ædes pastoris populorum:
" Statimque Ægisthus dolosam excogitavit fraudem:
" Delectis ex plebe viginti viris fortissimis,
" Constituit in insidiis, & ab alterâ parte jussit convivium apparari.
" Cæterùm ipse ivit invitans Agamemnonem, pastorem populorum,
" Equis & curribus, indecentia deliberans.
" Hunc imprudentem ad mortem deduxit & trucidavit,
" Convivio excipiens, veluti si quis interfecit bovem ad præsepe:
" Neque quisquam Atridæ sociorum relictus, qui eum sequebantur,

ΣΧΟΛΙΑ.

510. Ἐφόρῃ.] Ἔφερεν. Ἀπείρονα.] Τὸν μέγαν, κῦ πέρας μὴ ἔχοντα.
512. Ὑπάλυξεν.] Ἐξέφυγε.
514. Μαλειάων.] Ἀκρωτήριον τῆ Λακωνικῆς.
515. Ἵξεσθαι.] Ἀφίξεσθαι, παραχίγνεσθαι. Θύελλα.] Ἀνέμων συστροφή.
517. Ναίει.] Ὠίκει.
518. Θυεστιάδης.] Θυέστε παῖς, Αἴγισθος.

NOTÆ.

511. Ὡς ὁ μὲν ἔνθ' ἀπόλωλεν) Animam putabant Veteres extingui per Aquam suffocatis; quare omnes horrebant id genus Mortis.
520. Ἄψ ὄ θεοὶ) Vocula ὄ exciderat Edit. *Elzev.* vir. & v. 562. ἀλλ' σ', pro ἀλλά σ' &c.
531. Λόχονδε) Εἰς λόχον, ut ξ. v. 217. Ὅποτε κείνοιμι λόχονδε Ἄνδρας ἀείσῆας. Olim λόχον, non æquè benè.

ΛΙΑ.

522. Κύνῃ.] Προσκυνῆ.
525. Ὑπὸ δ' ἔχετο.] Ὑπέχετο δέ. Τιμῆσις.
527. Μνησαίλο.] Μνησθείη.
529. Τέχνην.] Μηχανήν.
530. Κεινάμενος.] Ἐπιλεξάμενος.
531. Ἑτέρωθι.] Ἀλλαχῆ. Πένεσθαι.] Ἐνεργεῖν, πρᾶττειν.
535. Δειπνίσας.] Εὐωχήσας. Κατέκτανεν.] Ἀνεῖλεν, ἐφόνευσεν.

O Οὐδέ

Οὐδέ πις Αἰγίσθυ· ἀλλ' ἔκταθεν ὀν μεγάροισιν.
" Neque quisquam Ægisthi; sed contrucidati sunt in regiâ.

Ὣς ἔφαν· αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ.
" Sic ait, cæterùm mihi confractus est charus animus;

Κλαῖον δ' ὀν φαμάθοισι καθήμενος· οὐδέ νύ μοι κῆρ
" Flebam igitur in arenis desidens; neque mihi cor

Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
" Volebat ampliùs vivere, & videre lumen solis.

Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
" Porrò postquam flendo *neque ipsum* volutando saturatus sum,

Δὴ τότε μὲ προσέειπε γέρων ἅλιος νημερτὴς,
" Tum me alloquutus est senex marinus veridicus,

Μηκέτι, Ἀτρέος υἱὲ, πολὺν χρόνον ἀσκελὲς ὧπω
" Nè ampliùs, Atrei fili, longo tempore indesinenter sic

Κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
" Fleas, quoniam non remedium aliquod inveniemus; sed citissimè

Πεῖρα, ὅππως κὲν δὴ σὸν πατρίδα γαῖαν ἵκηαι.
" Tenta, quo pacto jam tuam ad patriam terram pervenias.

Ἦ γάρ μιν ζωόν γε κιχήσεαι, ἦ κεν Ὀρέστης
" Aut enim ipsum vivum deprehendes, aut Orestes

Κτεῖνεν ὑποφθάμενος· σὺ δέ κεν τάφῳ ἀνιβολήσαις.
" Interfecit præveniens: tu verò cœnæ sepulchrali intereris.

Ὣς ἔφαν· αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
" Sic ait; cæterùm mihi cor & animus generosus

Αὖτις ὀνὶ στήθεσσι, καὶ ἀχνυμένῳ περ, ἴανθη·
" Rursus intra pectus etiam quantumvis tristi, gavisum resoruit:

Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
" Et ipsum alloquutus verba alata dixi,

Τύτθυς μὲν δὴ οἶδα· σὺ δὲ τέκτον ἄνδρ' ὀνόμαζε,
" Istos quidem novi: tu verò tertium virum nomina,

Ὅστις ἔτι ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
" Qui adhuc vivus detinetur in lato mari,

Ἦε θανών· ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι.
" Aut mortuus: volo autem quantumvis mœstus audire.

Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμειβόμενος προσέειπεν,
" Sic dicebam: ille me rursus excipiens alloquutus est,

Υἱὸς Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκία ναίων·
" Filius Laërtæ, in Ithacâ domos habitans, *est Tertius*:

Τόνδ' ἴδον ὀν νήσῳ δαλερὸν κατὰ δάκρυ χέοντα,
" Hunc vidi in insula lacrymas uberes fundentem,

Νύμφης ὀν μεγάροισι Καλυψόος, ἥ μιν ἀνάγκῃ
" Nymphæ in ædibus Calypsûs, quæ ipsum necessitate quâdam

Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
" Detinet; nec ille potest suam patriam terram adire:

Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,
" Non enim ei adsunt naves remigio instructæ, & socii,

Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
" Qui utique ipsum reducere possent per lata dorsa maris.

Σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
" Tibi autem non à fato decretum est, nobilis ô Menelaë,

ΣΧΟΛΙΑ.

540. Ζωέειν.] Ζῆν.
541. Κυλινδόμενός.] Κυλιόμενος.
543. Ἀσκελές.] Ἀδιαλείπτως.
544. Ἄνυσιν.] Περᾶσιν. Δήομεν.] Εὑρήσομεν.
545. Πείρα.] Πειρῶ, ἀπόδαζε.
546. Κιχήσεαι.] Καζαλαΐβοις.
547. Κτείνει.] Ἔκτεινεν. ἀνειλεῖν. Ὑποφθάμενος.] Προλαβών. Τάφῳ.] Τῇ σποδοθήκῃ. Ἀνιβολήσαις.] Μεζάχοις.
549. Ἰαίνθη.] Διεχύθη, ἥδη.
558. Ἴσχει.] Κατέχει, κωλύει.
559. Ἐπήρετμοι.] Ἐπίκωποι.
560. Πέμποιεν.] Διακομίζοιεν.
561. Θέσφατον.] Τὸ ὂν θεῖ πεφημισμένον, εἰμαρτόν.

NOTÆ IN SCHOLIA.

547. Μεζάχοις) Ità MS. pro μεζάχης.

560. Πέμποιεν) Διακομίζοιεν. Ita scribo, *Sensu* postulante, licet omnes Impressi pariter & MSS. vel δεκιμάζοιεν, vel δεκιμάζοιμεν, habeant. Κομίζειν enim & πέμπειν gemina sunt, & facilis mutatio &c.

561. Πεφημισμένον) Ex duob. MSS. Πεφασμένον itaque, ut Poëticum, rejicio.

VARIÆ LECTIONES.

552. Εὐρεῖ πόντῳ) κ. εὐρεῖι κόσμῳ, ut suprà, v. 498.

Ἄργει

Ἄργεϊ σὺν ἱπποβότῳ θανέειν καὶ πότμον ὑπισπεῖν.
Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
Τῇ περ ῥηϊδίη βιοτὴ πέλει ἀνθρώποισιν·
Οὐ νιφετὸς, οὔτ' ἄρ χειμὼν πολὺς, οὔτε ποθ' ὄμβρος,
Ἀλλ' αἰεὶ Ζεφύροιο λιγυπνείοντας ἀήτας
Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν ἀνθρώπους·
Οὕνεκ' ἔχεις Ἑλένην, καί σφιν γαμβρὸς Διός ἐσσι.
Ὣς εἰπὼν, ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑτάροισιν
Ἤια· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
Δόρπον δ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
Ἐν δ' ἱστοὺς τιθέμεσθα καὶ ἱστία νηυσὶν ἔϊσης·
Ἐν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι κάθιζον,
Ἑξῆς δ' ἐζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἂψ δ' εἰς Αἰγύπτοιο, διϊπετέος ποταμοῖο,
Στῆσα νέας, καὶ ἕρεξα τελήεσσας ἑκατόμβας.
Αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
Χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.

" In Argo equos pascente mortem & fatum oppetere:
" Sed te ad Elysium campum, & fines terræ
" Immortales mittent; ubi flavus Rhadamanthus est,
" Ubi utique facillima vivendi ratio est hominibus;
" Non nix, neque hyems longa, neque unquam imber,
" Sed semper Zephyri suavitèr spirantes auras
" Oceanus emittit, ad refrigerandum homines:
" Quòd habes Helenam, & ipsis Jovis gener es.
" Sic loquutus subiit in pontum fluctuosum:
" Cæterùm ego ad naves simul cum divinis sociis
" Ibam; plurima autem mihi cor fluctuabat incedenti.
" Cæterùm postquam ad navem venimus atque mare,
" Cœnamque apparavimus, supervenitque solitaria nox,
" Tum dormivimus in littore maris.
" Quando autem mane genita apparuit roseis digitis aurora,
" Naves quidem ante omnia deduximus in mare divinum;
" Malos autem imposuimus & vela navibus æquatis:
" Ipsi etiam ingressi super transtra sederunt;
" Ordine autem considentes spumosum mare verberabant remis.
" Rursusque ad *aquas* Ægypti, à Jove cadentis fluminis,
" Constitui naves, & perfeci legitimas Hecatombas.
" Cæterùm postquam sedavi deorum iram immortalium,
" Extruxi Agamemnoni tumulum; ut immensa gloria esset.

ΣΧΟΛΙΑ.

563. Ἠλύσιον πεδίον.] Τὸ μὲν ἡρῶον συνιδιώτημα, κεκλημένον ἀπὸ Ἠλυσίου τοῦ Ἐλευθῆρος, εὐσεβεστάτου γενομένου· ἢ παρὰ τὸ ἅλυσιν εἶναι αὐτοῦ μέρους τὸ σύμπαν· ὁ δὲ τόπος, ὑπὸ πάσης καλημέρου μακαρίων νήσους.

565. Ῥηΐδιη.] Ἀρετὴ, ἄφθονος. Βιοτή.] Ζωὴ, βίος.

566. Νιφετός.] Χιών.

567. Λιγυπνείοντας.] Ἡδεῖαν ἔχοντας πνοήν.

568. Ἀνίησιν.] Ἀναδίδωσι, ἀναπέμπει. Ἀναψύχειν.] Ἀνακτᾶσθαι.

570. Κυμαίνοντα.] Κυματίζοντα.

572. Πόρφυρε. Διενοεῖτο. Κιόντι.] Ἀπόντι, περιδυομένῳ.

577. Ἐρύσσαμεν.] Εἰλκύσαμεν, κατηλάσαμεν.

580. Πολιήν.] Λευκὴν διὰ τὴν ἀφρόν.

584. Χεῦα.] Ἔχωσα. Ἄσβεστον.] Ἀκατάπαυστον.

NOTÆ.

563. Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον) Huc refer *Plutarch. Sertorio* & Consolat. ad *Apollon.* ex *Pindaro*, item *Photium*, Biblioth. ex Vitâ *Sertorii*, fol. 1199.

NOTÆ IN SCHOLIA.

563. Ἐλευθῆρος) MSS. Ἐλευθήρου, sed quum *Pausanias* meminerit Ἐλευθῆρος *Apollinis* filii, nihil muto.

VARIÆ LECTIONES.

567. Λιγυπνείοντας) γρ. λιγὺ πνείοντας, *Eustath.* fol. 1509. lin. 49.

568. Ἀνίησιν ἀναψύχειν ἀνθρώπους) γρ. ἀνίησι παραψυχὴν ἀνθρώποις, *Pindar.* Schol.

577. Ἐρύσσομεν) γρ. ἐρίσσομεν, vid. Not. in *Text.* ad ι'. v. 73. & λ'. v. 2.

Ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι ἔργον
Ἀθάνατοι, τοί μ' ὦκα φίλαν ἐς πατρίδ' ἔπεμψαν.
Ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
Ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
Καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα,
Τρεῖς ἵππους καὶ δίφρον ἐύξοον· αὐτὰρ ἔπειτα
Δώσω καλὸν ἄλεισον, ἵνα σπένδηθα θεοῖσιν
Ἀθανάτοις, ἐμέθεν μεμνημένος ἤματα πάντα.
Τόνδ' αὖ Τηλέμαχος πεπυμένος ἀντίον ηὔδα,
Ἀτρεΐδη, μὴ δή με πολὺν χρόνον ἐνθάδ' ἔρυκε.
Καὶ γάρ κ' εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοί γ' ἀνεχοίμην
Ἥμενος, οὐδέ κέ μ' οἶκος ἔλοι πόθος, οὐδὲ τοκῆες.
Αἰνῶς γὰρ μύθοισιν ἔπεσί τε σοῖσιν ἀκούων
Τέρπομαι· ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
Ἐν Πύλῳ ἠγαθέῃ· σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις.
Δῶρον δ', ὅ, τι κέ μοι δοίης, κειμήλιον ἔσται·
Ἵππους δ' εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλά σοι αὐτῷ
Ἐνθάδε λείψω ἄγαλμα· σὺ γὰρ πεδίοιο ἀνάσσεις
Εὐρέος, ᾧ ἔνι μὰλ' λωτὸς πολύς, ἐν δὲ κύπειρον,
Πυροί τε, ζειαί τε, ἰδ' εὐρυφυὲς κρῖ λευκόν.
Ἐν δ' Ἰθάκῃ οὔτ' ἄρ λφόμοι εὐρέες, οὔτε τι λειμών·
Αἰγίβοτος· καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.
Οὐ γάρ τις νήσων ἱππήλατος, οὐδ' εὐλείμων,

"Hæc ut perfeci, redii: dederunt etenim mihi ventum secundum
"Dii, qui me celeriter charam ad patriam miserunt.
"Verùm age nunc mane in ædibus meis,
"Donec undecimáque duodecimáque oriatur *dies*;
"Et tunc te bene dimittam; daboque tibi splendida dona,
"Tres equos & currum benè-politum: cæterùm præterea
"Dabo pulchrum poculum, ut libes diis
"Immortalibus, mei memor diebus omnibus.
Hunc rursus Telemachus prudens contra alloquutus est,
"Atride, nè sanè me multo tempore hic detine.
"Etenim ad annum ego apud te utique perdurarem
"Sedens, neque me domûs caperet desiderium, neque parentum:
"Vehementer enim verbis sermonibúsque tuis audiens
"Oblector: sed jam mihi pertæsi-sunt socii
"In Pylo divinâ: tu autem me *longum* tempus hic detines.
"Donum autem quodcunq; mihi dare cupe-res, *tale* sit, ut ferri & recondi possit:
"Equos enim in Ithacam non ducam, sed tibi ipsi
"Hic relinquam in delitiis: nam tu campo imperas
"Lato, in quo quidem lotus frequens, in quo cyperus,
"Triticum, speltæ, atque latè germinans hordeum album.
"In Ithacâ autem neque sanè curricula lata, neque ullum pratum:
"Capris-pascendis apta *est* Ithaca; & *mihi* optabilior equorum-pascuo.
"Nulla enim insularum spacioſa neque pratis accommodata,

ΣΧΟΛΙΑ.

585. Τελευτήσας.] Τελειώσας, πληρώσας. Νέομην.] Ἐπορεύομην.
594. Ἔρυκε.] Κατέχειν.
595. Ἀνεχοίμην.] Ὑποφέροιμι, στέγοιμι.
596. Ἥμενος.] Ἀπραγμόνως καθιζόμενος.
598. Ἀνιάζουσι.] Λυπῶσι. ἀνιῶντες.
599. Ἔρυκεις.] Κατέχεις.
602. Λείψω.] Καταλείψω, ἐάσω.
603. Λωτός.] Εἶδος πόας, καὶ δένδρου. Κύπειρον.] Εἶδος πόας, τὸ κύπειρον.
604. Ζειαί.] Ὀλύρα. Εὐρυφυές.] Τὸ ἐπὶ πλάτος καὶ ἐπιπολὺ φυόμενον. Κρῖ.] Κριθή.
606. Αἰγίβοτος.] Τραχεῖα, ὡς βόσιν καὶ νομὴν αἰγῶν ἐπιτηδεία. Καὶ μᾶλλον ἐπήρατος ἱππόβοτος.] Ἀπὸ ἄλλης δοχῆς τῆσδε· εἴ γε, καί τι αἰγίβοτος ἦσα, ἡ ἱπποτρόφος ἐμοὶ μᾶλλον ἐπήρατος· ἐπήρατος δὲ ἡ ἐπίφατος.
607. Ἱππήλατος.] Εἰς ἔλασιν ἵππων ἐπιτηδεία. Εὐλείμων.] Καλὸς λειμῶνας ἔχουσα.

NOTÆ.

607. Οὐ γάρ τις νήσων ἱππήλατος) Hoc de minoribus Insulis intelligendum, quales Insulæ Maris Ægæi & Jonii; minimè etenim verum de *Siciliâ*, *Cretâ*, *Sardiniâ*, aut *Britanniâ* nostrâ, quæ pascendis, generandis, & exercendis equis optimè inserviunt.

NOTÆ IN SCHOLIA.

606. Αἰγίβοτος) In ipso *Scholii* fine, ἐπίφατος, cum MS. lego, pro ἐπίφατος.

VARIÆ LECTIONES.

603. Ἔτι) χρ. ἐν, *H. Steph.*
604. Ζειαί τε, ἰδ') χρ. ζειαί τ', ἠδ', eodem recidit.
605. Ἐν δ' Ἰθάκῃ ὅτ' ἄρ) χρ. ἐν δ' Ἰθάκῃ ἔ γ'. *Turneb. Volcob.* & *Bongarsius*; nec bene.

Αἳ δ' ἀλὶ κεκλίαται· Ἰθάκῃ δέ τε καὶ πέρι πασέων.
Ὣς φάτο· μείδησεν δὲ βοὴν ἀγαθὸς Μενέλαος,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Αἷμα λος εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις.
Τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ.
Δώρων δ', ὅσ' ἐμῷ οἴκῳ κειμήλια κεῖται,
Δώσω, ὃ κάλλιστον καὶ πολυτελέστατόν ἐστιν.
Δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
Ἔστιν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται·
Ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
Κεῖσέ με νοστήσαντα· τεὴν δ' ἐθέλω τόδ' ὀπάσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Δαιτυμόνες δ' ἐς δῶμα θεῖον βασιλῆος·
Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὐήνορα οἶνον·
Σῖτον δὲ σφ' ἄλοχοι καλλιχρήδεμνοι ἔνεικαν.
Ὣς οἱ μὲν τότε δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο

" Quæ mari clauduntur: Ithaca etiam supra omnes.
Sic ait: risit verò bello fortis Menelaus,
Manuque ipsum prehendit, verbúmque dixit atque nominavit,
" Sanguinis es boni, chare fili, qualia loqueris.
" Atqui ego tibi hæc *Dona* commutabo; possum enim.
" Donorum autem, quicunque in meâ domo thesauri jacent,
" Dabo, quod pulcherrimum & pretiosissimum est:
" Dabo tibi craterem elaboratum: argenteus utique
" Est totus, auro autem labra perfecta sunt:
" Opus verò est Vulcani; donavit autem illud Phædimus Heros
" Sidoniorum rex, quando ejus domus suscepit
" Illuc me profectum: tibi autem volo id præbere.
Sic hi quidem hujuscemodi inter se loquebantur:
Convivatores verò in domum ierant regis divini:
Et hi quidem adducebant oves, afferebantque animosum vinum:
Panem verò ipsis uxores pulchrisvittis intulerunt.
Sic illi quidem circa cœnam in domo *Menelai* laborabant.
Proci interèa ante Ulyssis domum

ΣΧΟΛΙΑ.

608. Ἀλὶ κεκλίαται.] Περιέχονται τῇ θαλάσσῃ. Περὶ πασέων.] Ὑπὲρ πάσας.
611. Αἵματος.] Γένους. Οἷα.] Οἵα.
612. Μεταστήσω.] Μεταβαλῶ, μεταλλάξω.
616. Κεκράανται.] Τετελείωνται, πεπλήρωνται.
617. Φαίδιμος.] Ὄνομα κύριον.
618. Ἑός.] Ὁ ἰδιος. Ἀμφεκάλυψε.] Περιεκάλυψεν ἀντὶ τοῦ ὑπεδέξατο.
619. Τεήν.] Σοί. Ὀπάσαι.] Παραχωρῆσαι.
621. Δαιτυμόνες.] Οἱ ἑστιάτορες.
622. Εὐήνορα οἶνον.] Τὸν ἀνδρείαν παρέχοντα καὶ καιρῷ πινόμενον.
623. Καλλιχρήδεμνοι.] Καλαὶ περιβόλαια ἐπὶ τῶν κεφαλῶν ἔχουσαι.

NOTÆ.

612. Μεταστήσω) De hâc voce, vid. ad *Iliad.* ν'. v. 745.

617. Πόρεν δέ ἑ Φαίδιμος ἥρως Σιδονίων βασιλεὺς) Τὸ ἑξῆς, Σιδονίων βασιλεὺς, Φαίδιμος ἥρως, ὃς ἐμὲ ὑπεδέξατο. Τότε ὄνομα Σεβλὼν, ἢ Σοβαλὼν (an Σολομὼν) ἢ Σέρων· ὡς Εὐπόλεμος· ὡς τὰ Ἀρχαιογραφία, Ἱερεμίας, Εἰραμος, ἢ Χειραμος. Et *Clemens Alexandrin.* Stromat. l. 1. Εἰραμος τὸν ἑαυτῆ θυγατέρα Σολομῶνι δίδωσι, καθ' ὃς χρόνους, μὴ τὸν Τροίας ἅλωσιν, Μενελάῳ εἰς Φοινίκην ἄφιξις· ὥς φησι Μένανδρος, ὃ Λαΐτης ὁ τοῖς Φοινικικοῖς. Vid. *Tatian.* Edit. *W. Worthii*, Oxon. pag. 128. §. 58. Τὸ δὲ Φαίδιμος ἥρως, ἄδηλον καθ' ἡμᾶς τοὺς Παλαιούς, εἴπερ κύριόν ἐστιν ὄνομα. Τινὲς δὲ Σοβαλὸν αὐτὸν, οἱ δὲ Σίθλων ἱστόρησαν, inquit *Eustathius*, fol. 189. lin. 44. in hunc locum. De *Syntaxi*, vid. ad ο'. v. 117.

621. Δαιτυμόνες δ' ἐς δῶμα τ') Poeta adhuc de *Menelao* & illius rebus loquitur, non de Procis; ut *Eustathius* deceptus putat, fol. 1512. lin. 3. ubi Δαιτυμόνας exponit, per τοὺς τῷ δαῖτι ἑτοιμάζοντας, per θεῖος βασιλῆος, *Ulyssem* notat, per ἅλοχοι, Famulas *Ulyssis*, quæ potiùs exponuntur *Menelai* filiorum & amicorum Uxores; nondum enim Poeta ad *Procos* venit, nisi ad v. 625. Μνηστῆρες δὲ πάροιθεν &c. Quare *Eustathio*, diligentissimo alioquin Interpreti, condonandus hic lapsus, notandus tamen; ne plures illius auctoritate decipiantur, præter Doctorem *Stephanum*, ad *Ogilbai Homer.*

VARIÆ LECTIONES.

617. Φαίδιμος) γρ. Χείραμος. Vid. ad ο'. v. 117. & quæ hìc, in Notis ad *Textum*.

623. Ἔνεικαν) γρ. ἔπεμπον, *H. Steph.*

Δίσκοι.

Δίσκοισιν τέρπονλο καὶ αἰγανέῃσιν ἱέντες,
Ἐν τυκτῷ δαπέδῳ, ὅθι πὲρ πάρος ὕβριν ἔχεσκον.
Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδὴς,
Ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
Τοῖσδ' υἱὸς Φρονίοιο Νοήμων ἐγγύθεν ἐλθὼν,
Ἀντίνοον μύθοισιν ἀνειρόμενος προσέειπεν,
Ἀντίνο', ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσὶν, ἠὲ καὶ οὐκί,
Ὁππότε Τηλέμαχος νεῖτ' ἐξ Πύλου ἠμαθόεντος;
Νῆά μοι οἴχετ' ἄγων· ἐμὲ δὲ χρεὼ γίνετ' αὐτῆς,
Ἠλιδ' ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοὶ ἵπποι
Δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοὶ
Ἀδμῆτες· τῶν κέν τιν' ἐλαυνάμενος δαμασαίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον· ὑπ' φ' ἔφαντο
Ἐς Πύλον οἰχέσθαι Νηλήϊον, ἀλλά που αὐτῆ
Ἀγρῶν, ἢ μήλοισι παρέμμεναι, ἠὲ συβώτῃ.
Τόνδ' αὖτ' Ἀντίνοος προσέφη Εὐπείθεος υἱὸς,
Νημερτές μοι ἔνισπε, πότ' ὤχετο, καὶ τίνες αὐτῷ
Κοῦροι ἕποντ' Ἰθάκης ἐξαίρετοι; ἦ ἑοὶ αὐτῆ
Θῆτές τε δμῶές τε; δύναιτό γε καὶ τὸ τελέσσαι;
Καί μοι τῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Ἦ σε βίῃ ἀέκοντος ἀπήυρατο νῆα μέλαιναν,

Discis delectabantur & amentis jaculantes
In ornato pavimento, ubi antèa insolentiam exercebant.
Antinous verò consederat & Eurymachus deo-formâ-similis,
Duces procorum; virtute enim erant longe optimi:
His filius Phronii Noëmon propè accedens,
Antinoum verbis interrogans alloquebatur,
" Antinoe, Nunquid scimus in mente nostrâ, an non,
" Quandò Telemachus redit ex Pylo arenosâ?
" Navem mihi abiit abducens: mihi verò opus est illius,
" Ut Elidem in spaciosam trajiciam, ubi mihi equæ
" Duodecim fœminæ, subtùs autem muli patientes-operis
" Indomiti: ex quibus aliquem adigens subjugarem.
Sic ait: hi vero in animo obstupescebant; non enim putabant
Pylum abiisse Neleiam, sed alicubi illic
In agris, aut ovibus adesse, aut cum subulco.
Hunc statim Antinous alloquutus est Eupithei filius,
" Verè mihi dic, quando abiit, & quinam illum
" Juvenes sequuntur ex Ithacâ electi? an proprii ipsius
" Mercenariique mancipiaque? potuitne hoc etiam perficere?
" Et mihi hoc dic verè, ut benè sciam,
" An te per vim invitum privavit navi nigrâ,

ΣΧΟΛΙΑ.

627. Τυκτῷ δαπέδῳ.] Καπνοδυσαμβώμῳ καὶ λελεωμβώμῳ ἰδάφῳ.

633. Ὁππότε.] Ποτέ. Νεῖται.] Ἐπανήξει, ἐλεύσεται, παρεύσεται.

635. Διαβήμεναι.] Διελθεῖν, διαπλεῦσαι.

636. Ταλαεργοί.] Ὑπομενητικοί.

637. Ἀδμῆτες.] Ἀδάμαστοι.

638. Ἐθαύμβεον.] Ἐξεπλήττοντο.

644. Θῆτες.] Οἱ ἐπὶ μισθῷ δουλεύοντες. Δμῶες.] Οἱ δοῦλοι, παρὰ τὸ δεδμῆσθαι, ὅ ἐστι ὑποτετάχθαι.

NOTÆ.

634. Χρεὼ γίνετ' αὐτῆς) Ità Restituo ex *Florentinâ*, *Lovaniana* &c. *H. Stephanus* malè, χρεὼ γίνετ' αὐτῆς, quandoquidem prior in γίνομαι & γινώσκω *Naturâ* producatur; quare tunc oportebat legere χρεὼ γίνετ' αὐτῆς. Verùm Vetustiores libri prævaleant.

643. Ἦ ἑοὶ αὐτῆ θῆτες) Τὸ ἑοὶ ἀντὶ τοῦ θῆτες φίεσθαι, ἀλλ' ὃ ἀντὶ αὐτῆ λέγειν ἦ δὴ ἂν τότε, ἵν' αὐτῆ.

646. Ἦ σε βίῃ ἀέκοντος ἀπήυρατο) Malignè videtur *Antinous* hic *Noemona* ad Mendacium & falsum testimonium dandum provocare, contra *Telemachum*, modestum & probum Juvenem, quem sibi similem fingit, improborum hominum more. Verum *Noemon* apertè & sincere loquitur, de Regis sui filio, & tacitè ipsos Procos iniquitatis in eum arguit. De *Noemone*, notat *Eustathius*; de *Antinoo*, non item.

NOTÆ IN SCHOLIA.

627. Λελεωμβώμῳ.) MS. *Aloysii* ità legit, pro vetcri λελεομένῳ corrupto.

636. Ταλαεργοί.] Ὑπομενητικοί. Ità *Aldi* Editio, 1528. ita *Aloysii* MS. Rejicio itaque ὑπομενητικοὶ & hîc, & v. 447. fit enim à μισθίνημαι. Vid. ad γ'. v. 84.

VARIÆ LECTIONES.

634. Χρεὼ γίνετ' αὐτῆς) χ. χρεὼ γίνετ' αὐτῆς &c. Vid. Not. in *Textum*.

643. Ἑοὶ αὐτῆ) χ. ἵν' αὐτῆ, vid. Not. in *Textum*.

Ἦ

Ἠὲ ἑκὼν οἱ δῶκας, ἐπεὶ προσπύθετο μύθῳ;
Τόνδ' υἱὸς Φρονίοιο Νοήμων ἀντίον ηὔδα,
Αὐτὸς ἑκὼν οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
Ὁππότ' ἀνὴρ τοιοῦτος, ἔχων μελεδήματα θυμῷ,
Αἰτίζῃ; χαλεπόν κεν ἀνήναθαι δόσιν εἶη.
Κοῦροι δ', οἵ τις δῆμον ἀριστεύουσι μεθ' ὑμέας,
Οἵ οἱ ἕπονθ'· ἐν δ' ἀρχὸν ἐγὼ βαίνοντ' ἐνόησα
Μέντορα, ἢὲ θεὸν, τῷ δ' αὐτῷ πάντα ἐΐσκε.
Ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον
Χθιζὸν ὑπ' ἠοῖον· τότε δ' ἔμβη νηὶ Πύλονδε.
Ὡς ἄρα φωνήσας ἀπέβη πρὸς δώματα πατρός.
Τοῖσιν δ' ἀμφοτέροισιν ἀγάσσατο θυμὸς ἀγαυὼν·
Μνηστῆρες δ' ἄμυδις κάθισαν, καὶ παῦσαν ἀέθλων.
Τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱὸς,
Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλανθ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην·
Ὤ πόποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη,
Τηλεμάχῳ ὁδὸς ἥδε· φάμην δέ οἱ οὔ τελέεσθαι.
Ἐκ τόσσων δ' ἀέκητι νέος παῖς οἴχεται αὔτως
Νῆα ἐρυσσάμενος, κείνας τ' ἀνὰ δῆμον ἀείρας.

" An ſponte ei dediſti, poſtquam convenerat te ſermone?
Hunc filius Phronii Noëmon contrà alloquutus eſt,
" Ipſe ſponte ei dedi: quid utique faceret etiam alius,
" Quando vir talis, habens curas in animo,
" Peteret? difficile ſanè negare munus foret.
" Juvenes autem, qui in populo excellunt poſt vos,
" Illi eum ſequuntur; ducem verò ego conſcendentem agnovi
" Mentorem, aut deum; illi verò ipſi omnimodo ſimilis erat.
" Sed hoc admiror, vidi hîc Mentorem divinum
" Heri ſub aurorâ; tum tamen conſcenderat navem ad Pylum.
Sic loquutus abiit ad domum patris;
His autem utriſque perculſus eſt animus generoſus:
Proci verò ſimul conſederunt, & quieverunt à certaminibus.
Et illis Antinous interfatus eſt Eupithei filius,
Triſtatus: furore enim multùm præcordia nigra
Implebantur, oculique ei igni ſplendenti ſimiles erant.
" Dii Boni! Certè ingens facinus inſolentèr commiſſum eſt,
" Telemacho profectio iſthæc! Dixerimus ei non perfectum iri.
" Tot nempe invitis juvenculus puer abiit temerè
" Navi deductâ, electiſque per populum optimis.

ΣΧΟΛΙΑ.

647. Προσπύθετο.] Ἐκολάκευσεν, ἐξελιπάρησεν, ἐφιλοφρονήσατο.

649. Τί κεν ῥέξειε καὶ ἄλλος.] Τί ἂν πράξειε καὶ ἄλλος, αἰτοῦντι τοιοῦτος; πάντως σιωπήσειεν.

650. Μελεδήματα.] Μερίμνας, παρὰ τὸ μέλη ἔχειν, ὅ ἐστιν ἐνθυμεῖσθαι.

651. Αἰτίζῃ.] Αἰτῇ, παρακαλῇ. Ἀνήναθαι.] Ἀρνήσασθαι. Δόσιν.] Δωρεάν.

652. Κοῦροι δ' οἵ κατὰ δῆμον.] Ἄνδρες αὐτῷ συμπλέουσι λογάδες Ἰθακήσιοι, οἱ μεθ' ὑμᾶς κράτιστοι.

653. Βαίνοντα.] Εἰσιόντα.

656. Ὑπ' ἠοῖον.] Ὑπὸ τὴν ἕω, ὀρθρινόν. Ἔμβη.] Εἰσῆλθεν.

658. Ἀγάσσατο.] Ἐθαύμασεν, ἐξεπλάγη.

666. Ἐρυσσάμενος.] Ἑλκύσας, καθαγαγών. Κείνας.] Τὰς χρειττόνας ἐκλεξάμενος.

NOTÆ.

652. Ὑμέας) Itâ pro ἡμέας, quod hactenùs malè in omnibus obtinuit; ità enim *Brevia Scholia* etiamnum legunt, & Senſus omninò poſtulat: *Noemon* enim non ſe inter Optimos numerat, ſed *Procos*; dicitque, *Juvenes Ithacenſium nobiliſſimi, quique poſt Vos, ô Proci, ſunt præcipui, unà cum Telemacho abiere*; μεθ' ὑμέας, *poſt Vos*. Quare omninò Veram *Lectionem* aſſerendam duxi. Nôrunt Docti, quàm facile ὑμεῖς & ἡμεῖς, inter ſe invicem mutentur, in antiquis MSS.

658. Τοῖσιν δ' ἀμφοτέροισιν) Εὐφημιάζων ὁ Ἀντίνοος, ὡς μόνους τῶν μνηστήρων προσφθέγξασθαι Νοήμονα, παιζόντων τῶν ἄλλων. Vid. ad v. 628.

NOTÆ IN SCHOLIA.

652. Μεθ' ὑμᾶς) Licet in *Textu* omnes fere Codices ἡμέας malè legant, in *Scholiis* tamen Omnes ὑμᾶς rectè legunt, ut Duo MSS. etiam Editt. *Aldina, Hervag. Pariſian.* An. 1530. *Elzevirian.* &c.

VARIÆ LECTIONES.

651. Αἰτίζῃ) γρ. αἰτίζοι, *H. Steph.*

652. Ὑμέας) γρ. ἡμέας, vid. Not. in *Textum*.

656. Ὑπ' ἠοῖον) γρ. ὑπηοῖον, ex *Conjecturâ*.

Ἀρξά-

Ἀρξῇ γὰ πρότέρω κακὸν ἔμμεναι· ἀλλά οἱ αὐτῷ
Ζεὺς ὀλέσειε βίλν, πρὶν ἡμῖν πῆμα φυτεῦσαι.
Ἀλλ' ἄγε μοὶ δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
Ὄφρα μὲν αὐτὸν ἰόντα λοχήσομαι, ἠδὲ φυλάξω,
Ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης·
Ὡς ἂν ἐπισμυγερῶς ναυτίλλῃ εἵνεκα πατρός.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον·
Αὐτίκ' ἔπειθ' ἁνσάντες ἔβαν δόμον εἰς Ὀδυσῆος.
Οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος
Μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον.
Κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βυλὰς,
Αὐλῆς ἐντὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον.
Βῆ δ' ἴμεν ἀγγελέων ἀνὰ δώματα Πηνελοπείῃ·
Τόνδε καθ' ὑδὸν βάντα προσηύδα Πηνελόπεια,
Κῆρυξ, πίπε δέ σε πρόφρασαν μνηστῆρες ἀγαυοί;
Ἦ εἰπέμεναι δμωῇσιν Ὀδυσῆος θείοιο
Ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
Μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
Ὑστατα καὶ πύματα νῦν αὖθάδε δειπνήσειαν,
Οἳ θάμ' ἀγειρόμενοι, βίοτον κατὰ κεῖρετε πολλὸν,
Κτῆσιν Τηλεμάχοιο δαΐφρονος· ὐδέ τι παῖδων

" Incipiet & ulterius malum esse: sed illi ipsi
" Jupiter perdat vim, antequam nobis malum moliatur!
" Verùm agite, mihi date navem celerem & viginti socios,
" Ut eum ipsum redeuntem insidiis excipiam, atque observem,
" In freto Ithacæque Samique aspera:
" Ut cum suâ pernicie naviget propter patrem.
Sic ait; hi certè omnes laudabant atque jubebant.
Statim deinde, ubi surrexissent, ibant in domum Ulyssis.
Neque sanè Penelope longo tempore fuit insciа
Sermonum, quos proci in mente profundè cogitabant.
Præco enim illi dixit Medon, qui audierat consilia,
Cùm extra aulam esset: illi verò interiùs consilium texebant.
Festinabat igitur ire annunciaturus per domum Penelopæ.
Hunc sub limen venientem alloquebatur Penelope,
" Præco, cur te præmiserunt proci inclyti?
" An ut dicas ancillis Ulyssis divini
" Ut à labore cessent, ipsisque convivium apparent?
" Nè ampliùs procantes, nec usquam aliò decedentes,
" Ultimò & postremò nunc hìc cœnent.
" O Vos, qui simul congregati, victum absumitis multum,
" Facultatem Telemachi prudentis: nec quicquam à patribus

ΣΧΟΛΙΑ.

667. Ἀρξῇ κὴ πρότέρω.] Οἷον πρότερόν σε ἡμᾶς. οἱ δ' ὁμοίως, ἀπὸ εὐθείας τὸ ἀρξῇ· ἵν' ᾖ, ἀπὸ ταύτης τὸ ἀρχῆς χεῖρον ἡμᾶς ἐργάσῃ.

670. Λοχήσομαι.] Ἐνεδρεύσω. Φυλάξω.] Τηρήσω.

671. Πορθμῷ.] Τῷ μεταξὺ πορθμῷ τοῦ στενοῦ τόπου. πορθμὸς γὰρ λέγεται ἡ στενὴ θάλασσα. Παιπαλοέσσης.] Τραχείας.

672. Ἐπισμυγερῶς.] Ἐπὶ κακῷ τοῦ ἑαυτῆς, ἐπιπόνως. Ναυτίλλῃ.] Πλεύσῃ.

675. Ἄπυστος.] Ἀνήκοος, ἀνήκουστος.

676. Βυσσοδόμευον.] Κατὰ βάθους τῆς διανοίας ἐβουλεύοντο.

678. Ὕφαινον.] Κατασκεύαζον.

681. Πρόεσαν.] Προέπεμψαν.

684. Μηδ' ἄλλοθ' ὁμιλήσαντες.] Μηδὲ ἄλλοθί που συγχρώμενοι.

685. Πύματα.] Ἔσχατα, πλειστάκις.

686. Ἀγειρόμενοι.] Σωρηδὸν ἀθροιζόμενοι. Κατακείρετε.] Κατανάλισκετε, κατεδαπανᾶτε.

687. Πατρῴων.] Πατέρων, συγγενῶν.

NOTÆ.

674. Ἀνστάντες) *Suavius* hoc & Ὁμηρικώτερον, ἢ ἀναστάντες, ut π'. v. 358. ρ'. v. 177. &c. quare & hic ità lego, τῷ ἀναστάντες ad *Var. Lect.* rejecto.

682. Ἦ εἰπέμεναι δμωῇσιν) Τὸ ἦ & τὸ εἰ — Coalescunt, ut suprà, ad v. 165. & 352.

685. Πύματα) *Ultima* hujus Vocis producitur, in *Cæsura*, ante Literam ἀναδιπλασιασμῷ capacem, & ad ostendendum παῖδος loquentis. *Ib.* Δειπνήσειαν) *De* Procis jam loquitur, & versu sequenti, versâ velut in eos facie, *ad* ipsos loquitur, καθκείρετε &c. adeò egregiè animi παθος exprimit Poeta; quæ res exemplo non caret etiam apud *Prophetas* Sacrosanctos.

VARIÆ LECTIONES.

668. Φυτεῦσαι) γρ. ῥυσθῇ, *H. Steph.* γένεσθαι, *Seberi Index*, refragante *Metro*, ut Not. in *Textum* v. 634.

674. Ἀνστάντες) γρ. ἀναστάντες, Vett. fere omnes in hoc loco, nec benè; vid. Not. in *Textum*.

686. Οἳ θάμ' ἀγειρόμενοι) γρ. οἵ θ' ἅμ' ἀγειρόμενοι, Editt. *Florentin.* & *H. Steph.*

Ὑμετέ-

Ὑμετέρων τὸ πρόσθεν ἀκήκοατε, παῖδες ἑοῖο,
Οἷος Ὀδυσσεὺς ἔσκε μετ' ὑμετέροισι τοκεῦσιν,
Οὔτε πὰ ῥέξας ἐξαίσιον, οὔτε τι εἰπὼν
Ἐν δήμῳ· ἦτ' ἐστὶ δίκη θείων βασιλήων·
Ἄλλον μὲν ἐχθαίρῃσι βροτοί, ἄλλον κε φιλοίη.
Κεῖνος δ' οὔποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἔοργε·
Ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
Φαίνει, οὐδέ πις ἐστὶ χάρις μετόπισθ' εὐεργέων.
Τὼ δ' αὖτε προσέειπε Μέδων, πεπνυμένα εἰδώς,
Αἲ γὰρ δὴ, βασίλεια, τόδε πλεῖον κακὸν εἴη,
Ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
Μνησῆρες φεύζουσι, τὸ μὴ τελέσειε Κρονίων·
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέϊ χαλκῷ,
Οἴκαδε νεισόμενον· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Ὣς φάτο· τῇ δ' αὐτῇ λύτο γούνατα καὶ φίλον ἦτορ·
Δηρὸν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλήσθεν, θαλερὴ δέ οἱ ἔσχεθε φωνή.
Ὀψὲ δὴ μιν ἔπεσσιν ἀμειβομένη προσέειπε,
Κῆρυξ, πίπτε δέ μοι παῖς οἴχεται; οὐδέ τι μιν λεὼ
Νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵτ' ἄλοσ ἵπποι
Ἀνδράσι γίγνονται, περόωσι δὲ πηλὸν ἐφ' ὑγρόν;

" Vestris antea audistis, pueri cùm esse-
tis,
" Qualis Ulysses erat inter vestros pa-
rentes,
" Neque ullum tractans iniquè, neque
quicquam loquutus
" Publicè; qui tamen mos est magno-
rum Regum:
" Alium subditorum odio *quis eorum*
habeat, alium amplectatur.
" Ille verò nunquam prorsus improbè
aliquem affecit:
" Sed vester quidem animus, & indig-
na facinora
" Apparent, neque ulla est gratia post
beneficia *accepta*.
Hanc rursus alloquutus est Medon,
prudentia doctus,
" Utinam sanè, ô regina, hoc maxi-
mum malum esset;
" Sed multò majúsque & pernicio-
sius aliud
" Proci tentant, quod nequaquam per-
ficiat Saturnius!
" Telemachum cupiunt interficere acu-
to ferro,
" Domum revertentem: ille verò pro-
fectus est ad patris famam
" Ad Pylum sacram, atque ad Lacedæ-
mona divinam.
Sic ait; ast hujus illic soluta sunt
genua & amicum pectus:
Diù ipsam silentium verborum cœ-
pit; ipsius verò oculi
Lacrymis impleti sunt, & tenella
ei detenta est vox:
Tandem verò ipsum verbis excipi-
ens alloquuta est,
" Præco, cur mihi filius abiit? neque
ipsum necessitas erat
" Naves celeres conscendere, quæ in
mari equi
" Hominibus sunt, penetrantque im-
mensum humidum *mare*;

ΣΧΟΛΙΑ.

690. Ἐξαίσιον.] Ἔξω δικαίου, ἄδικον.
691. Δίκη.] Νόμος, ἢ τρόπος.
692. Ἐχθαίρῃσι.] Μισεῖ.
693. Ἀτάσθαλον.] Ἁμαρτωλὸν, ἄδικον. Ἐώργε.] Ἐργάσατο.
694. Ἀεικέα.] Ἀπρεπῆ, χαλεπά.
695. Εὐεργέων.] Εὐεργεσιῶν.
698. Ἀργαλεώτερον.] Δεινότερον, χαλεπώτερον.
699. Τελέσειεν.] Εἰς τέλος ἄξειεν.
701. Νεισόμενον.] Ἐπανερχόμενον, ὑποστρέφοντα.
704. Ἀμφασίη.] Ἀμφασία, ἀφωνία· κεῖται τὸ μ' ἐπιτατικόν.

NOTÆ.

693. Ἐώργε.] Vid. ad φ'. v. 96.

695. Οὐδέ τις ἐστὶ χάρις μετόπισθ' εὐεργιῶν) Εὐεργέων, ἀντὶ τοῦ εὐεργετῶν, *Eustath.* fol. 1514. lin. 31. Ut sit εὐεργὴς, pro εὖ ποιῶν, cùm aliàs ponatur pro εὖ ποιητής, ut *Iliad.* ε'. v. 585. — εὐεργέος ἔκπεσε δίφρου. An τὸ εὐεργέων, παρὰ τὸ εὐεργέα, ut τὸ εὐεργὲς, pro εὐεργασία; Ità *Br. Schol.*

703. Τῇσδ' αὐτῇ λύτο γούνατα) *Marc. Meibomius*, ad *Diog. Laert.* in *Zenone*, monet legendum, τῇσδ' αὖ λῦτο τὰ γούνατα, nullâ auctoritate, falsâque insuper ductus ratione; quod semel aut bis λῦτο legisset. Verùm non vacat omnium Intemperias perstringere.

708. Αἵ θ' ἅλοσ ἵπποι Ἀνδράσι γίγνονται) *Hesych.* Ἱππεὺς Ποσειδῶν) Φυσικῶς φασι· Διὰ τὸ λέγειν Ποιητὴν, αἵθ' ἅλοσ ἵπποι Ἀνδράσι γίγνονται. Malè ibi λέγειν τὰ τῶν τ' αἰθαλός.

709. Πηλὸν ἐφ' ὑγρὸν) Vid. infrà, ad μ'. v. 369.

VARIÆ LECTIONES.

697. Αἲ γὰρ) γρ. εἰ γὰρ, *H. Steph.*
701. Νεισόμενον) γρ. νεισθμενον, & νισόμενον.
703. Αὐτῇ λύτο γούνατα) γρ. αὖ λῦτο τὰ γούνατα Vid. Not. ad *Textum*.

Ἦ ἵνα μηδ' ὄνομ' αὐτῆς ἐν ἀνθρώποισι λίπηται;
Τὸν δ' ἠμείβετ' ἔπειτα Μέδων, πεπνυμένα εἰδώς,
Οὐκ οἶδ', εἴπ μὲν θεὸς ὦρορεν, ἠὲ καὶ αὐτῆς
Θυμὸς ἐφορμήθη ἴμεν εἰς Πύλον, ὄφρα πύθηται
Πατρὸς ἑοῦ, ἢ νόστον, ἢ ὅντινα πότμον ἐπέσπεν.
Ὣς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμα Ὀδυσῆος.
Τὸν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ' ἄρ' ἔτ' ἔτλη
Δίφρῳ ἐφέζεσθαι, πολλῶν κατὰ οἶκον ἐόντων·
Ἀλλ' ἄρ' ἐπ' οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο,
Οἰκτρὰ ὀλοφυρομένη· περὶ δ' ἀμφαὶ μινύριζον
Πᾶσαι, ὅσαι κατὰ δώματ' ἔσαν νέαι ἠδὲ παλαιαί·
Τῇς ἀδινὸν γοόωσα μετηύδα Πηνελόπεια,
Κλῦτε, φίλαι, πέρι γάρ μοι Ὀλύμπιοι ἄλγε' ἔδωκαν
Ἐκ πασέων, ὅσαι μοὶ ὁμῶς τράφεν ἠδ' ἐγένοντο·
Ἦ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
Παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
Ἐσθλόν, ὅου κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος·
Νῦν δ' αὖ παῖδ' ἀγαπητὸν ἀνηρείψαντο θύελλαι
Ἀκλέα ἐκ μεγάρων· οὐδ' ὁρμηθέντα ἄκουσα.
Σχέτλιαι, οὐδ' ὑμεῖς γε φρεσὶ θέσθε ἑκάστη
Ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπισταμένη σάφα θυμῷ,
Ὅστις δὴ κείνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
Εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνουσαν,
Τῷ κε μάλ' ἢ κεν ἔμεινε, καὶ ἐστύμενός περ ὁδοῖο,
Ἢ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν.
Ἀλλά τις ὀτρηρὸς Δολίων καλέσειε γέροντα,

" An ut ne quidem nomen ejus inter homines relinquatur?
Hanc alloquutus est deinde Medon, prudentia doctus,
" Haud scio, an aliquis ipsum Deus impulit, an & ipsius
" Animus impulsus est ire ad Pylum, ut audiat
" Patris sui, aut reditum, aut quonam fato interiit.
Sic utique loquutus abiit per domum Ulyssis.
Hanc autem dolor circumfudit animū. crucians, neque ampliùs sustinuit
In sellâ sedere, licet multæ in domo essent;
Verùm super limen sedebat elaborati thalami,
Miserabilitèr lugens: circùm igitur ancillæ ejulabant
Omnes, quotquot in domo erant juvenes atque vetulæ:
Illas assiduò lugens alloquebatur Penelope,
" Audite, amicæ, supra modum enim mihi cœlites dolores dederunt
" Ex omnibus, quæcunque unà mecum nutritæ, atque natæ sunt:
" Quæ anteà quidem maritum bonum amisi animosum,
" Omnibus virtutibus ornatum inter Græcos,
" Eximium, cujus gloria lata per Græciam & medium Argos.
" Nunc rursus filium dilectum abripuerunt procellæ
" Inglorium ex ædibus, neque de abeunte audivi.
" Infelices, neque vos quidem in mente induxistis unaquæque
" E lectulo me suscitare, scientes manifestè in animo,
" Quando ille conscendit cavam navem nigram.
" Si enim ego scivissem istam profectionem molientem,
" Sanè statim aut mansisset, quantumvis festinans ad iter,
" Aut me mortuam in domo reliquisset.
" Sed aliquis famulus Dolium accersat senem,

ΣΧΟΛΙΑ.

710. Λίπηται.] Καταλειφθείη.
712. Ὦρορεν.] Παρώρμησεν.
713. Πύθηται.] Ἀκούσῃ, μάθῃ.
714. Ἐπέσπεν.] Ἐπλήρωσεν.
716. Θυμοφθόρον.] Βλαπτικὸν λογισμῶν.
717. Ἐφέζεσθαι.] Ἐπικαθίζεσθαι.
718. Πολυκμήτου.] Μετὰ πολλῶν καμάτων κατασκευασθέντος.
719. Οἰκτρά.] Ἐλεινά. Μινύριζον.] Ἠσύχως ἔκλαιον, ἐθρήνουν.
721. Ἀδινόν.] Ἀθρόως, ἀδινῶς.
724. Θυμολέοντα.] Ἀνδρεῖον, λεοντόθυμον.
725. Κεκασμένον.] Κεκοσμημένον.
728. Ἀκλέα.] Ἄδοξον. Ὁρμηθέντος.] Ἐξελθόντος.
729. Σχέτλιαι.] Ἀγνώμονες, χαλεπαί. Θέσθε.] Ἀποθέσθε, ἠσυχάζεσθε.
732. Πυθόμην.] Ἤκουσα, ἔμαθον. Ὁρμαίνουσαν.] Προθυμούμενον.
734. Ἔλειπεν.] Ἀφῆκέ με.
735. Ὀτρηρός.] Ἔνιοι, Ὀτρηρῶς. Δραστικῶς, σπουδαίως. Δολίων.] Ὄνομα κύριον.

VARIÆ LECTIONES.

727. Ἀνηρείψαντο θύελλαι) γρ. ἀπηκτῖναι μεμυάασιν, *H. Steph.* & *Florentin.* ut ε'. v. 18.

735. Ὀτρηρὸς) γρ. ὀτρηρῶς, *Br. Schol.* & MS. *Alexii*, Ὀτρηρῶς) Δραστικῶς.

Δμῶ

Δμῶ' ἐμὸν, ὅν μοι ἔδωκε πατὴρ ἔπι δεῦρο κιόντι,
Καί μοι κῆπον ἔχῃ πολυδένδρεον· ὄφρα τάχιστα
Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
Εἴ δή πῃ τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας,
740 Ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἱ μεμάασιν
Οὐχ ὑ Ὀδυσῆος φθῖσαι γόνον ἀντιθέοιο.

Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια,
Νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλεῖ χαλκῷ,
Ἢ ἔα ἐν μεγάρῳ· μῦθον δέ τι οὐκ ἐπιθύπω.
745 Ἥδε ἐγὼ πάντα· πόρον δέ οἱ, ὅσ' ἐκέλευσε,
Σῖτον καὶ μέθυ ἡδύ· ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον,
Μὴ πρίν σοι ἐρέειν, πρὶν δωδεκάτην τε γενέσθαι,
Ἢ σ' αὐτὴν πυθέσθαι, ἢ ἀφορμηθέντος ἀκοῦσαι·
Ὡς ἂν μὴ κλαίουσα χρὼ ἠρόα καλὸν ἰάπτῃς.
750 Ἀλλ' ὕδρηναμένη, καθαρὰ χροὶ εἵματ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Εὔχεο Ἀθηναίῃ, κούρῃ Διὸς Αἰγιόχοιο·
Ἣ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσῃ.
Μὴ δὲ γέροντα κάκα κεκακωμένον· ὡ γὰρ οἴῳ
755 Πάσχει θεοῖς μακάρεσι γουνοῦ Ἀρκεισιάδαο
Ἔχθεται· ἀλλ' ἔπι πῆ τις ἐπέσσεται, ὅς κεν ἔχῃσι
Δώματά θ' ὑψερεφέα καὶ ἀπόπροθι πίονας ἀγρούς.
Ὡς φάτο· τῆς δ' θύνησε γόον, κέθε δ' ὄσσε γόοιο.

"Mancipium meum, quem mihi dedipater huc eunti,
"Et mihi hortum ſervat arboriferum; ut celerrimè
"Laërtæ hæc omnia aſſidens indicet;
"Si fortaſſe aliquod ille in mente conſilium commentus,
"Progreſſus apud populum deploret *de iis*, qui cupiunt
"Suam & Ulyſſis perdere prolem divini.
Hanc rurſus alloquuta eſt chara nutrix Euryclea,
"Domina chara, tu quidem me interfice crudeli ferro,
"Sive relinquas in ædibus, ſermonem certè non celabo:
"Novi ego iſta omnia, præbui autem illi, quæcunque poſtulavit,
"Panem & vinum dulce: à me etenim exegit magnum juramentum,
"Non priùs tibi dicere, quàm duodecimáque adeſſet *dies*,
"Aut tu ipſa deſiderares, & abiiſſe reſciſceres:
"Nè flens corpus pulchrum lædere*res*.
"Verùm lota, puras corpori veſtes induens,
"In cœnaculum conſcendens, cum ancillis mulieribus,
"Supplica Palladi, filiæ Jovis Ægiochi:
"Hæc enim ipſum tandem etiam ex morte ſervabit.
"Nè verò ſenem afflige afflictum; non enim exiſtimo
"Penitùs diis beatis ſobolem Arceſiadæ
"Inviſam eſſe; ſed alicubi aliquis ſupererit, qui poſſideat
"Domos excelſas, & porrò jacentes fertiles agros.
Sic ait: hujus autem ſedavit luctum; cohibuit & oculos à luctu.

ΣΧΟΛΙΑ.

736. Κιόντι.] Πορευομένῳ.
737. Κῆπον ἔχῃ.] Νῦν ἀντὶ Ξ, ἐπιμελεῖται.
738. Καταλέξῃ.] Εἴπῃ ἕκαστα.
739. Μῆτιν.] Σύνεσιν, βουλὴν, γνώμην, τέχνην, δόλον, ἀπάτην, ἢ Θ. Ὑφήνας.] Καταστησάμενος.
740. Ὀδύρεται.] Ἀποκλαύσεται.
741. Φθῖσαι.] Διαφθεῖραι.
743. Κατάκτανε.] Ἄνελε, φόνευσον.
746. Εἶπτο.] Ἔλαβεν.
749. Ἰάπτῃς.] Διαφθείρῃς.
750. Ὑδρηναμένη.] Λουσαμένη, ὕδατι προσχρωμένη.

Ἑλοῦσα.] Λαβοῦσα, ἀντὶ Ξ ἐνδυσαμένη.
754. Κάκα.] Λύπη.
755. Γουνοῦ.] Γόνυ. Ἀρκεισιάδαο.] Πατρωνυμικῶς, Ξ Λαέρτου.
756. Ἔχθεται.] Μισεῖται. Ἐπέσσεται.] Καὶ εἰς τὸ μελλοντικὸν ἔσται.
757. Ὑψηρεφέα.] Ὑψηλότερα. Πίονας.] Τοὺς πιαίνοντας, τουτέστι λιπαροὺς, πλουσίους ποιοῦντας τοὺς ἀνθρώπους.
758. Εὕνησεν.] Ἔπαυσεν, κοιμίσεν.

NOTÆ IN SCHOLIA.

743. Κατάκτανε) Ἄνελε, φόνευσον. Ità MS. *Aloyſii*. Olim, Κατάκτανε νηλεῖ) φόνευσον. Sciolus aliquis, τὸ ἄνελε, vertebat in νηλεῖ; cujus tamen nihil in Scholio δηλωτικόν.
757. Ὑψηλόσεσα, pro ὑψηλότερα, ex MSS. reſtituo.

VARIÆ LECTIONES.

741. Φθῖσαι) *pr.* φθεῖσαι, MS. *Aloyſii*. *Al.* φθίσαι.
744. Δέ τι) *pr.* δ' τοι.
745. Ἐκέλευσε) *pr.* ἐκέλευε, *H. Steph.*
747. Τὴ) *pr.* ᾗ, *H. Steph.*
753. Σαώσῃ) *pr.* σαώσαι, *H. Steph.* in *Textu*, at non *Florentin.*

Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξίν·
Ἐν δ' ἔθετ' ἠλοχύτας κανέῳ, ἠρᾶτο δ' Ἀθήνην,
Κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
Εἴποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
Ἢ βοὸς, ἢ οἰὸς πίονα μηρί' ἔκηε,
Τῶν νῦν μοι μνῆσαι, καί μοι Φίλον ὄφρα σάωσον,
Μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑπερηνορέοντας.
Ὣς εἰπὼν ὀλόλυξε· θεὰ δέ οἱ ἔκλυεν ἀρῆς·
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων,
Ἦ μάλα δὴ γάμον ἄμμι πολυμνήστη βασίλεια
Ἀρτύνει· ὐδέ τι οἶδεν, ὅ οἱ φόνος ἐγγὺς ἐτύχθη.
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀντίνοος ἀγορήσατο καὶ μετέειπε,
Δαιμόνιοι, μύθου μὲν ὑπερφιάλου ἀλέασθε
Πάντας ὁμῶς, μήπως τις ἐπαγγείλῃσι καὶ ἔσω.
Ἀλλ' ἄγε σιγῇ τοῖον ἀναστάντες τελέωμεν
Μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤρεσεν ἡμῖν.

Ipsa verò lota, puras corpori vestes induens,
In cœnaculum conscendit cum servis ancillis:
Imposuitque molas canistro, supplicavitque Palladi,
" Audi me, Ægidem-tenentis Jovis filia indomita,
" Si unquam tibi versutus in ædibus Ulysses
" Aut bovis, aut ovis pingues coxas adolevit,
" Horum nunc memor sis & mihi charum filium serva:
" Procos verò averte malè superbientes.
Sic loquuta, ejulavit; dea autem illius audivit preces:
Proci verò tumultuabantur per atria obscura:
Atque ità aliquis dicebat juvenum superbientium,
" Profectò jam nuptias nobis à multis ambita Regina
" Apparat, neque ullo pacto novit, quòd suo cædes filio subornatur.
Sic certè quispiam dicebat: ea autem nesciebant, ut erant decreta.
Illis verò Antinous concionatus est & fatus,
" O improvidi, sermones quidem arrogantes fugite
" Omnes pariter; nè fortè quispiam annunciet etiam intús.
" Sed agè silentio sic exurgentes perficiamus
" Consilium, quod jam etiam omnibus in mente placuit nobis.

ΣΧΟΛΙΑ.

766. Ἀπάλαλκε.] Ἀποκώλυε. Ὑπερηνορέοντας.] Ὑπερέχοντας τῇ δυνάμει· σημαίνει δὲ καὶ ὑπερηφανεῖντας.
767. Ὀλόλυξεν.] Ὀλοφυρτικὸν ἐφθέγξατο. Ἀρῆς.] Εὐχῆς.
768. Ὁμάδησαν.] Ἐθορύβησαν. Ἀνὰ μέγαρα.] Κατὰ τὰς οἰκίας.
770. Πολυμνήστη.] Ὑπὸ πολλῶν μεμνηστευμένη.
771. Ἀρτύνει.] Παρασκευάζει.
772. Οὐκ ἴσαν.] Οὐκ ἐγίνωσκον.
774. Δαιμόνιοι.] Μακάριοι, θαυμάσιοι. Ἀλέασθε.] Ἐκκλίνατε, φυλάξατε.
776. Σιγῇ τοῖον.] Μετὰ σιγῆς ὅτου. Τελέωμεν.] Τελειώσωμεν, πληρώσωμεν.
777. Ἤρεσεν.] Ἤρμοσεν.

NOTÆ.

767. Ὣς εἰπὼν ὀλόλυξε) De Voce ὀλολύζω, vid. ad γ'. v. 450. Fatendum tamen, vel ex hoc loco, Vocem aliquandò ab *Homero* accipi, Modernorum more, pro *ejulavit*, ὀλοφυρτικὸν ἐφθέγξατο, ut *Br. Schol.* quod cùm etiam factum sit in *Batrachom.* v. 100. & *Anacreon*, v. 634. vix satis cautè videtur notâsse *Isaac. Casaubonus* ad locum, viz. *Batrachom.* v. 100. " *Homerus* hâc voce nunquam sic est usus: " Nec *Homeri* est hoc Carmen: nec ullius optimi Poetæ; nedum *Homeri*. Certè in hoc loco, *Homerus* hâc voce sic est usus. Vix enim credibile est, *Penelopen* aliter se, in hâc tantâ animi acerbitate & angustiis gerere potuisse. *Eustathius* tamen alitèr sentit, & credit eam etiam nunc *lætiori* quâdam acclamatione, Pietatis ergò usam; undè Proci putabant illam Nuptiis tandem animum intendere. Et sanè Poeta dixit consolationem aliquam cepisse ex *Euryclea* verbis. ad v. 758. Τῆς δ' εὖ̓νησε γόου.

NOTÆ IN SCHOLIA.

766. Ὑπερηνορέοντας) Ὑπερέχοντας hanc solam vocem addo, ex MSS.
771. Ἀρτύνει) γρ. ἀρτύει, vid. ad *Var. Lect.*

VARIÆ LECTIONES.

762. Κλῦθί μοι) γρ. κλῦθί μευ, *Dionys.* Halicarn. Vid. ad *Iliad.* α'. v. 37.
771. Ἀρτύνει) γρ. ἀρτύει, MSS. *Aloysii* & GC.
775. Μήπως τις) γρ. μήπε τις, *H. Steph.*
776. Τοῖον) γρ. τοῦτον, *H. Steph.*

Ὣς

Ὣς εἰπὼν, ἐκρίνατ' ἐείκοσι φῶτας ἀρίστους
Βὰν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ ἅλα δῖαν ἁλάασθαι.
Νῆα μὲν ἂρ πάμπρωτον ἁλὸς βένθοσδε ἔρυσαν·
Ἐν δ' ἱστόν τ' ἔστηλο καὶ ἱστία νηῒ μελαίνῃ·
Ἠρτύναλο δ' ἐρετμὰ τροπῖς ἐν δερματίνοισι,
Πάντα κατ' μοῖραν· ἀνὰ δ' ἱστία λεύκ' ἐπέτασαν.
Τεύχεα δέ σφιν ἔνεικαν ὑπέρθυμοι θεράποντες,
Ὑψῦ δ' ἐν νοτίῳ τιθέν γ' ὥρμισαν· ἐν δ' ἔβαν αὐτοί,
Ἐνθάδε δόρπον ἕλοντο, μένον δ' ἐπὶ ἔσπερον ἐλθεῖν.
Ἡ δ' ὑπερῴ' ἀναβᾶσα θεὶ φρονέουσα Πηνελόπεια
Κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
Ὀρμαίνουσ', εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων,
Ἦ ὅγ' ὑπὸ μνηστῆρσιν ὑπερφιάλοισι δαμείη.
Ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
Δείσας, ὁππότε μιν δόλιον θεὶ κύκλον ἄγωσι·
Τόσσα μιν ὀρμαίνουσαν ἐπέλλαβε νήδυμος ὕπνος·
Εὗδε δ' ἀνακλιθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Εἴδωλον ποίησε, δέμας δ' ἴκτο γυναικὶ
Ἰφθίμῃ, κύδῃ μεγαλήτορος Ἰκαρίοιο·

Sic loquutus, elegit viginti viros optimos:
Festinabant verò proficisci ad navem velocem & littus maris.
Navem quidem principio maris in altum traxerunt:
Malum verò imposuerunt, & vela navi in nigra:
Aptabantque remos vertebris coriaceis,
Omnia ritè; sursumque vela alba expanderunt.
Arma verò ipsis tulerunt glorioſi famuli,
Et altè in humidum hanc stiterunt; ingressique sunt ipsi,
Illic cœnam sumpserunt, expectâruntque hesperi adventum.
Cœnaculùm verò cum conscendisset prudens Penelope,
Jacebat sanè jejuna, non gustans cibum, neque potum,
Cogitans, an mortem fugeret ejus filius inculpatus,
An ipse à procis impiis domitus foret.
Quàm multa autem cogitat leo virorum in turbâ,
Timens, cùm circà ipsum dolosum circulum, *i.e.* Rete, ducant:
Tam varia ipsam cogitantem corripuit dulcis somnus:
Dormiebat verò recumbens, solutæque sunt ei compages omnes.
Ibi tum alia excogitavit dea cæsia Minerva,
Idolum effinxit, corpore autem assimulatum erat mulieri
Iphthimæ, filiæ magnanimi Icarii:

ΣΧΟΛΙΑ.

778. Ἐκρίναθ. Ἐπλίξαθ.
781. Ἐν σὶ ἰσὸν ἐπῆνθ.] Πῶς, τῇ εἰρεσίᾳ χρώμενοι; κόσμῳ χάριν.
782. Ἠρτύναν θ.] Παρεσκευάσαν θ. Ἐρετμά.] Κώπας· Τροποῖς δὲ δερματίνοισι.] Πελεκανωμένοις· δηλοῖ δὲ τὰς τροπωτῆρας, θεὶ ἃς αἱ κῶπαι τρέπον) καὶ στρέφον) ἐν ἱμᾶσι τισὶ θεδεδεμένοις παῖς κώπαις.
784. Ὑπέρθυμοι.] Ἀνδρειότατοι.
785. Ὑψῦ.] Ἐν ὑψηλῷ, ἐν τῷ βαθυτέρῳ τόπῳ. Νοτίῳ.] Τῷ διυγρῷ· οἱ δὲ, εὐνοτίῳ, τῷ θεὸς νότον τόπῳ. Ὥρμισαν.] Ἡσύχως ἐστάναι τὴν ναῦν ἐποίησαν. Ἔβαν.] Ἔβησαν, εἰσῆλθον.
786. Ἕλοντο.] Ἔλαβον. Ἔσπερον.] Τὴν ἑσπέραν.
788. Ἅπας θ.] Ἄγαν τος.
789. Ὀρμαίνουσα.] Λογιζομένη.
791. Ὁμιλῳ.] Πλήθ.
792. Δόλιον θεὶ κύκλον.] Τὸ δίκτυον.
794. Ἅψεα.] Ἅψεα δὲ, μέλη φησὶν, ἀπὸ τ συνῆφθαι.
796. Εἴδωλον.] Φάσμα. Ἴκτο θ.] Ὅμοιον ἦν.
797. Ἰφθίμη.] Οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τ Πηνελόπης. Ἄσιος δέ φησι, Κεραί τ' Ἰκαρίοιο Μίδη καὶ Πηνελόπεια. Ἀνδρὸς δὲ * Δηϊπύλλου λέγ.

NOTÆ IN SCHOLIA.

781. Ἐπῆνθ) MS. GC. & *Aloysii*, ἐπίηνθ. Cætera, ut Nos.
782. Στρέφον), ità MSS. pro τρέφον).
785. Βαθυτέρῳ τόπῳ) Pro κατωτέρω τρόπῳ, emendo, ex MSS. & mox εὐνοτίῳ, unicâ voce.
792. Δόλιον θεὶ κύκλον) Δίκτυον. Ità *Oppianus* Hal. l. 1. v. 251. — ὑποχῆς θειηγὲς κύκλῳ.
797. Ἄσιος δὲ) Hæc ex *Aloysii* MS. excepto, quòd pro Δηϊπύλλου, aliquid corruptum sit, * ὁ πτύλην, quod emendare ex *Eustathio* non licet; nec *Apollodorus*,

VARIÆ LECTIONES.

780. Νῆα μὲ ἂρ) γρ. νῆά μ' ἔδν, *H. Steph.*
781. Ἐν σὶ ἰσὸν τ' ἐπῆνθ) γρ. ἐν δ' ἰσὸν τ' ἐπίηνθ, MSS. *Aloysii* & GC. pro ἐπίηνθ.
784. Σφὶν ἔνεικαν) γρ. σφ' ἤνεικαν, *H. Steph.*
785. Ἐν νοτίῳ) γρ. εὐνοτίῳ, MSS. *Aloysii* & GC. item *Br. Schol.*
787. Ἡ σὶ ὑπερῴ' ἀναβᾶσα) γρ. ἡ δ' ὑπερῴᾳ αὖθι, *Florentin.* & *H. Steph.*
793. Ἐπίκλυβε) γρ. ἐπήκλυε, *H. Steph.*

Τὸν

Τὴν Εὔμηλος ὄπυιε, Φερῆς ἔνι οἰκία ναίων.
Πέμπε δέ μιν θεὸς δῶμαΐ' Ὀδυσσῆος θείοιο,
Εἴπως Πηνελόπειαν ὀδυρομένην γοόωσαν
Παύσειε κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Ἐς θάλαμον δ' εἰσῆλθε θοὰ κληῖδος ἰμάντα,
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν θεὸς μῦθον ἔειπεν,
Εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ;
Οὐ μέν σ' ἔνδε ἐῶσι θεοὶ ῥεῖα ζώοντες
Κλαίειν, ἠδ' ἀκαχῆσθαι, ἐπεί ῥ' ἔτι νόστιμός ἐστι
Σὸς παῖς· ὃ μὴ γάρ τι θεοῖς ἀλιτήμενός ἐστιν.
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια,
Ἡδὺ μάλα κνώσσω' ἐν ὀνειρείῃσι πύλῃσι,
Τίπτε, κασιγνήτη, δεῦρ' ἦλυθες; ἦπι πάρος γε
Πωλεῖ', ἐπεὶ μάλα πολλὸν ἀπὸ θεσθι δώματα ναίεις·
Καί με κέλῃ παύσασθαι ὀϊζύος, ἠδ' ὀδυνάων
Πολλέων, αἵ μ' ἐρέθουσι κατ' φρένα καὶ κατ' θυμόν·

Quam Eumelus duxerat, in Pheris domo habitans.
Misit igitur hanc *Minerva* ad domum Ulyssis divini,
Si quo pacto Penelopen lamentantem, lugentem,
Compesceret à luctu fletúque lachrymoso.
In thalamum verò ingressa est ad serarum;
Stetitque supra caput, & ipsam sermone alloquuta est,
" Dormis, Penelope, charo afflicta corde?
" Nequaquam te sinunt dii facilè viventes
" Flere, neque tristem esse; quoniam adhuc rediturus est
" Tuus filius: nequaquam enim Diis obnoxius est.
Hanc excepit prudens Penelope,
Valdè suaviter dormiens in somniorum portis,
" Cur, ô soror, huc venisti? non anteà quidem
" Invisebas, quandoquidem valdè procul domum habitas:
" Et me jubes cessare ærumnâ atque doloribus
" Plurimis, qui me irritant in mente & animo:

ΣΧΟΛΙΑ.

798. Φερῆς.] Ἐν ταῖς Φεραῖς. Φεραὶ μὲν πόλις τῆς Μεσσηνίας· Φεραὶ δὲ, τὰ Θεσσαλίας, ὡς σύνταξαι. Εὔμηλος δὲ Ἀδμήτου καὶ Ἀλκήστιδος. Ἄδμητος δὲ ὁ Φέρητος, ἐξ οὗ τὴν πόλιν ὄνομα.

801. Δακρυόεντος.] Δακρύων πεπληκτοῦ.

802. Παρὰ κληῖδος ἰμάντα.] Ἀντὶ τοῦ παρὰ τὴν κλεῖδα, ἣ τις ἰμάντι εἶχε παρὰ τὸ κλεῖθρον.

804. Τετιημένη.] Λελυπημένη.

805. Ῥεῖα ζώοντες.] Ῥᾳθύμως καὶ ἀπόνως ζῶντες.

806. Νόστιμός ἐστι.] Ἐλπίζων ἀνακομισθῆναι καὶ σωθῆναι.

807. Ἀλιτήμενός ἐστιν.] Ἡμαρτηκὼς, ἢ ἡμαρτημένον.

809. Κνώσσασα.] Κοιμωμένη. Ἐν ὀνειρείῃσι πύλῃσιν.] Ἐν τῷ βάθει καὶ ὑπνῷ. Διὰ δὲ τούτου ἔρχεται ὄνειρος.

810. Τίπτε;] Τί δή; Κασιγνήτη.] Ἀδελφή. Ἦλυθες.] Ἦλθες.

811. Πωλέαι.] Παραγίνῃ, ἀναιρέσῃ. Ἀπόσθι.] Πόρρω. Ναίεις.] Οἰκεῖς.

812. Ὀϊζύος.] Ταλαιπωρίας, κακοπαθίας.

813. Ἐρέθουσιν.] Ἐρεθίζουσιν.

NOTÆ.

811. Πωλεῖ') Pro πωλέαι. Vid. Not. in *Textum* ad β'. v. 202. ubi μυθέαι, & hìc MS. παροξύνῃ τὸ πωλέαι, quod cùm video *Eustathium* defendere, item facio, ut loco præd.

NOTÆ IN SCHOLIA.

nec alius, quod sciam, verum nomen hujus *Penelopæ* Sororis profert, præter quod *Asius* dicat & *Andron* imperfectè referat. At hæc *Icarii* Genealogia. *Jupiter*, ex *Taygetâ*, *Atlantis* & *Pleionæ* filiâ *Lacedæmona* genuit. Hic ex *Spartâ*, *Eurotæ* f. *Amyclam*; qui ex *Diomedâ*, *Lapithæ* f. *Cynortam* & *Hyacinthum*. *Cynortæ* filius *Perieres*, qui ex *Gorgophonâ Persei* f. genuit *Oebalum*. Is ex nymphâ *Naiade*, *Batæâ*, *Icarium*, *Aphareum* & *Leucippum*. *Icarius*, ex *Peribœâ*, *Naiade* nymphâ, *Thoantem*, *Damasippum*, *Imeusimum*, *Aletem*, *Perilaum*, filios & *Penelopen*, atque *Iphthimam*, vel ut alii *Meden*, & *Deipylen*, filias.

798. Φερῆς) Hoc *Scholion*, quòd *Messeniam* nihil ad *Thessaliam* pertinere scirem, ex *Strabone*, *Stephano* περὶ πόλεων, *Pausania*, & *Eustathio* concinnavi. Nihil enim hic MSS. nisi quòd *Aloysius* lacunam videatur agnoscere.

811. Πωλέαι) MS. παροξυτονεῖ, Vid. Not. in *Textum*.

VARIÆ LECTIONES.

802. Ἐς θάλαμον) γρ. ἐν θαλάμῳ, *H. Steph.* errore *Preli*, at *Elzevir.* ἐν &c.

811. Πωλεῖ') γρ. πώλει', Vid. Not. in *Textum*, pro πωλέαι, aut πωλέο, pro πωλέεο.

Ἦ περὶ μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
Παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
Ἐσθλόν· τοῦ κλέος εὐρὺ κατ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Νῦν δ' αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηὸς
Νήπιος, οὔτε πόνων εὖ εἰδὼς, οὔτ' ἀγορέων.
Τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι, ἢ περ ἐκείνου·
Τοῦδ' ἀμφιτρομέω καὶ δείδια, μή τι πάθῃσιν
Ἢ ὅγε, τῆλ' ἐὼν δήμῳ, ἵν' οἶχε, ἢ ἐνὶ πόντῳ·
Δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται,
Ἰέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρὸν,
Θάρσει, μηδέ τι πάσχε μετὰ φρεσὶ δείδιθι λίην·
Τοίη γάρ τοι πομπὸς ἅμ' ἕρχεται, ἣν τε καὶ ἄλλοι
Ἄνερες ἠήσαιντο παρεστάμεναι, δύναται γάρ,
Παλλὰς Ἀθηναίη· σὲ δ' ὀδυρομένῳ ἐλεαίρει·
Ἦ νῦν με προέηκε, τεὰ τάδε μυθήσασθαι.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια,
Εἰ μὲν δὴ θεὸς ἐσσὶ, θεοῦ τε ἔκλυες αὐδῆς,
Εἶ δ' ἄγε μοι καὶ κεῖνον ὀϊζυρὸν καταλέξον,
Εἴπερ ἔπι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο,

" Quæ antè quidem maritum bonum amisi magnanimum,
" Omnibus virtutibus ornatum, inter Græcos,
" Eximium; cujus gloria lata per Græciam & medium Argos.
" Nunc rursus filius dilectissimus abiit cavâ in nave
" Pupillus, neque laborum probè gnarus, neque commerciorum.
" Hujus causâ jam ego etiam magis lugeo, quàm illius:
" Ob hunc undique tremisco & timeo, nè quid patiatur
" Aut ipse *ab aliquo* illorum in populo, quò abiit, aut in ponto.
" Hostes enim multi in ipsum insidias struunt,
" Cupientes occidere; antequam ad patriam terram veniat.
Hanc respondens alloquutum est simulachrum obscurum,
" Confide, neque prorsus in mente timeas tantopere:
" Talis enim comes unà sequitur, quam etiam alii
" Viri optârint adesse, pollet enim,
" Pallas Minerva: te verò lamentantem miseratur;
" Quæ nunc me præmisit, tibi hæc ut dicerem.
Hanc rursus alloquuta est prudens Penelope,
" Si quidem tu dea es, deæque audivisti vocem,
" Agè mihi & illum ærumnosum enarra,
" Num alicubi adhuc vivat, & videat lumen solis,

Σ Χ Ο Λ Ι Α.

814. Πόσιν.] Ἄνδρα.
818. Νήπιος.] Νῦν ὁ πραγμάτων ἄπειρος, ἢ μικρός. Εὖ εἰδώς.] Ἀκεραίως ἐπιστάμενος.
820. Τρομέω.] Τρέμω. Δείδια.] Φοβοῦμαι, εὐλαβοῦμαι.
821. Ἵνα.] Ὅπου.
822. Μηχανόωνται.] Ἐπινοοῦσιν.
823. Ἰέμενοι.] Προθυμούμενοι.
824. Ἀμαυρὸν.] Τὸ μὴ βλεπόμενον· οἱ δὲ, τὸ ἄμορφον αὔραις φερόμενον, ἀόρατες.
825. Δείδιθι.] Φοβοῦ.
826. Πομπὸς.] Παραπέμπουσα, ὁδηγός.
829. Τεὰ.] Σοί.
832. Εἰδ' ἄγε.] Ἄγε δή.

N O T Æ.

820. Τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι, ἢ περ ἐκείνου) *Spondanus* hîc, licet impensum Matris amorem agnoscat, non tantam tamen in uxore Reverentiam putat hîc ostendi, quantam apud Nos Dei jussu convenit; quanquam *Penelopæ* dolorem super *Ulyssis* absentia tempore penè deletum, aut certè imminutum concedat; ut hic recens de *Telemacho* conceptus dolor esset gravior. Verùm multæ aliæ sunt rationes, quas si et Poeta expresserit, ille satis non attendebat; *Ulyssem* nempè Periculis obcundis magis esse idoneum, hunc prorsus inexpertum, v. 818. Νήπιος, οὔτε πόνων εὖ εἰδὼς, οὔτ' ἀγορέων. Illum in dubia belli pericula scientem se misisse, hunc in certam perniciem, inscium & ignarum, v. 822. Δυσμενέες γὰρ πολλοὶ ἐπ' αὐτῷ μηχανόωνται), &c. Verùm nescio, an ipsæ etiam nostræ Literæ majorem inter Conjuges charitatem expetant, quam inter *Ulyssem* & *Penelopen* facit Poeta: Certè rarò nobis similem vidisse contigit. Hæc, nè optimo Poetæ justa desit Defensio; quoniam nihil hîc *Eustathius*.

NOTÆ IN SCHOLIA.

820. Δείδια) Hæc ex utroque MS.

Variæ Lectiones.

820. Ἀμφιτρομέω) γρ. ἀμφὶ τρομέω, *Br. Schol.* & MS. *Aloysii.*
821. Ἐνὶ δήμῳ) γρ. ἐν δήμῳ.
826. Ἅμ' ἕρχεται) γρ. ἄμ' ἔσπεται, *H. Steph.*

Ἦ

Ἦ ἤδη τέθνηκε, καὶ εἰν ἀΐδαο δόμοισι.
Τὴν δ' ἀπαμειβόμενον προσέφη εἰδώλον ἀμαυρὸν,
Οὐ μήν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
Ζώει ὅγ', ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.
Ὡς εἰπὸν, ταθμοῖο θύρας κληῖδα λιάθη
Εἰς πνοιὰς ἀνέμων· ἡ δ' ἐξ ὕπνῳ ἀνόρουσε
Κύδρη Ἰκαρίοιο· φίλον δέ οἱ ἦτορ ἰάνθη,
Ὡς οἱ ὀναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.
Μνηστῆρες δ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
Τηλεμάχῳ φόνον αἰπὺν ὀνὶ φρεσὶν ὁρμαίνοντες.
Ἔστι δέ τις νῆσος μέσῃ ἁλὶ πετρήεσσα,
Μεσσηγὺς Ἰθάκης τὲ Σάμοιό τε παιπαλόεσσης,
Ἀστερὶς, οὐ μεγάλη· λιμένες δ' ἔνι ναύλοχοι αὐτῇ
Ἀμφίδυμοι· τῇ τόν γε μύον λοχόωντες Ἀχαιοί.

" An jam mortuus est & in Plutonis ædibus.
Hanc respondens alloquutum est idolum obscurum,
" Non quidem tibi illum identidem inculcabo,
" Vivat ille, an mortuus est: turpe verò vana loqui.
Sic dicens, Januæ apud seram evanuit
In flatus ventorum: ipsa verò ex somno excitata est
Filia Icarii; charum autem illi pectus refloruit,
Adeò ipsi evidens somnium ingruerat noctis in conticinio.
Proci verò conscendentes navigabant humidas vias,
Telemacho cædem certam in mente meditantes.
Est verò quædam insula medio mari petricosa,
Inter Ithacámque Samúmque asperam,
Asteris, non magna: portus quidem navibus apti in ipsâ
Ab utroq; latere introitū habentes; ibi hunc expectabant insidiantes Achi.

ΣΧΟΛΙΑ.

834. Τέθνηκεν.] Ἀπέθανεν. Εἰν ἀΐδαο.] Ἐν ᾅδου.
836. Διιωκέως.] Σαφῶς, ἀκεραίως, ἕως τέλους, τὸ πᾶν.
837. Ἀνεμώλια.] Μάταια. Βάζειν.] Λέγειν.
838. Ταθμοῖο.] Τῆς παραστάδος. Κληῖδα.] Τὸν κλεῖθρον. Λιάθη.] Ἐλύθη, ἐχωρίσθη.
840. Ἰάνθη.] Εὐφράνθη.
841. Ὀναργὲς.] Φανερόν. Νυκτὸς ἀμολγῷ.] Ἐν τῇ μεσονυκτίᾳ ὥρᾳ· ἢ ἔστι καθ' ὃ τὸ ἔτυμον, ὅτι ἀμολγῷ, καθ' ἣν ὥραν συμβέβηκεν μὴ ἀμέλγεσθαι ζῶα· ἢ κατὰ ἀφαίρεσιν τοῦ γ ἀμολᾷ, καθ' ἣν ὥραν ὑδὶς μολίσκῳ, ὃ ἐστι βαδίζῳ· ἢ κατὰ ἀφαίρεσιν τοῦ λ ἀμογῷ, καθ' ἣν ὥραν ὑδὶς μογεῖ, ὅπερ ἐστὶ καταπαγῆ, ἀναπαύῃ· παῦται ὁ πᾶνθ' εἰς τὸν τῆς μεσονυκτίου ὥραν κατατρέχει.
842. Ὑγρὰ κέλευθα.] Τὸν ἁλμυρὸν θαλάσσης ὁδόν.
844. Μέσῃ ἁλί.] Ἐν μέσῃ τῇ θαλάσσῃ. Πετρήεσσα.] Πετρώδης, τραχεῖα.
846. Ἀστερὶς.] Ὄνομα νήσου κειμένης μέσον Ἰθάκης καὶ Σάμου. Ναύλοχοι.] Ἐν οἷς αἱ νῆες λοχᾶσαι καὶ ἐνεδρεύουσαι λαθεῖν δύνανται· ἢ οἱ τὰς ναῦς ὑποδεχόμενοι τόποι.
847. Ἀμφίδυμοι.] Ἀμφοτέρωθεν εἰσβάσεις, τουτέστιν ἐξ ἑκατέρου μέρους, εἴπλους καὶ καθορμιακὰς, ἔχοντες· ἢ διπλοῦς. Τῇ.] Ἐκεῖ. Λοχόωντες.] Ἐνεδρεύοντες. Ἀχαιοί.] Οἱ μνηστῆρες.

NOTÆ.

838. Ὡς εἰπὸν, ταθμοῖο) Ità audacter *Textum* ipsum emendavi, in quo hactenùs εἰπὼν obtinuit: De *Mulieris* enim εἰδώλῳ dictum, de quo bis suprà, ad v. 824. & 835. Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν. Quod si per χῆμα, τοῦτο τὸ σημαινόμενον de *Sorore*, vel de *Pallade* intelligatur (de Nemine autem alio sumi potest) tunc esset εἰποῦσα; quod minimè hic stabit; quare εἰπὸν restituendum censeo.

NOTÆ IN SCHOLIA.

838. Ἐλύθη) MS. *Aloysii*, ἐλείθη. MS. *GC.* ἐλίθη. Impressi Codd. ἐλύθη, quod pro ἐξελύθη. Ex omnibus, ἐλύθη, scribo.
846. Ἀστερὶς) *Steph.* περὶ πόλεων, v. Ἀστερία. Μεταξὺ Κεφαλληνίας καὶ Ἰθάκης &c. *Apollodorus* Portum hìc novit, suo tempore, & urbiculam, cui nomen *Alalcomena*, aut, ut *Stephanus*, Alcomenæ; ubi Templum *Minervæ*. Pertinebat autem *Asteris* ad *Ithacam*. Vid. *Strabon.* l. x. fol. 700. &c.

VARIÆ LECTIONES.

837. Εἰπὸν) γρ. εἰπὼν, in Prioribus, malè; ut in Not. ad *Textum*.

ΤΗΣ

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ε΄.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ε.

Ἐκκλησίαν τῶν θεῶν δευτέραν ποιησάμενος ὁ Ζεὺς, Ἑρμῆν πέμπει ἐπὶ Καλυψὼ, κελεύων ἀποπέμπειν τὸν Ὀδυσσέα· ὁ δὲ τὸ κελευσθὲν ποιεῖ τῇ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἰδὼν αὐτὸν ὁ Ποσειδῶν, καὶ χαλεπήνας, λύει τὸν χειμῶνα. Ἵνα δὲ αὐτῷ δίδωσι κρήδεμνον, ὑπεκλαμβάνει ἐπβάντα τῆς γῆς ἀπορρίψαι αὐτό· καὶ πολλὰ παθὼν, εἰς τὴν τῶν Φαιάκων χώραν ἔρχεται Δημοσθενείς.

Ἐπιγραφαί.

Ἀπόπλους, ἢ Ἀνάπλους, Ὀδυσσέως παρὰ Καλυψοῦς.

Ἄλλως.

Καλυψοῦς ἄντρον· Ὀδυσσέως χειμὼν, ἢ, τὸ σχεδὶ τὸν χειμῶνα.

Ἄλλως.

Ε, πλεῖ ἐπὶ χειμῶνος Ὀδυσεὺς πόντῳ κεκαδείσης. LIB. V.

Ἦως δ' ὃν λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
Οἱ δὲ θεοὶ θῶκόνδε καθίζανον, ἐν δ' ἄρα τοῖσι
Ζεὺς ὑψιβρεμέτης, ὃς τε κράτος ἐστὶ μέγιστον.
Τοῖσι δ' Ἀθηναίη λέγε κήδεα πόλλ' Ὀδυσῆος,
Μνησαμένη· μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης.
Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Μήτις ἔπι σκήπτοῦχος ἀγανὸς ἠὲ νεμέσσητος
Σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδὼς,

AUrora autem ex lecto ab generoso Tithono
Surrexerat, ut immortalibus lumen ferret, atque mortalibus:
Ipsi verò dii ad consessum consederant, inter illos præcipuè
Jupiter altitonans, cujus potentia est maxima:
Illis quidem Pallas recensebat ærumnas multas Ulyssis,
Memor *ejus*: curæ enim illi erat cùm esset in domo Nymphæ.
" Jupiter, *inquit*, pater, atque alii beati dii semper existentes,
" Nullus ampliùs benignus, mitis & mansuetus sit
" Sceptrifer rex, neque mente pia *opera* cogitans,

ΣΧΟΛΙΑ.

Τιθωνοῖο.] Τιθωνὸς, Λαομέδοντος παῖς, Πριάμου ἀδελφὸς, Ἕως ἀνὴρ. ὁ Ἐνδυμίων λέγεται συνοικῆσαι τῇ Σελήνῃ, καὶ ὁ Τιθωνὸς τῇ Ἡμέρᾳ· ἀλλ' ἠρέσθη ὁ μὲν Ἐνδυμίων, εἰς ἄνδρα κωμῆται, καὶ τῇ μὲ νυκτὶ κοιμᾶται, τῇ δὲ ἡμέρᾳ ἐδὲ ποσῶς, ἀφ' οὗ ἠχολήθη περὶ τὰ κωμῆσαι· ὁ δὲ Τιθωνὸς, εἰς ἀστρονόμην, ἐπὶ τῇ ἡμέρᾳ κοιμᾶται, τῇ δὲ νυκτὶ ἐπαγρυπνεῖ, ἀφ' οὗ ἠχολήθη περὶ τὰ ἄστρα.

3. Θῶκόνδε.] Εἰς συνέδριον.

6. Μνησαμένη.] Ὑπομνησθεῖσα. Μέλε.] Διὰ φροντίδος ἦν.

8. Ἠπιος.] Πρᾶος, ἥσυχος.

NOTÆ.

V. 1. Τιθωνοῖο) *Mythologi* volunt, Hunc Uxorem ex Oriente duxisse, & Urbem *Susa*, ad *Choaspen*, sive *Eulæum*, condidisse; quod alii filio ejusdem *Memnoni* tribuunt, ut *Pausan.* Attic. vid. *Esther.* v. 70.

Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι·
Ὡς ὔπις μέμνηται Ὀδυσῆος θείοιο
Λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ' ὡς ἤπιος ἦεν·
Ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖται κρατερὰ ἄλγεα πάσχων,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἣ μιν ἀνάγκη
Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν,
Οἰκάδε νεισόμενον· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
Ἐς Πύλον ἠγαθέην, ἠδ' ἐς Λακεδαίμονα δῖαν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς,
Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Οὐ γὰρ δὴ τόδε μᾶλλον ἐβούλευσας νόον αὐτῇ,
Ὡς ἤτοι κείνῳ Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
Τηλέμαχον δὲ σὺ πέμψον ἐπιφραδέως, δύνασαι γάρ,
Ὡς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται·
Μνηστῆρες δ' οἱ νηῒ παλιμπετὲς ἀπονέωνται.
Ἦ ῥα, καὶ Ἑρμείαν, * υἱὸν Φίλον, ἀντίον ηὔδα,
Ἑρμεία, σὺ γὰρ αὖτε τά τ' ἄλλα πέρ ἄγγελός ἐσσι,
Νύμφῃ ἐϋπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν,

"Sed ſemper durus eſto, & injuſta perpetret:
"Ita nemo memor eſt Ulyſſis divini,
"Civium, quibus præfuit, ut pater autem lenis erat.
"Sed ille quidem in inſulâ jacet graves dolores patiens,
"Nymphæ in ædibus Calypſûs, quæ ipſum neceſſitate
"Detinet; hic verò non poteſt ſuam in patriam terram venire:
"Non enim ei adſunt naves remis-inſtructæ & ſocii,
"Qui ipſum deducant ſuper lata dorſa maris.
"Nunc rurſum filium dilectiſſimum occidere cupiunt
"Domum revertentem; ille verò abiit poſt patris famam
"Ad Pylum divinam, atque ad Lacedæmona claram.
Hanc excipiens alloquutus eſt nubicoga Jupiter,
"Filia mea, quale tibi dictum excidit ſeptum dentium?
"Annon jam hoc quidem conſultâſti conſilium tu ipſa,
"Ut planè illos Ulyſſes ulciſcatur reverſus?
"Telemachum quidem tu deduc accuratè, potes enim,
"Ut illæſus ſuam in patriam terram veniat;
"Proci verò in nave retrò iter-relegant.
Dixit ſanè, & Mercurium, dilectum filium, alloquebatur,
"Mercuri, tu etenim in aliis nuncius es,
"Nymphæ pulchricomæ dicito firmum *noſtrum* decretum,

ΣΧΟΛΙΑ.

10. Αἴσυλα.] Παράνομα, καὶ ἁμαρτωλά.
15. Ἴσχει.] Κατέχει, κωλύει.
16. Πάρα.] Πάρεισιν.
19. Ἀχαιΐδ.] Φθιώτιδα.
20. Δῖαν.] Μεγάλην.
23. Οὐ γὰρ δή.] Οὐ τοῦτο; οὐ ἐρωτητικῶς ἀντὶ ἐπιτατικοῦ. Ἐβούλευσας.] Ἐβουλεύσω, ἐσκέψω.
24. Ἀποτίσεται.] Τιμωρήσεται.
25. Ἐπιφραδέως.] Ἐπιστημόνως.
26. Ἀσκηθής.] Ὑγιὴς, ἐξ ἐπιμελείας.
27. Παλιμπετές.] Ἐξ ὑποστροφῆς, εἰς τὰ ὀπίσω.
28. Ἠΰδα.] Ἔλεγεν.
30. Εἰπεῖν.] Ἀντὶ δὲ εἰπέ. Ταλασίφρονα.] Καρτερικὸν.

NOTÆ.

24. Ἀποτίσεται) Ità pro ἀποτίσεται, ut malè hactenùs in pluribus ſcript. cùm prior Naturâ ſit longa, nec σ'. duplex eſſe debeat, & ità *Florentin.* & *Roman.* & aliàs hæc Vox plus vicies, cum ſimplici σ'. ſcribitur.

27. Ἀπονέωνται) Vid. ad *Iliad.* β'. v. 113.

28. * Υἱὸν φίλον) Ità pro φίλον υἱὸν, ſcribo, quod malè hactenus obtinuit in omnibus; *Metri* cauſâ.

NOTÆ IN SCHOLIA.

V. 10. Αἴσυλα) Olim καὶ αἴσυλα ῥέζοι, ex *Textu*; cum verò redderetur nihil ad καὶ & ῥέζοι, iſtas voces rejeci, nec ſine MSto *Aloyſii.* Vid. ad *Var. Lect.*

VARIÆ LECTIONES.

V. 10. Αἴσυλα) χρ. ἀήσυλα, ut *Iliad.* ε'. v. 876. & *Heſych.* Ἀήσυλα) Παράνομα, ἁμαρτωλὰ, ὁ καθήκοντα. Vid. Not. in *Textum.*

18. Ἀποκτεῖναι) χρ. ἀπεκτάμεναι.

24. Ἀποτίσεται) χρ. ἀπτίσεται, *Lovan. H. Steph.*

27. Ἀπονέωνται) χρ. ἀπονέονται, *Seberi* Index, *Florentin. Lovan.*

28. Υἱὸν φίλον ἀντίον) χρ. φίλον υἱὸν ἀντίον. Vid. Not. in *Textum.*

Νάξου

Νόστον Ὀδυσσῆος ταλασίφρονος, ὡς κε νέηται,
Οὔτε θεῶν πομπῇ, ὅτε θνητῷ ἀνθρώπων,
Ἀλλ' ὅγ' ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
Ἡματί κ' εἰκοστῷ Σχερίῃ ἐρίβωλον ἵκοιτο,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν·
Οἵ κέν μιν θεὸν ὣς κῆρι, θεὸν ὣς, τιμήσουσιν,
Πέμψουσιν δ' ὄν νηῒ φίλῳ ἐς πατρίδα γαῖαν,
Χαλκόν τε χρυσόν τε ἄλις, ἐσθῆτά τε δόντες,
Πόλλ', ὅσ' ἀν ὐδέποτ' Ὀδυσεὺς ἐκ Τροίης ἐξήρατ' Ὀδυσσεύς,
Εἴ οἱ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ κλῆρος αἶσαν.
Ὣς γάρ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον, καὶ ἑὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργεϊφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια· τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῆς ἀνέμοιο.
Εἵλετο δ' ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
Τὴν μὲν χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης,
Πιερίην δ' ἐπιβὰς, ἐξ αἰθέρος ἔμπεσε πόντῳ.
Σεύατ' ἔπειτ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικὼς,

"Reditum Ulyſſis patientis; ut redire-queat,
"Neque deorum ductu, neque mortalium hominum,
"Sed ipſe in rate colligatâ dolores patiens
"Die viceſimâ ad Scheriam fertilem perveniat,
"Phæacum ad terram, qui propinqui diis ſunt:
"Qui ipſum animo, deum veluti, honorabunt,
"Mittentque in navi charam in patriam terram,
"Æſque aurúmque abundè, veſtémque exhibentes,
"Plurima, quanta nunquam ex Trojâ ſuſtuliſſet Ulyſſes,
"Etiamſi indemnis veniſſet, portionem ex prædâ ſortitus.
"Sic enim ei fatum eſt amicoſque videre, & pervenire
"Domum ad excelſam, & ſuam in patriam terram.
Sic ait; neque non-obedivit internuncius Mercurius:
Statim deinde pedibus ſubligavit pulchra talaria,
Immortalia, aurea, quæ ipſum ferebant ſive per mare,
Sive per immenſam terram, pariter cum flamine venti:
Cepit etiam virgam, quâ virorum oculos demulcet,
Quorumcunque vult, alioſque rurſus ſopitos excitat.
Hanc in manibus tenens delabitur fortis Mercurius,
Et Pieriam ſupergreſſus, ex æthere incidit in mare.
Feſtinabat deinde ſuper fluctus, laro avi ſimilis,

ΣΧΟΛΙΑ.

32. Οὔτε θεῶν πομπῇ.] Οὐδενὸς θεῶν παραπέμποντος. Πομπῇ.] Παρακομιδῇ.

33. Σχεδίης.] Λείπει, νεὼς τὴ αὐτοσχεδίως πηχθείσης. Πολυδέσμου.] Πολλοῖς ἐμπεπηρδύης δεσμοῖς.

34. Ἠματί.] Ἡμέρᾳ. Σχερίῃ.] Σχερία ἐκαλεῖτο ἡ νῆσος τῶν Φαιάκων· τὸ δὲ μὴ ταύτα ἐκλήθη Κερκύρα· τὸ δ' ἀρχαιότερον ἐκαλεῖτο Δρεπάνη. Ἐρίβωλον.] Μεγαλόβωλον, εὔγειον.

35. Ἀγχίθεοι.] Ἤτοι καθότι πέριτι εἰσὶν ἀπὸ Ποσειδῶνος, οἱ βασιλεῖς αὐτῶν· ἢ ὅτι εὐδαίμονές εἰσιν· ἢ καθὰ οἱ περὶ στωϊκιατρίβουσιν αὐτοῖς ἐὐαρχεῖν.

36. Περὶ κῆρι.] Περισσῶς, ἐκ λίαν τῇ ψυχῇ, ἐκθύμως.

38. Ἄλις.] Ἱκανῶς, αὐτάρκως.

39. Τροίης ἐξήρατο.] Διαιρετέον. τὸ ἦ ἐξῆς, Τροίης ἀπὸ κλῆρος, ἀπὸ τῆ Τρωϊκῆς λείας. Ἐξήρατο.] Ἐξαίρετα ἔλαβεν.

40. Λαχὼν.] Κληρωσάμενος.

41. Μοῖρα.] Εἱμαρμένη.

43. Διάκτορος.] Ἀγγελος, σαφὴς, ὁ ἀγάγων τὰς ἀγγελίας.

47. Εἵλετο δ' ῥάβδον.] Λόγος ὀρθότητα νοητίου, τὴν δὲ Ἑρμοῦ ῥάβδον· ὥστε ψυχὰς μὲ πεφαγμένας παύειν, ἐκλελυμένας δὲ διεγείρειν. Θέλγει.] Ἀμαυροῖ· νῦν δὲ, κοιμίζει.

48. Ὑπνώοντας ἐγείρει.] Κοιμωμένους, καθυδοντας.

50. Πιερίην.] Πιερία, ὄρος Μακεδονίας, ἱερὸν μουσῶν. Ἔμπεσεν.] Ἀθρόως κατῆλθεν.

51. Λάρῳ ὄρνιθι ἐοικώς.] Τῷ ὁρμῷ, ἢ τὸ σῶμα· λάρος δὲ, ὄρνεον θαλάσσιον.

NOTÆ.

34. Σχερίῃ) Præter *Br. Schol.* vid. *Conon.* §. III.

38. Ἄλις, *Ultimam* producit, in *Cæſurâ*, vi *Finalis* &c.

NOTÆ IN SCHOLIA.

33. Πολυδέσμου) MS. GC. pro δεσμοῖς, legit ῥόμφοις.

39. Ἐξήρατο) γρ. ἐξ ἤρατο. *Br. Schol.*

45. Φέρον) γρ. φέρει.

47. Λόγος * ὀρθότητα) Ità pro λόγος ἀθροότητα reſtituo.

Ὅτε χ᾽ δεινὸς κόλπος ἁλὸς ἀτρυγέτοιο
Ἰχθῦς ἀργεώντων, πυκινὰ πέρᾳ δεύεσ᾽ ἄλμῃ·
Τῷ ἴκελος πολέεσσιν ὀχήσασιν κύμασιν Ἑρμῆς.
Ἀλλ᾽ ὅτε δὴ τὸν νῆσον ἀφίκετο τηλόθ᾽ ἐοῦσαν,
Ἔνθ᾽ ἐκ πόντου βὰς ἰοειδέος, ἤπειρόνδε
Ἤιεν· ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι νύμφη
Ναῖεν ἐϋπλόκαμος· τὴν δ᾽ ἔνδοθι τέτμεν ἐοῦσαν.
Πῦρ μὲν ἐπ᾽ ἐσχαρόφιν μέγα καίετο, τηλόθι δ᾽ ὀδμὴ
Κέδρου τ᾽ εὐκεάτοιο, θύου τ᾽ ἀνὰ νῆσον ὀδώδει,
Δαιομένων· ἡ δ᾽ ἔνδον ἀοιδιάουσ᾽ ὀπὶ καλῇ,
Ἰσὸν ἐποιχομένη, χρυσείῃ κερκίδ᾽ ὕφαινεν.
Ὕλη δὲ σπέος ἀμφὶ πεφύκει τηλεθόωσα,
Κλήθρη τ᾽, αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος.
Ἔνθάδε τ᾽ ὄρνιθες τανυσίπτεροι ἐυάζοντο,
Σκῶπές τ᾽, ἴρηκές τε, τανύγλωσσοί τε κορῶναι
Εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν.

Quæ circum magnos sinus maris indomiti
Pisces venans, densas alas mergit salsugine:
Huic similis plurimos superinvectus est fluctus Mercurius.
Sed quando jam insulam perveniſſet procul jacentem,
Tum ex ponto conscendens cæruleo, ad continentem
Ibat, donec ingentem ſpecum pervenit, in quo Nympha
Habitabat pulchricoma: hanc verò intùs invenit.
Ignis quidem ad focum ingens ardebat, procul item odor
Cedrique fiſſilis, thuriſque per inſulam redolebat,
Ardentium: ipſa verò intùs cantillans voce pulchrâ,
Telam percurrens, aureo radio texebat.
Sylva autem ſpecum circumcreverat vireſcens,
Alnúſque & populúſque, & bene-odorata cypreſſus:
Ibi etiam aves extenſas-alas-habentes nidulabantur,
Aſiones, accipitréſque, latáſque-linguas-habentes cornices
Marinæ, quibus utique marina opera curæ erant.

ΣΧΟΛΙΑ.

52. Κόλπος ἁλός.] Τὰ περιλάμβοντα τὴν θαλάσσης.
53. Ἀργεώντων.] Θηρεύων, ἀγρευόντων. Πυκινά.] Πυκνῶς, συνεχῶς. Δεύεται.] Βρέχεται.
54. Ὀχήσασι.] Ἐπιχήσασι, ἐπίδοσιμον.
56. Βάς.] Ἐκβὰς, ἐξελθών. Ἰοειδέος.] Μέλανος. Ἠπειρόνδε.] Εἰς τὴν γῆν.
57. Τῷ ἔνι.] Ἐν ᾧ.
58. Ναῖεν.] Οἰκεῖ. Εὐπλόκαμος.] Καλὰς πλοκαμους ἔχουσα. Τέτμεν.] Κατέλαβεν.
59. Ἐπ᾽ ἐσχαρόφιν.] Ἐπὶ τὴν ἑστίαν, ἢ ἐπὶ τὸ ἐσχάρας. Τηλόθι.] Ἄλλοι, Τηλόθι. Πόρρω.
60. Κέδρου.] Εἴδος ὑλοτομου. Εὐκεάτοιο.] Εὐκαλλιεσκευάστου, εὐκλαύστου, *εὐχίστου. Θύου.] Εἴδος ὑλοτομου, ἢ φυτοῦ. Ἀνὰ νῆσον.] Καθὰ τὴν νῆσον. Ὀδώδει.] Ἔπνεεν, ἀνεδίδοτο, ὄζεν.
61. Δαιομένων.] Καιομένων. Ἀοιδιάουσα.] Ἀείδουσα.
62. Ἐποιχομένη.] Ἐπιπορευομένη.
63. Σπέος ἀμφί.] Περὶ τὸ σπήλαιον. Πεφύκει.] Ἐπιφύτευτο, ὧν. Τηλεθόωσα.] Ἄγαν θαλλουσα.
64. Κλήθρη τ᾽ αἴγειρός τε.] Εἴδη ὑλοτόμων.
65. Τανυσίπτεροι.] Οἱ ἐν τῇ πτήσει τεινοντες τὰ πτερά.
66. Σκῶπες.] Ὄρνεα νυκτόμορα, *κακόφωνα· σκεπῶπες ἂν τινες. Ἴρηκες.] Ἱέρακες. Τανύγλωσσοι.] Πλατύγλωσσοι.
67. Εἰνάλιαι.] Θαλάσσιαι. Τῇσιν.] Αἷς πουν. Θαλάσσια ἔργα.] Αἱ ἐν τῇ θαλάσσῃ ἁλίσκεσθαι.

NOTÆ.

52. Ὅτε καὶ δεινὸς) *Ultima* Ε *καὶ* producitur, in *Cæsurâ*, vi *Toni* &c.
60. Κέδρου τ᾽ εὐκεάτοιο, θύου τ᾽) De *Cedro*, vid. *Calii Auguſtini Curionis* Hieroglyph. fol. 441. Θύον *Macrobius* exponit per *Citreum* malum, *Saturnal.* l. 2. c. 15. unde εἴμαξα, ab *Homero*, θυώδια dici. ut infrà, v. 264. *viz.* à θύον *Citreum*, quod Veſtibus interjectum Tineas necat, ut *Oppius* ibid.

NOTÆ IN SCHOLIA.

60. *Εὐχίσῃ, pro εὐχισίῃ, reſtituo.
63. Σπέος ἀμφὶ) Περὶ τὸ σπήλαιον. Ità pro σπέος) σπεῖ &c. *Ibid.* Ἐπιφύτευτο, ità pro πεφύτευτο.
66. Κακόνομα, quod olim poſt, *νυκτόμορα obtinuit, deleo; ut MS. *GC.* νυκτερινὰ MS. *Aloyſii.*

VARIÆ LECTIONES.

55. Τηλόθ᾽) *χρ.* τηλόσ᾽, vid. infrà, ad v. 59.
59. Τηλόθι) *χρ.* τηλόσε, *Florentin. Louan. H. Steph. Br. Schol.* & MS. *GC.*
60. Θύου) *χρ.* θείου, *Florentin.* Edit. & *Louan.*
63. Ἀμφὶ πεφύκει) *χρ.* ἀμφιπεφύκει, *Florentin. Louan.* &c. *Br. Schol.* melius disjunctim.
66. Σκῶπες) *χρ.* Κῶπες, *Ariſtotel.* apud *Ælian.* Hiſt. Animal. l. 15. c. 8. *Ibid.* Ἴρηκες) *χρ.* ἴρηκες.

Hd

Ἡ δ' αὐτῆ τετάνυστο περὶ σπείους γλαφυροῖο,
Ἡμερὶς ἠβώωσα, τεθηλυῖ δ' ἀναφυλλῆσι·
Κρῆναι δ' ἐξείης πίσυρες ῥέον ὕδατι λευκῷ,
Πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη·
Ἀμφὶ δ' ἰοειδέες μαλακοὶ ἴα, ἠδὲ σέλινα,
Θήλεον· ἔνθα κ' ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
Θηήσαιτο ἰδὼν, καὶ τερφθείη φρεσὶν ἧσιν·
Ἔνθα γὰρ θηεῖτο ἄναξ ἀργειφόντης.
Αὐτὰρ ἐπειδὴ πάντα ἐῷ θηήσατο θυμῷ,
Αὐτίκ' ἄρ' εἰς εὐρὺ σπέος ἤλυθεν· οὐδέ μιν ἄντην
Ἠγνοίησεν ἰδυῖα Καλυψὼ, δῖα θεάων·
Οὐ γάρ τ' ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται
Ἀθάνατοι, οὐδ' εἴπερ ἀπόρσω δώματα ναίῃ.
Οὐδ' ἄρ' Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτλμυ,
Ἀλλ' ὅγ' ἐπ' ἀκτῆς κλαῖε καθήμενος· ἔνθα πάρος περ
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείβων.

Ibi extensa erat circùm speluncam cavam
Vitis pubescens, florebátque uvis:
Quatuor verò serie fontes fluebant aquâ lympidâ,
Vicini inter se versi aliò alius.
Circùm verò mollia prata violarum, atque apii
Virescebant: eò utique etiam immortalis accedens
Demiratus fuerit tuens & oblectatus suo in animo.
Ibi igitur *aliquantùm* stans mirabatur internuncius Mercurius.
Cæterùm postquam omnia suo contemplatus est animo,
Statim in latam speluncam perrexit, neque ipsum contrà
Ignoravit conspicata Calypso, diva dearum:
Non enim ignoti utique dii invicem sunt
Immortales; neque siquis longè procul domos habitet.
Neque tamen Ulyssem magnanimum intùs deprehendit,
Sed ipse ad littus flebat sedens; ubi antea etiam
Lachrymis & gemitibus & doloribus animum macerans,
Pontum in irrequietum prospiciebat, lachrymas stillans.

ΣΧΟΛΙΑ.

68. Τετάνυστο.] Ἐξετέταδ. Περὶ σπείους.] Περὶ δ' σπηλαίῳ. Γλαφυροῖο.] Τῷ κοίλῳ.

69. Ἡμερὶς ἠβώωσα.] Ἀμπλῶ, εἰς ἀφθαλμὸν τὰ ὠγρίας, ἀκμάζουσα. Τεθηλυῖ.] Ἐθαλλεν.

70. Πίσυρες.] Τέσσαρες.

71. Τετραμμέναι.] Ἀπεστραμμέναι. Ἄλλυδις ἄλλη.] Ἄλλῃ, ἀλλαχῇ. τὸ ἄλλη εὐθεῖα ἐστιν, ὄθεν ἄνωθ δ' ι γραπτέον.

72. Λειμῶνες μαλακοί.] Κακῶς τινες θηλύσπασαν, ἵν' ᾖ, μαλακοὶ, ἁπαλοί. ἀλλαχῇ γὰρ λέγει ὑόρηλοι μαλακοί. Ἴα.] Ἴον, εἴδος ἄνθους.

ΝΟΤΑΕ.

72. Λειμῶνες μαλακοὶ ἴα ἠδὲ σέλινα) *Athenæ.* l. 2. fol 61. Σία, Σπεύσιππος δὲ δευτέρα ὁμοίων φησὶν, ὃ ὑδατι γίνεται, σελίνῳ ἐλείῳ τὸ φύλλον ἐοικός· διὸ καὶ Πτολεμαῖος, ὁ δεύτερος, Εὐεργέτης, Αἰγύπτιε βασιλεύσας, παρ' Ὁμήρῳ ἀξιοῖ γεγράφειν, Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ σίᾳ, ἠδὲ σελίνῳ· Σία γὰρ, μὴ σελίνῳ φύεται, ἀλλὰ μὴν ἴα. Idem ferè *Eustath.* in locum.

NOTÆ IN SCHOLIA.

71. Εὐθεῖά ἐστιν) Ità lego, pro ἐπίρρημα, ex MSS. & *Eustathio*. Miror autem ἐπίρρημα hic admissum, cum εὐθεῖα, MS. *GC.* εὐθέως, MS. *Aloysii* habeat.

VARIÆ LECTIONES.

68. Ἡ δ') γρ. ἠδ', *Florent. Lovan.* &c. At *Roman. Hervag. Stephan. Castellion.* ἠδ'. *Ibid.* Σπείους) γρ. σπείους, & σπείλους, pro σπείους, *Plutarch.* fortè σπέους.

72. Ἴα) γρ. σία, *Eustath.* nec tamen *H. Stephan.*

79. Οὐ γάρ τ' ἀγνῶτες θεοὶ) *Florentina, Lovaniana, Stephaniana, Castellionea, Elzeviriana,* &c. ἀγνῶτές γε θεοὶ legunt, non sine Versûs jacturâ, ex redundanti Syllabâ; nec dicendum τὸ θεοὶ pati hic συνίζησιν, *Romana* enim Editio, cum *Eustathio*, τὸ γὲ nesciunt; quare omittendum duco.

NOTÆ IN SCHOLIA.

Infrà certè, v. 369. ἄλλῃ, ἐπίρρημά ἐστι, καὶ μὴ δ' ἰῶτα γραπτέον.

VARIÆ LECTIONES.

Vid. Not. in *Textum.*

79. Ἀγνῶτες θεοὶ) γρ. ἀγνῶτές γε θεοὶ, Vid. Not. in *Textum.*

82. Πάρος περ) γρ. πάρος γε, *H. Steph.*

Ἑρμείαν

Ἑρμείαν δ' ἐρέεινε Καλυψὼ, δῖα θεάων,
Ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι,
Τίπτε μοὶ, Ἑρμεία χρυσόῤῥαπι, ἐλήλυθας,
Αἰδοῖός τε φίλος τέ; πάρος γέ μὴν οὔπω ἔμιζες.
* Αὔδα, ὅ, τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν·
Ἀλλ' ἕπεο πρόσσω, ἵνα τοι πάρ ξείνια θείω.
Ὡς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν,
Ἀμβροσίης πλήσασα· κέρασσε δὲ νέκταρ ἐρυθρόν·
Αὐτὰρ ὁ πῖνε καὶ ἦσθε διάκτορος Ἀργειφόντης.
Αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤρασε θυμὸν ἐδωδῇ,
Καὶ τότε δὴ μιν ἔπεσιν ἀμειβόμενος προσέειπεν,
Εἰρωτᾷς μ' ἐλθόντα, θεὰ, θεόν; αὐτὰρ ἐγώ τοι
Νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
* Ζεὺς μὺ ἔμ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα·
Τίς δ' ἂν ἑκὼν τοσόνδε ἁλὸς διὰ ἅλμυρὸν ὕδωρ,
Ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵτε θεοῖσιν
Ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας.
Ἀλλὰ μάλ' οὔπως ἐστὶ Διὸς νόον Αἰγιόχοιο

Mercurium autem interrogabat Calypso, diva dearum,
Cùm eum in throno collocâsset splendido, admirando,
" Cur ad me, Mercuri aureâ-virgâ, venisti,
" Venerandus & charus? ante quidem neutiquam frequentabas:
" Loquere, quodcunque cupis, perficere autem me animus jubet;
" Si possum perficere, & si perficiendum est.
" Verùm sequere ulteriùs, ut tibi hospitalia apponam.
Sic certè loquuta dea apposuit mensam,
Ambrosiâ repletam, miscuitque nectar rubrum:
Cæterùm ipse bibebat & comedebat internuncius Mercurius.
Porrò postquam cœnatus est & refecit animum cibo,
Tum ipsam verbis excipiens alloquutus est,
" Interrogas me venientem dea deum? cæterùm ego tibi
" Verè sermonem enarrabo; jubes enim.
" Jupiter quidem me jussit huc ire invitum:
" Quis enim volens tantum percurreret salsam aquam,
" Immensam? neque ulla propè mortalium urbs, quique diis
" Sacra faciant & legitimas Hecatombas.
" Verùm nullo modo fas est Jovis mentem Ægiochi

Σ Χ Ο Λ Ι Α.

85. Ἑρέεινεν.] Ἠρώτα.
86. Ἱδρύσασα.] Καθίσασα. Σιγαλόεντι.] Ποικίλῳ.
87. Χρυσόῤῥαπι.] Χρυσῆν ῥάβδον * ἔχων.
88. Αἰδοῖος.] Αἰδοῦς ἄξιος, τίμιος. Θαμίζειν.] * Συνεχῶς ἐπιφοιτᾶν, & ἔρχεσθαι.
89. Ἄνωγε.] Ἐκέλευεν.
90. Εἰ πεπλεσμένον ἐστίν.] Εἰ φύσιν ἔχει τοῦ δύνασθαι πλεωθῆναι, ἢ δυνατόν ἐστι γενέσθαι.
93. Ἀμβροσίης.] Τῇ τῶν θεῶν βρώσει. Πλήσασα.] Πληρώσασα. Κέρασσε δὲ νέκταρ.] Νῦν συνέχειν ἀπὸ τῆς ἀρχαίας συνηθείας· εἰς χέρας γὰρ ἐξέχυνε τὸν οἶνον.
94. Ἧσθεν.] Ἤσθιεν.
95. Ἤρασεν.] Ἀρεσθῶσαν ἐποίησεν, τουτέστιν ἥρμοσεν.
98. Νημερτέως.] Ἀληθῶς. Ἐνισπήσω.] Εἴπω, λέξω.
99. Οὐκ ἐθέλοντα.] Ἐκ τούτου ἐμφαίνεται ἀκουσίως ἀφῖχθαι.
101. Ἄσπετον.] Πολύ.
102. Ἐξαίτους.] Ἐξαιρέτους.

N O T Æ.

89. * Αὔδα.) In omnibus olim Editt. quas vidi, αὖδα, in hoc tantùm loco; de quâ re multùm questi sunt Docti Viri, datis ad me Literis. Verùm cùm hæc vox contrahatur, ab αὔδαε & in aliis locis rectè scribatur, ut scribi debet, αὔδα, in omnibus iisdem Editt. in ipso etiam *Eustathio*, ad hunc locum, fol. 1525. lin. 22. & MS. etiam αὔδα aperte præ se ferat, nemo de verâ scriptione dubitare debet. Aliud prorsùs dicendum, de ἔπα, pro ἔπαε, & ἔπα, pro ἔπασε, per *Apocopen*; undè & errorem in hâc voce ortum puto.

99. * Ζεὺς μὺ ἔμ' ἠνώγει.) Olim in pluribus, Ζεὺς ἔμ' ἠνώγει, *Castellio* solus ἐμὲ totum protulit, at nihil ille de *Hiatu*, & *Emphasi* cogitavit, quorum τὸ μὺ huic satisfacit, illi occurrit.

NOTÆ IN SCHOLIA.

87. * Ἔχων, pro ἔχοντα scribo, ex *Aloysii* MS.

88. * Συνεχῶς, pro συνεχῶς, substituo, ex MS. eodem.

Variæ Lectiones.

88. Θαμίζειν) χρ. θαμίζες, ex Conjecturâ.
89. Αὔδα) χρ. αὖδα, vid. Not. in *Textum*.
98. Νημερτέως) χρ. νημερτὲς, *Adverbialiter*.
99. Ζεὺς μὺ ἔμ' ἠνώγει) χρ. Ζεὺς ἐμὲ ἠνώγει, *Castellio*. Malè olim in aliis omnibus, Ζεὺς ἔμ' ἠνώγει. Vid. Not. ad *Textum*.

Οὔτε

Οὔτε παρεξ ἐλθεῖν ἄλλον θεὸν, ὕβριν ἀλιῶσαι.
Φησί τοι ἄνδρα παρεῖναι ὀϊζυροώτατον ἄλλων
Τῶν ἀνθρώπων, οἳ ἄστυ περὶ Πριάμοιο μάχοντο
Ἐννάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
Οἴκαδ'· ἀταρ σὺν νόστῳ Ἀθηναίῃ ἀλίτοντο,
Ἥ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τόνδε δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσεν.
Τὸν νῦν σ' ἠνώγει ἀποπεμπέμεν, ὄφρα τάχιστα·
Οὐ γάρ οἱ τῆνδ' αἶσα φίλων ἄπο νόσφιν ὀλέσθαι,
Ἀλλ' ἔτι οἱ μοῖρ' ἔστι φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον καὶ ἐὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· ῥίγησεν δὲ Καλυψὼ, δῖα θεάων,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Σχέτλοι ἐστὲ, θεοὶ, ζηλήμονες ἔξοχον ἄλλων,
Οἵτε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι
Ἀμφαδίην, ἤ τίς τε φίλον ποιήσεται ἀκοίτην.
Ὡς μὲν ὅτ' Ὠρίωνα ἕλετο ῥοδοδάκτυλος Ἠώς,
Τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες,
Ἕως μιν σὺν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν·

"Neque prætergredi alium deum, neque irritam facere,
" Ait tibi virum adesse ærumnosissimum aliorum
" Virorum, qui circa urbem Priami pugnârunt
" Novennio; decimo verò urbem depopulati conscenderunt *navem*
" Versus domum: cæterùm in reditu Palladem offenderunt,
" Quæ ipsis excitavit ventumque malum & fluctus ingentes.
" Ibi alii quidem omnes periêrunt boni socii,
" Hunc utique huc ventúsque ferens & fluctus appulit.
" Quem nunc te jubet dimittere quàm celerrimè;
" Non enim ei hîc fatum est ab amicis seorsim perire,
" Sed adhuc illi fatum est amicósque videre & pervenire
" Ad domum excelsam, & suam in patriam terram.
Sic ait: exhorruit verò Calypso, diva dearum,
Et ipsum compellans voce verba alata dixit,
" Improbi estis, dii, invidi præ aliis,
" Quique deabus invidetis, ut cum viris dormiant
" Palàm, si aliqua charum adepta fuerit maritum.
" Sic quidem cùm Orionem cepit roseis-digitis Aurora,
" Tamdiù illi invidistis dii facilitèr viventes,
" Donec ipsum in Ortygiâ aureâ-sellâ Diana casta
" Suis mitibus-sagittis aggrediens occidit:

ΣΧΟΛΙΑ.

104. Οὔτε παρεξ ἐλθεῖν, ὕβριν ἀλιῶσαι.] Οὔτε μάτειον ἡγήσασθαι, ὅτι παρελθεῖν ἢ ἀπειθῆσαι.

105. Ὀϊζυροώτατον.] Καταπεπονημένον, πεπαλαικότα.

106. Τῶν.] Ἐκείνων.

107. Πέρσαντες.] Πορθήσαντες. Ἔβησαν.] Ἐπορεύθησαν, ἐπέπλευσαν.

108. Ἀλίτοντο.] Ἥμαρτον.

109. Ἐπῶρσεν.] Ἐπήγαγε.

110. Ἀπέφθιθον.] Ἐφθάρησαν.

NOTÆ.

108. Οἴκαδ'· ἀταρ σὺν νόστῳ) *Ultima* ῳ ἀταρ producitur, in *Cæsura*, vi *Toni* & *Finalis*, ut mox, v. 113. etiam extrà *Cæsuram*.

113. Οὐ γάρ οἱ) Vid. infra, ad v. 143.

120. Ἥμις τὸ φίλον) In *Elzevir.* τὸ τὸ excideràt, quod ex *Florentinâ*, *Lovaniânâ*, *Stephan.* etiam ex *Hervagianâ* restituo; quæ postrema, ἤν τις τὸ habet.

122. Τόφρα οἱ ἠγάασθε) *Antepenultima* ῳ ἠγάασθε producitur, vi *Toni* & *Hiatûs*. An ἠγάσασθε, ut *Iliad.* γ'. v. 181.

VARIÆ LECTIONES.

104. Παρεξ ἐλθεῖν) γρ. παρεξελθεῖν. *H. Steph.* ex Vett.

106. Περὶ) γρ. πέρι.

118. Ζηλήμονες) γρ. δηλήμονες. *Br. Schol.* & *H. Steph.* Vid. ad *Iliad.* ω'. v. 33.

120. Ἥ τις τὸ) γρ. ἤν τις τε, *Florent. Lovan. Hervag. H. Steph.* τὸ τὸ *Elzevir.* excideràt.

122. Ἠγάασθε) γρ. ἠγάσασθε, vid. Not. in *Textum*.

Ὡς

Ὡς δ' ὁπότ' Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ,
Ὧι θυμῶι εἴξασα, μίγη φιλότητι καὶ εὐνῇ,
Νειῷ ἔνι τριπόλῳ· ὐδὲ δηὶν ἦεν ἄπυστος
Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.
Ὡς δ' αὖ νῦν μοι ἄγαθε, θεοί, βροτὸν ἄνδρα παρεῖναι.
Τὸν μὴν ἐγὼν ἐσάωσα· θοὴ τρόπις βεβαῶτα
Οἷον· ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ
Ζεὺς ἔλασας ἐκέασε μέσῳ σὺν οἴνοπι πόντῳ·
Ἔνθ' ἄλλοι μὴν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
Τόνδ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
Τὸν μὴν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
Ἀλλ' ἐπεὶ ὔπως ἐστὶ Διὸς νόον Αἰγιόχοιο
Οὔτε παρεξ ἐλθεῖν ἄλλον θεὸν, ὐδ' ἀλιτέσθαι,
Ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ,
Πόντον ἐπ' ἀτρύγετον· πέμψω δέ μιν ὔπτιον ἔγωγε.
Οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.

" Sic etiam quandò *Jasio* pulchricoma Ceres
" Suo animo cedens, commixta est in amicitiâ & lectulo,
" Novali in tertiato; neque tum diu fuit ignarus
" Jupiter, qui ipsum occidit feriens candenti fulmine.
" Sic rursus nunc mihi invidetis, dii, mortalem virum adesse.
" Illum quidem ego servavi à carinâ susceptum
" Solum, posteaquam illi navem celerem coruisco fulmine
" Jupiter jaculando diffidit medio in nigro ponto.
" Tùm alii quidem omnes perierunt eximii socii,
" Hunc utique huc ventúsque ferens & fluctus adegit:
" Hunc ego amavi & enutrivi, atque promiseram
" Facere immortalem, & absque senio diebus omnibus.
" Verùm quandoquidem nullo pacto fas est Jovis mentem Ægiochi
" Neque prætergredi alium deum, neque irritam facere,
" Eat-perieturus, si illum ipse excitat & jubet,
" Pontum per irrequietum: dimisero verò ipsum nusquàm ego;
" Non enim mihi præstò sunt naves remis-instructæ & socii,
" Qui ipsum deducant per lata dorsa maris.

ΣΧΟΛΙΑ.

125. Ὡς δ' ὁπότ' Ἰασίωνι.] Τέτυκ καὶ Δήμητερ ὁ Πλάτων· ἦν ὁ Κρὴς ὁ Ἰασίων. Ἑλλάνικος ὁ Ἡλέκτρας, ἐκ Διὸς αὐτὸν γηγενελογεῖ. ἔνιοι δ φασὶ γεωργικώτερον ὄντα δέξαν ἔχειν, ὅτι τῇ Δήμητρι συνῴκησε. τινὲς δ φασὶ μὴ τὸ ἐπικλυσμὸν παρὰ μόνῳ *Ἰασίωνι ἀπόρρητα τυχεῖν ἐυρεθῆναι ἐν Κρήτῃ, ὅθεν Δαρδανὸν φήμωι, ὅτι ἡ Δημήτηρ αὐτῷ συνῴκησε καὶ ἐγέννησε Πλοῦτον.

126. Ὧι θυμῶι εἴξασα.] Ἐπιθυμήσασα.

127. Νειῷ.] Νεοσπαρθέντι γῇ. ἠροτριωμένῃ. Τριπόλῳ.] Τρίτον ἱσταμένῃ. Ἄπυστος.] Ἀνήκοος.

130. Ἐσάωσα.] Ἔσωσα. Περὶ τρόπιος βεβαῶτα.] Περιεστηκότα τῇ τρόπιν.

132. Ἐλάσας.] Ἔνιοι, Ἔλασας, πλήξας, κεραυνώσας. Ἐκέασεν.] Ἔκαυσε, διέχισεν.

136. Ἀγήραον.] Μὴ γηρῶντα.

139. Ἐρρέτω.] Ἀμφίβολον, πότερον εἰς Δία, ἢ εἰς Ὀδυσσῆ. Ἐποτρύνῃ.] Παροτρύνῃ.

140. Οὔπτιον.] Οὐδαμοῦ.

141. Πάρα.] Πάρεισιν.

NOTÆ.

125. Ὡς δ' ὁπότ' Ἰασίωνι) *Jasius*, vel *Jasion*, ex *Jove* & *Electrâ Atlantide* natus, *Cereris Amasius*, ex eâ *Plutum* genuit, ut *Hesiod.* Theogon. v. 969. Vid. *Diodor. Sicul.* l. 6. Sæpe apud Authores hujus nomen per errorem Ἰάσων scribitur, pro Ἰασίων, ut in his *Scholiis* olim semel, *Apollonii* Schol. in *Conon.* §. 21. *Plauto*, in Pseudol. fol. 784. &c. Vid. *Eustath.* fol. 1528. lin. 6. ubi Ἡμίρας etiam pro Ἡλέκτρας, per errorem, & *Apollodor.* Bibliothec. l. 3. c. 12.

127. Οὐδὲ δηὶν ἦεν) *Ultima* Ε ἐδὲ producitur, in *Cæsurâ*, vi *Toni*, & Ε δ'. ἐπιζευκτ.

139. Ἐρρέτω) De *Ulysse* omninò dictum censeo, quicquid *Br. Schol.* quæ de *Jove* ipso etiam accipi posse dicunt, quomodo *Cicero*, l. 1. De Naturâ Deorum, *Si Deus talis est, ut nullâ gratiâ, nullâ hominum caritate teneatur, valeat.*

NOTÆ IN SCHOLIA.

125. *Ἰάσωνι, corrigo & lego Ἰασίωνι, ut Not. in *Textum*.

VARIÆ LECTIONES.

129. Ἄγαθε) γρ. ἀγᾶθε.

132. Ἔλσας) γρ. ἐλάσας, *Florentin. Louan. Br. Schol. H. Steph.* MS. GC. ἔλσας *Romana*, ποιητικώτερον.

138. Παρεξ ἐλθεῖν) γρ. παρεξελθεῖν, vid. suprà, ad v. 104.

Αὐτάρ

Αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, ὐδ' ὀπίσσω,
Ὡς κε μάλ' ἀσκηθὴς ἰὼν πατρίδα γαῖαν ἵκῃ.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Οὕτω νῦν ἀπόπεμπε, Διὸς δ' ἐποπίζεο μῆνιν,
Μήπως τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ.
Ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς Ἀργειφόντης.
Ἣδ' ἐπ' Ὀγυγίην μεγαλήτορα πότνια νύμφη
Ἤϊε, ἐπειδὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
Τόνδ' ἄρ' ἐπ' ἀκτῆς εὗρε καθήμενον· οὐδέ ποθ' ὅσται
Δακρυόφιν τέρσοντο· καλεύετο δ' ἦμαρ ἄκηδες
Νόστον ὀδυρομένῳ, ἐπεὶ οὐκέτι οἱ πάρος ἦνδανε νύμφη.
Ἀλλ' ἤτοι νύκτας μὲν ἀνάγκῃ ἠδὲ καὶ ἠοῖ
Ἐν σπέεσι γλαφυροῖσι παρ' οὐκ ἐθέλων ἐθελούσῃ
Ἤματα δ' ἐν πέτρῃσι καὶ ἠϊόνεσσι καθίζων,
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων,
Πόντον ἐπ' ἀτρύγετον δερκέσκετο, δάκρυα λείβων.
Ἀγχοῦ δ' ἱσταμένη προσεφώνεε δῖα θεάων,
Κάμμορε, μή μοι ἔτ' ὧδε ὀδύρεο, μηδέ τοι αἰὼν
Φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
Ἀλλ' ἄγε, δοῦρα μακρὰ ταμὼν, ἁρμόζεο χαλκῷ
Εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῇ

Cæterùm ei lubens consulam, neque celabo,
Quomodò omninò incolumis suam in patriam perveniat.
Hanc statim alloquutus est internuncius Mercurius,
Sic nunc dimitte, Jovisque evita iram,
Nè fortassis tibi in posterum iratus succenseat.
Sic certè loquutus avolavit fortis Mercurius:
Ipsa autem ad Ulyssem magnanimum veneranda Nympha
Ibat, postquam Jovis accepisset mandata.
Hunc utique in littore invenit sedentem; neque unquam oculi
A lachrymis siccabantur, consumebatur verò dulcis ætas
Ob reditum lugenti, quoniam nondum *reditus* placuerat Nymphæ.
Sed certè nocte quidem dormiebat etiam coactus
In speluncâ cavâ, nolens apud volentem.
Die verò in petris & littoribus sedens,
Lachrymis & gemitibus & doloribus animum macerans,
Pontum in indomitum prospiciebat, lachrymas stillans.
Prope igitur astans alloquuta est diva dearum,
Infelix, nè amplius mihi hìc lugeas, neque tibi ætas
Consumatur; jam enim te valdè prompta dimittam.
Verùm age lignis longis abscissis apta ferro
Latam ratem: cæterùm tabulata fige super eam

ΣΧΟΛΙΑ.

143. Πρόφρων.] Πρόθυμος, ἢ προθύμως. Ὑποθήσομαι.] Συμβουλεύσω.
146. Ἐποπίζεο.] Ἐπιτρίφω, φροντίζε.
147. Χαλεπήνῃ.] Ὀργισθείη.
152. Τέρσοντο.] Ἐξηραίνοντο. Κατείβετο.] Ἐν δάκρυσιν ἦν αὐτῇ ὁ ἑαυτῆς βίος, καὶ καπετήκετο.
153. Νόστον.] Τὴν οἰκάδε ἐπάνοδον. Ἐπεὶ οὐκέτι ἥνδανε.] Κατ' ἐκεῖνο ἤρεσκεν ἀποπέμπειν ἐπ' αὐτόν· ἢ τὸ μὲν πρῶτον, ὡς σώσασαν ἔστρξεν· τὸ δὲ μετὰ ταῦτα, οὐκέτι.
154. Ἰαύεσκεν.] Διενυκτέρευεν, ἢ συνῆμᾶτο.

NOTÆ.

143. Αὐτάρ οἱ πρόφρων) *Ultima* ἑ αὐτὰρ producitur, vi *Finalis, Tonique* lui, & ante *Aspernm*, ut v. 113.
153. Ἐπεὶ οὐκ ἔτ' ἥνδανε νύμφῃ) Δηλονότι, νόστος Ὀδυσσέως· εἰ δὲ νύμφη ἐπ' αὐθεΐας, οὐκ ἔτ' ἤρεσεν Ὀδυσσεῖ.

NOTÆ IN SCHOLIA.

153. Σώσασαν ἔστρξε· τὸ δὲ) Ità scribo, pro σώσας ἀνέστρξεν· τὸ δὲ &c. MSS. non distinguunt.

VARIÆ LECTIONES.

153. Νύμφῃ) γρ. νύμφη, *H. Steph.* & *Er. Schol.*

158. Διερκέσκετο.] Ἔβλεπεν.
160. Κάμμορε.] Ἦτοι κακόμοιρε, καὶ παλαιόπορε. Αἰών.] Ὁ βίος τοῦ ἀνθρώπου, τουτέστιν ὁ τῆς ζωῆς χρόνος.
161. Φθινέτω.] Φθειρέσθω.
162. Δούρατα.] Ναῦν, ξύλα. Ταμών.] Κόψας.
163. Σχεδίην.] Τὴν οἰκαίως καθασκευασθεῖσαν ναῦν λέγει. Ἴκρια.] Τὰ ὀρθὰ ξύλα, ἐφ' ὧν τὰ τῆς νεὼς κατασκεύασται πάγιστα, τὰ ἐγκάρσια λεγόμενα παρ' ἡμῖν. Πῆξαι.] Σύμπηξον.

NOTÆ.

163. Εὐρεῖαν) Ità lego, pro Corrupto εὐρείην, quòd εὐρεῖαν semper, in *Iliade* scribatur, quæ utique *Correctior* paulo esse solet; quódque *α brevis* nunquam *Homero*, per *η*, *Ionicè* proferatur. Vid. infrà, ad v. 251.

NOTÆ IN SCHOLIA.

163. Ἐγκάρσια, ex *Eustathio* lego, fol. 1528. lin. 59. pro ἐγκύλα, pro quo Ms. *Aloysii* ἐγκύλια.

VARIÆ LECTIONES.

163. Εὐρεῖαν) γρ. εὐρείην, malè olim, vid. in *Textum*.

Ὑψῦ, ὥς σε φέρησιν ἐπ' ἠεροειδέα πόντον.
Αὐτὰρ ἐγὼ σῖτον τε καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
Ἐνθήσω μενοεικέ', ἄ κέν τοι λιμὸν ἐρύκοι,
Εἵματά τ' ἀμφιέσω· πέμψω δέ τοι ὄπιθεν ἔοντα
Οὖρον ἀπήμονα σοὶ πατρίδα γαῖαν ἱκέσθαι,
Αἴ κε θεοὶ γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Οἵ μοι φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε.
Ὣς φάτο· ῥίγησεν δῖος Ὀδυσσεύς,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ἄλλο τι δὴ σύ, θεὰ, τόδε μήδεαι, οὐδέ τι πομπὴν,
Ἣ με κέλεαι κραδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
Δεινόν τ' ἀργαλέον τε· τὸ δ' οὐδ' ἐπὶ νῆες ἐΐσαι
Ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς οὖρῳ.
Οὐδ' ἂν ἐγὼν, ἀέκητι σέθεν, κραδίης ὑπερβαίην,
Εἰ μή μοι πλαίης γε, θεὰ, μέγαν ὅρκον ὀμόσσαι,
Μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
Ὣς φάτο· μείδησεν δὲ Καλυψὼ, δῖα θεάων,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,
Ἦ δὴ ἀλιτρός γ' ἐσσι, καὶ οὐκ ἀπεφώλια εἰδώς·
Οἷον δὴ τὸν μῦθον ἐπέφραδες ἀγρεῦσαι;
Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅττε μέγιστος
Ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,

" Sublimiùs, ut te ferat per obscurum pontum.
" Porrò ego panem & aquam, & vinum rubrum
" Imponam dulce, quæ tibi famem arceant,
" Vestésque induam; mitrámque tibi ventum à tergo,
" Ut omninò incolumis ruam in patriam terram pervenias,
" Si modo dii utique voluerint, qui cœlum latum habitant,
" Qui me fortiores sunt in cognoscendóque judicandóque.
Sic ait; exhorruit autem patiens divus Ulysses,
Et ipsam alloquutus verba alata dixit,
" Aliud quippiam jam tu, dea, hâc in re moliris neutiquam profectionem;
" Quæ me jubes rate trajicere ingentes undas maris,
" Horrendas, difficiléque; quas neque ipsæ naves æquales
" Veloces trajiciant, lætantes Jovis vento.
" Neque tamen ego, te invitâ, ratem conscenderim,
" Nisi mihi sustineas, ô dea, magnum jusjurandum jurare;
" Nè ullum mihi ipsi damnum malum consulas aliud.
Sic ait; risit verò Calypso, diva dearum,
Manuque ipsum demulsit, verbum que dixit & proloquuta est.
" Certe veterator es, & non incauta sciens,
" Qualem enimverò hunc sermonem excogitâsti proloqui?
" Sciat nunc hoc Terra & Cœlum latum supernè,
" Et ipsa subter labens Stygis aqua, quod maximum
" Juramentum gravissimumque existit beatis diis;

Σ Χ Ο Λ Ι Α.

166. Μενοεικέα.] Τῷ μθέλ ἁρμόζοντα. Ἐρύκοι.] Κωλύοι.
170. Κρῆναι.] Τελειῶσαι.
171. Ῥίγησεν.] Ἔφριξεν, ἐφοβήθη. Πολύτλας.] Πολλὰ ὑπομείνας.
173. Μήδεαι.] Ἔνιοι, Μήδεα, βουλεύμασα. Πομπὴν.] Ἔφοδον, ἐξαποστολήν.
176. Ὠκύποροι.] Ταχέως πλέουσαι. Περόωσιν.] Διαπερῶσιν. Ἀγαλλόμεναι.] Τερπόμεναι.
177. Ἀέκητι.] Ἀβουλίᾳ, παρὰ γνώμην.
179. Βουλευσέμεν.] Βουλεύσασθαι, ἐπινοῆσαι.
181. *Κατέρεξεν.] Κατέψησε, καὶ ἁπαλὰ ἐφθέγξατο, καὶ προσῆνεν· ἀπὸ τοῦ ῥίζω, ῥίξω.
182. Ἀλιτρός.] Ὁ μὴ ἀπηκριβωμένῳ πανουργίας, ὁ ἁμαρτωλός. Ἀποφώλια.] Ἀπαίδευτα· φῶλοι γὰρ τὰ παίδευτήρια· ἢ ἃ οὐκ ὤν τις ἀποφήναιτο, ὡς ἄρρητα, ἢ ἀσύνετα.
183. Ἐπέφραδες.] Ἐβουλεύσω, ἐπινόησας.
184. *Ἴστω.] Ἀντὶ τοῦ, γινωσκέτω.

N O T Æ.

174. Ἦ μοι κέλεαι) Κέλεαι scribendum incontractim, verùm in *Scansione*, quasi κέλῃ scriptum, de quâ re sæpè monemus.

NOTÆ IN SCHOLIA.

181. *Κατέρεξε) Totum hoc ex *Aloysii* MS.
184. *Ἴστω) Et hoc ex eodem.

VARIÆ LECTIONES.

173. Μήδεαι) γρ. μήδεα, *Br. Schol.* etiam MSS. nec tamen hic bene.
177. Ἐγὼν) γρ. ἔγωγ', *H. Steph.*

Μήτι

Μή π τοὶ αὐτῷ πῆμα κακὸν βυλθυσέμεν ἄλλο·
Ἀλλὰ τὰ μὲν νοέω κὴ φράσομαι, ἄσσ' ἂν ἐμοί περ
Αὐτῇ μηδομένῳ, ὅπι μὲ χρειὼ τόσον ἵκοι.
Καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἀναίσιμος, οὐδέ μοι αὐτῇ
Θυμὸς ἐνὶ στήθεσι σιδήρεος, ἀλλ' ἐλεήμων.
Ὣς ἄρα φωνήσασ' ἡγήσατο δῖα θεάων
Καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο·
Ἶξον δὲ σπέος γλαφυρὸν θεὸς ἠδὲ κὴ ἀνήρ·
Καὶ ῥ' ὁ μὲν ἔνθα κάθιζεν ἐπὶ θρόνου, ἔνθεν ἀνέστη
Ἑρμείας· νύμφη δ' ἐπίθη πάρα πᾶσαν ἐδωδὴν,
Εἶδεν κὴ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
Αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
Τῇ δὲ παρ' ἀμβροσίην δμωαὶ κὴ νέκταρ ἔθηκαν.
Οἱ δ' ἐπ' ὀνείατ' ἐτοῖμα προκείμενα χεῖρας ἴαλλον·
Αὐτὰρ ἐπεὶ πάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
Τοῖς ἄρα μύθων ἦρχε Καλυψὼ, δῖα θεάων,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
Αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε κὴ ἔμπης.
Εἴγε μὲν εἰδείης σῇσι φρεσὶν, ὅσσα τοι αἶσα
Κήδε' ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἐνθάδε καὶ μείνας σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις,
Ἀθάνατός τ' εἶης· ἱμειρόμενός περ ἰδέσθαι
Σὴν ἄλοχον, τῆς αἰὲν ἐέλδεαι ἤματα πάντα.

" Non ullum tibi ipſi damnum malum *me* conſulturam aliud.
" Sed ea quidem diſpicio & ſuadeo, quæcunque mihi ipſi
" Utique ſuaderem, ſi quando me neceſſitas tantoperè urgeret.
" Etenim mihi mens eſt ſincera; neque mihi ipſi
" Animus intra præcordia ferreus, ſed miſericors.

Sic loquuta, præceſſit diva dearum
Celeritèr, ille deinde poſt veſtigia ivit deæ:
Pervenerunt itaque ad ſpeluncam cavam dea atque vir.
Et ille quidem illuc reſedit in ſolio, unde ſurrexerat
Mercurius: Nympha verò appoſuit omnimodum cibum
Ad edendum & bibendum; qualia mortales viri edunt:
Ipſa verò è regione ſedit Ulyſſis divini,
Atque ipſi ambroſiam ancillæ & nectar appoſuerunt.
Hi verò ad fercula parata appoſita manus extenderunt.
Cæterùm poſtquam ſaturati ſunt cibo & potu,
His certè ſermonibus cœpit Calypſo, diva dearum,
" O inclyte Laërtiade, verſute Ulyſſes,
" Siccine jam domum charam ad patriam terram
" Protenùs nunc vis proficiſci? tu tamen gaude nihilominus.
" Sin modò ſcires tuâ mente, quantos tibi fatum ſit
" Dolores implere, priuſquam ad patriam terram perveniss,
" Certè hîc manens unà mecum hanc domum cuſtodires,
" Immortaliſque eſſes: quantumvis cupidus ſis videndi
" Tuam uxorem, cujus uſque deſiderio teneris dies omnes.

ΣΧΟΛΙΑ.

188. Ἀλλὰ τὰ μὲν νοέω.] Ἀλλὰ πιθοῦ σοι μᾶλλόν τε, ὅτι φρονῶ, καὶ ὅτι ἂν ἐμαυτῇ συνεβούλευσα, σὺ τούτῳ τὸ χρείας καθαπτόμενος.

189. Μηδόμενον.] Βουλευσόμενον. Ἵκοι.] Ἔλθοι.

190. Ἀναίσιμος.] Ἀληθής.

194. Ἶξον.] Ἀφίκοντο, ἦλθον. Γλαφυρόν.] Κοῖλον, ἀφ' οὗ τὸ γιγλύφθαι.

205. Αὐτίκα νῦν ἐθέλεις ἰέναι.] Ἐν ἐπερωτήσει. *Ἔμπης.] Τὸ ἔμπης, ὃ καὶ ἔμπα λέγεται, τὸ τούτῳ τῷ τόπῳ, ἴσως σημαίνει, ποτὲ δὲ, ὁμοίως καὶ ἐπίσης, ὡς τὸ, Ἔμπης ἐς γαῖάν τε καὶ ὐρανὸν ἶκτο· αὐτμή.

206. Εἰδείης.] Εἴδοις, ἐπίστασο.

207. Κήδεα.] Λύπας, ἀνίας. Ἀναπλῆσαι.] Ἀναπλησῶσαι.

208. Δῶμα.] Καταχρηστικῶς, τὸ σπήλαιον.

209. Ἀθάνατός τ' εἶης.] Ἀθάνατος γένοιο. Ἱμειρόμενον.] Ἐπιθυμοῦντα.

210. Σὴν ἄλοχον.] Ἐπιθυμητὴς. Ἤματα πάντα.] Πάντα τὸν χρόνον.

NOTÆ IN SCHOLIA.

205. *Ἔμπης) Hoc ex *Aloyſii* MS. vid. *Heſych.* v. ἔμπα & ἔμπης, & *Euſtath.* fol. 1854. lin. 41.

VARIÆ LECTIONES.

195. Κάθιζεν) χρ. καθέζετ', *H. Steph.*

205. Ἔμπης) χρ. ἔμπα, vid. *Br. Schol.*

208. Ἐνθάδε καὶ μείνας σὺν ἐμοὶ) χρ. σὺ δὲ κ' αὖθι μίμνων παρ' ἐμοί. *H. Steph.*

Οὐ μὰν ἴλιν κείνης γὲ χερείων εὔχομαι εἶναι,
Οὐ δέμας, οὐδὲ φυλήν· ἐπεὶ οὔπως οὐδὲ ἔοικεν
Θνηταὶς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Πότνια θεὰ, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
Πάντα μάλ', ὕνεκα σεῖο περίφρων Πηνελόπεια
Εἶδος ἀκιδνοτέρη, μέγεθός τ', εἰς ἄντα ἰδέσθαι·
Ἣ μὲν γὰρ, βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως·
Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
Οἴκαδέ τ' ἐλθέμεναι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
Εἰ δ' αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
Τλήσομαι, ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν·
Ἤδη γὰρ μάλα πολλ' ἔπαθον καὶ πολλ' ἐμόγησα
Κύμασι, καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.
Ὣς ἔφαθ'· ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ νέφας ἦλθεν·
Ἐλθόντες δ' ἄρα τώγε μυχῷ σπείους γλαφυροῖο,
Τερπέσθην φιλότητι παρ' ἀλλήλοισι μιγέντε.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Αὐτίχ' ὁ μὲν χλαῖναν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεὺς,
Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
Λεπτὸν, καὶ χαρίεν, περὶ δ' ζώνην βάλετ' ἰξυΐ

" Nequaquam certè illâ inferior glorior esse,
" Nec corpore, neque indole; quandoquidem minimè decet
" Mortales cum immortalibus corpore & formâ contendere.
Hanc respondens alloquutus est versutus Ulysses,
" Venerenda dea, nè mihi hoc succenseas; scio enim ipse
" Omnia rectè, quòd te prudens Penelope
" Formâ inferior sit, proceritateque, coram aspectu:
" Illa etenim mortalis est, tu vero immortalis & senii expers:
" Sed & sic volo, & desidero diebus omnibus,
" Domúmque redire, & reditûs diem videre.
" Quòd si quispiam me malè-mulctârit deorum in nigro ponto,
" Patiar, in pectore habens patientem animum:
" Jam enim valdè multa passus sum & multa pertuli
" In fluctibus, & bello, post quæ & hoc accedat.
Sic ait; & sol occidit & tenebræ sobortæ sunt:
Venientes igitur hi in secessum speluncæ cavæ,
Oblectabantur amore, juxta se manentes.
Quando autem mane-genita apparuit roseis-digitis aurora,
Continò chlænamque tunicámque induit Ulysses,
Ipsa quoque candidam stolam ingentem induit Nympha,
Tenuem & gratiosam, zonamque circumposuit lumbis

ΣΧΟΛΙΑ.

211. Οὐ μὰν ἴλιν.] Οὐ μὰ δία.
213. Ἐρίζειν.] Φιλονεικεῖν.
215. Πότνια.] *Σεβασμία, τιμία. Χώεο.] Ὀργίζου.
217. Ἀκιδνοτέρη.] Οἱ μὲν γλαυκογεφύροι, ἀσθενεστέρα, οἱ δὲ, εὐπλεστέρα· καὶ γὰρ οὐ ἄλλοις, Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο, *ἀντὶ δὲ εὐπλεστέρου· οἱ μὲν τοι γλαυκογεφύροι ἀπίδοσαν παλιν, ἀσθενεστέρου.
218. Ἀγήρως.] Μὴ γηράσκουσα.
220. Νόστιμον ἦμαρ.] Τὸν τῆς ἀνακομιδῆς ἡμέραν.
221. Εἰ δ' αὖ τις. Εἴ δέ τις Ῥαίῃσι.] Διαφθείρῃ.
222. Ταλαπενθέα.] Ὑπομνηστικόν.
223. Ἐμόγησα.] Ἐκακοπαθησα.
226. Μυχῷ.] Τελευταίῳ, ἐσχάτῳ. Σπείους.] Σπηλαίου.
229. Ἕννυτο.] Ἐνεδύσατο.
230. Ἀργύφεον.] *Λαμπρὸν, λευκόν.
231. Ἰξυΐ.] Ὀσφύϊ.

NOTÆ.

215. Πότνια θεὰ) Τὸ θεὰ μονοσυλλάβως, ut *Iliad.* α'. v. 18. At MS. *Gonvillo-Caiense* legit, πότνια θεὰ, quæ quidem Vox *Odyss.* ν'. v. 61. in *Florentin. Lo-*

NOTÆ IN SCHOLIA.

215. *Σεβασμία, pro σεβασμίη lego, quæ vox nihili.
217. *Ἀντὶ δὲ εὐπλείστερον, addo ex MS. *GC.* Pro ἀπίδοσαν πάλιν, MS. *Aloysii* παλαιοὶ tantum.
230. *Λαμπρὸν, addo, ex MS. *Aloysii.*

VARIÆ LECTIONES.

215. Πότνια θεὰ) γρ. πότνα θεὰ, MS. *GC.* vid. Not. in *Textum.*
219. Ἐέλδομαι) γρ. ἔλδομαι, *H. Steph.*
211. Εἰ δ' αὖ τις) γρ. αὖτις, malè, in *Elzevir.* Edit.
222. Στήθεσσιν ἔχων) γρ. στήθεσι φέρων.
226. Σπείους) γρ. σπείους, &c. vid. ad v. 68.

Καλὼ,

Καλλιὼ, ἀργυφέῃ· κεφαλῇ δ' ἐπέθηκε καλύπτρην·
Καὶ τότ' Ὀδυσσῆϊ μεγαλήτορι μήδετο πομπήν.
Δῶκε μὲν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσι,
Χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ
Στειλειὴν εὐειδὲς, ἐλαΐνεον, εὖ ἐναρηός·
Δῶκε δ' ἔπειτα σκέπαρνον ἐΰξοον· ἦρχε δ' ὁδοῖο
Νήσου ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
Κλήθρη τ', αἴγειρός τ', ἐλάτη τ' ἠν οὐρανομήκης,
Αὖα πάλαι, τεθίκνια, τά οἱ πλώοιεν ἐλαφρῶς.
Αὐτὰρ ἐπειδὴ δεῖξ', ὅσσα δένδρεα μακρὰ πεφύκει,
Ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψὼ, δῖα θεάων·
Αὐτὰρ ὁ τάμνετο δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον.
Εἴκοσι δ' ἐξέταλε πάντα, πελέκκησεν δ' ἄρα χαλκῷ,
Ξέσσε δ' ὀπιζαμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.
Τόφρα δ' ἔνεικε τέρετρα Καλυψὼ, δῖα θεάων,
Τέτρηνεν δ' ἄρα πάντα, καὶ ἥρμοσεν ἀλλήλοισι·
Γόμφοισιν δ' ἄρα τῷ γε καὶ ἁρμονίῃσιν ἄρηρεν.

Fulchram, auream: capitique impoſuit calyptram:
Et tum *reverâ* Ulyſſi magnanimo apparabat profectionem.
Dedit quidem ei ſecurim magnam, habilem in manibus,
Ferream, utrinque acuminatam: cæterum in ipſâ *erat*
Manubrium perpulchrum, oleaginum, bene inſertum.
Deditque inſuper aſciam politam; & dux erat viæ
Inſulæ ad extremam oram, ubi arbores proceræ enatæ erant,
Clethráque, populuſque, abieſque in cœlum pertingens,
Aridæ dudum, vehementer ſiccæ, quæ ei navigarent leviter.
Cæterùm poſtquam oſtendit, ubi arbores longæ creviſſent,
Rediit quidem domum Calypſo, diva dearum:
Cæterùm ipſe ſcindebat ligna, celeriterque ei abſolvebatur opus:
Viginti quidem dejecit *arbores* ipſas, dolavitque ferro,
Polivitque ſcitè, & ad perpendiculum direxit.
Interea attulit terebras Calypſo diva dearum;
Terebravit igitur omnia & commiſit inter ſe.
Clavis autem illam, *i.e. Ratim* &c. compagibus aptavit.

ΣΧΟΛΙΑ.

232. Καλύπτρην.] Τὸ κάλυμμα τῆ κεφαλῆς.
233. Πομπήν.] Παραπεμψιν.
234. Ἄρμενον.] Ἡρμοσμένον.
235. *Ἀκαχμένον.] Ὀξύ.
236. Στειλειὸν.] Στειλεὸν, ἢ λαβὴ ἢ πλίκιος. Περικαλὲς.] Πάνυ καλόν. Ἐναρηός.] Ἐνηρμοσμένον.
237. *Σκέπαρνον.] Τὸ ἔργον. Ἀφ' τὸ σκάπτειν τὴν ἄρνα. Ἀλλὰ οἱ τέτρα τῷ τύπῳ τὸ δόρυ ἄλλοι λέγουσιν, ἢ μᾶλλον ἀμφίστομον πέλεκυν.
238. Ἐπ' ἰχαλῆς.] Ἐπὶ τὰ ἐσχάτων μερῶν.

NOTÆ IN SCHOLIA.

240. Αὖα πάλαι, τεθίκνια τά οἱ πλώοιεν ἐλαφρῶς) *Lil. Gyraldus*, De Navigiis, c. 6. probat, Illa Navigia, quæ ex Humidâ materiâ conſtruuntur, non eandem celeritatis Uſum habere, atque quæ ex Aridâ fiunt, exemploque confirmat ex *Cæſare* ſumpto; quod facile concedendum. At quod *Homerus* ἐλάτην, *Abietem*, longis Navigiis commodam facit, id quoque *Theophraſtus* probat, Hiſtor. Plant. l. 5. c. 8. Τὰ μακρὰ πλοῖα, ἐλάτινα ποιοῦσι, ἀφ' κυφότητα.

240. *Ἐξυλημένα, pro ἐξαυλισμένα, emendo, *Heſychii* & *Etymologi* M. auctoritate.

VARIÆ LECTIONES.

236. Ἔναρηὸς) γρ. ἐπαρηὸς, *H. Steph.*
237. Ἔθεσσι) γρ. εὖ ξέσσι, *Euſtath.* fol. 1531. lin. 46.
240. Αὖα πάλαι) γρ. αὖ ἀπάλαι, *Br. Schol.*
244. *Ἐκβαλε.] γρ. ἔμβαλε, *Lovan.* Editt.
248. Γόμφοσιν) γρ. γόμφωσι. *Ibid.* *Ἄρηρεν) γρ. ἄραρεν, *Br. Schol.*

*Οσσον,

Ὅσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνὴρ
Φορτίδος εὐρείης, εὖ εἰδὼς τεκτοσυνάων,
Τόσσον ἔπ' εὐρείαν σχεδίην ποιήσατ' Ὀδυσσεύς.
Ἴκελα δ' ἥσας, ἀραρὼν θαμέσι ζαμίνεσι,
Ποίῃ, ἀτὰρ μακρῇσιν ἐπισκενίδεσσι τέλευτα.
Ἐν δ' ἰξὸν ποίει, καὶ ἐπίκελον ἄρμενον αὐτῇ·
Πρὸς δ' ἄρα πηδάλιον ποιήσατο, ὅππῃ ἰθύνοι.
Φράξε δέ μιν ῥίπεσσι λιγαμπελέεσσιν ὀισυΐνῃσι,
Κύμαλος εἰλαρ ἔμεν· πολλὴν δ' ἐπεχεύατο ὕλην.
Τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ, δῖα θεάων,
Ἱστία ποιήσασθαι· ὁ δ' εὖ τεχνήσατο καὶ τά·
Ἐν δ' ὑπέρας τε, κάλως τε, πόδας τ' ὀνέδησεν ἐν αὐτῇ.
Μοχλοῖσιν δ' ἄρα τιὶ γε κατείρυσεν εἰς ἅλα δῖαν.
Τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·

Quantum quisque fundum navis circumscribat faber
Onerariæ latæ, bene peritus fabrilis *artis*;
In tantum latam ratem confecit Ulysses.
Tabulata verò erigens, compingens frequentibus crabibus
Faciebat, cæterùm longis asseribus perficiebat:
Inque malum fecit, & antennam congruentem ei:
Præterea temonem fabricavit, ut gubernaret.
Communivit quoque ipsam cratibus undique salignis,
Fluctuum obstaculum ut forent; multam autem ingessit materiam:
Interea verò lintea attulit Calypso, diva dearum,
Velis conficiendis, ille autem benè confecit & ista:
Et rudentes antennarum & veli funes pedesque ligavit in eâ.
Vectibus demùm hanc deduxit in mare vastum.
Quartus dies erat, & ei absoluta sunt omnia:

ΣΧΟΛΙΑ.

ληλα· ἢ παντάλοις, ἢ πλατέσιν ἐπιέρεσι, ἢ σφήναις. Ἁρμονίῃσιν.] Ἁρμονίαις. Ἄερσεν.] Ἤρμοσεν· γράφει καὶ ἄειρεν.

249. Ἔδαφος νηός.] Τὸ κατώτατον κῦτος τῆς νηός. Τορνώσεται.] * Περιγράψει.

250. Φορτίδος.] Φορτηγοῦ, ἢ ἐλκυσθοῦς καλωδίοις. Τεκτοσυνάων.] Τῆς περὶ τὸ τεκτονικὸν ἐμπειρίας.

252. Ἀραρὼν.] Ἁρμόσας. Θαμέσι.] Πυκνοῖς, στιφροῖσιν. Ἐπαμήσεται.] Τοῖς ἐπιμήκεσι ξύλοις, ἃ παραπήγνυται τοῖς ἐκτὸς ἐξ ἑκατέρων τῶν μερῶν πρὸς τὸ ἐρείδειν· ἢ τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πηδάλια ἐμπήγνυται.

253. Ἐπισκενίδεσσι.] Ταῖς ἀραιοβραχίοις σανίσι, καλῶς μεζόσιν ἢ γ', οἷον ἐπισκενίδεσι, ταῖς ἐπικειμέναις δοκοῖς. Τελεύτα.] Ἐπλείσε, ἐπλήρου.

254. Ἐπίκελον.] Τῷ κεραίαν, τὸ πλάγιον ξύλον ἢ ἱστῷ, ᾧ προσδίδει τὰ ἄρμενα.

255. Πηδάλιον.] Κώπην. Ἰθύνοι.] Ἐπ' εὐθείας ἄγοι, κυβερνᾷ.

256. Ῥίπεσσι.] Πλέγμασι * ψιαθώδεσιν. Διαμπερέες.] Διὰ παντὸς, δι' ὅλου. Οἰσυΐνῃσιν.] Ταῖς τῆς ἰτέας ῥάβδοις, ἤ ἐστι καλάδοις, ἢ ἀπὸ οἰσυῶν, ἤ ἐστιν ἡμαντῶδες φυτόν.

257. Εἶλαρ.] Ἀσφάλειαν· ἢ κώλυμα καὶ φυλακήν. Ἐπιχεύατο ὕλην.] Ἔρεισμα τῆς σχεδίας.

258. Φάρεα,] Ὀθόνας.

259. Τεχνήσατο.] Εἰργάσατο.

260. Ὑπέρας.] Τὰς ἐκ δ' ἄκρου τῆς ὀθόνης ἐξημμένας κάλως· ἢ τὰς τροχιλίας. Κάλως.] Τὰ σχοινία· δι' ὧν ἀνάγεται καὶ καθάγεται ἡ κεραία. Πόδας.] Τὰς πόδας τὰς κάτωθεν συνέχοντας τῷ ὀθόνῃ· ἢ τὰς μεταγωγὰς δ' κέρατος· ἔτεροι δ' * φασὶ σχοινία, οἷς συνέχεται ἀπὸ πρώρας καὶ ἀπὸ πρύμνας, ἢ ἰσὶς· ἢ τὰ ἑκατέρωθεν διδύμια τοῖς ἁρμένοις σχοινία.

261. Κατείρυσεν.] Καθείλκυσεν.

NOTÆ.

262. Τέτρατον ἦμαρ ἔην) Mirum, *Clement. Alexandrin.* Stromat. l. 5. & *Euseb.* Evangel. Præparat. l. 13. c. 13. ἕβδομον, pro τέταρτον, hic legi dicere. Tum certè, nisi pia fraus sit, etiam in sequenti versu, pro. Τῷ δ' ἄρα πέμπτῳ πέμπε', legendum, Ὀγδοάτῳ δ' ἄρα πέμπε'.

NOTÆ IN SCHOLIA.

249. * Περιγράψει), ita *Aloysii* MS. olim Περιγράψειεν.

256. Ῥίπεσσι) * Πλέγμασι ψιαθώδεσιν &c. Ità pro τοῖς τ' ἰτέας ῥάβδοις, ὅ ἐστι καλάδοις, ἢ ἀπὸ οἰσυῶν, ὅ ἐστιν ἡμαντῶδες φυτὸν, supplevi & ordinavi, ex Duobus toties laudatis MSS. excepto, quòd ψιαθοειδέσιν illic, vox minùs Prosæ conveniens & οἰσυϊνῶν, *Adjectivum*, &c. Vid. *Hesych.* v. Ῥίπεσσιν, & v. Οἰσυΐνῃσιν & *Eustath.* fol. 1533. lin. 50.

260. Πόδας) In hoc *Scholio*, MS. * φα. Codd. Impressi per Φορεὰ extulerunt. Lego * φασὶ, idque ex auctoritate *Eustathii*, fol. 1534. lin. 28.

VARIÆ LECTIONES.

251. Εὐρείῃσι) γρ. εὐρείῃς, ex Errore, quòd præcesserit εὐρείης. Vid. ad v. 163.

257. Πολλὴν ἐπιχεύατο ὕλην) γρ. πολλὴ ἐπιχύσθω ὕλη. MS. *GC.* & *Et Schol.*

262. Τέτρατον) γρ. ἕβδομον, vid. Not. in *Textum*.

Τῷ

Τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου δῖα Καλυψὼ,
Εἵματά τ' ἀμφιέσασα θυώδεα, καὶ λύσασα.
Ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
Τὸν ἕτερον, ἕτερον δ' ὕδατος μέγαν· ἐν δὲ καὶ κῖα
Κωρύκῳ, ἐν δέ οἱ ὄψα πίθῃ μυοεικέα πολλά·
Οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
Γηθόσυνος δ' ἔρῳ πέτασ' ἱστία δῖος Ὀδυσσεύς·
Αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
Ἥμενος· οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ', ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτῆ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
Οἴη δ' ἄμμορος ἐστὶ λοετρῶν Ὠκεανοῖο.

Quinto itaque demisit ab insulâ diva Calypso,
vestésque indutum odoratas, & lavatum.
Imposuit autem utrem dea nigri vini
Unum, alterumque aquæ magnum, & viatica
In perâ; item ei posuit obsonia vires-firmantia plurima:
Ventum insuper præmisit innocuum placidumque.
Lætus igitur vento secundo extendit vela divus Ulysses;
Cæterùm ipse temonem gubernabat artificiosè
Sedens: neque ei somnus palpebris incidebat,
Pleiadásque contemplanti, & tardè occidentem Booten,
Ursamque, quam & Currum cognomento vocant,
Quæ ibidem vertitur, atque Orionem observat:
Sola verò expers est aquarum Oceani.

ΣΧΟΛΙΑ.

264. Ἀμφιέσασα.] Ἐνδύσασα. θυώδεα.] Εὐώδη.

266. Ἥια.] Ἐφόδια, ἄλφιτα.

267. Κωρύκῳ.] Τῷ ὑλακῷ. Μυοεικέα.] Περσικῶν, ἀρέσκοντα τῇ ψυχῇ, ἀγαθά.

269. Πέπτωκεν.] Ἤπλωσεν.

270. Ἰθύνετο.] Ἐπ' εὐθείας ἦγεν, οὐκ ἐβόρνα. Τεχνηέντως.] Ἐπιστημόνως.

271. Ἥμενος.] Καθήμενος.

272. Πληϊάδας.] Ἑπτὰ ἀστέρας σωματικούς, * κατ' ὀφθαλμὸν δὲ Ταύρου κειμένους, ὧν οἱ ἐξ μόνοι φαίνονται. Ὀψὲ δύοντα Βοώτην.] Τότε μάλιστα δύει ἀρχομένου τοῦ βορέου. Ὀψὲ δύοντα.] Μετὰ πολὺν χρόνον τῆς σωματικῆς δύσεως. καὶ γὰρ ὁ Ἄρκτος, Τέτρωται δὲ μοίρας ἀμυδὰς καλιόντι Βοώτῃ Ὠκεανὸς δύεται· συγκαθαφίεται δὲ τέτρασι ζωδίοις, Σκορπίῳ, ἀφ' οὗ ἄρχεται, Τοξότῃ, Αἰγοκέρῳ, Ὑδροχόῳ, ἐφ' οὗ λήγει. Βοώτην.] Ὁ Βοώτης καὶ Ἀρτοφύλαξ καλεῖται. καὶ δοκεῖ εἶναι ὁ Ἰκάριος. Βοώτης δὲ λέγεται, ὅτι κατὰ τὴν ἐπιτολὴν αὐτοῦ βοηλατεῖσθαι ἐδόκουν· ἢ ἐπεὶ ὁ Ἰκάριος ἐπὶ ἁμαξῶν περιέκομιζε τὸν οἶνον.

273. Ἄρκτον θ', ἣν καὶ ἅμαξαν.] Καὶ ἅμαξαν καλεῖται ἡ Ἄρκτος. Ἐπὶ ὁκτὼ ποσὶ ἀστέρων * ἀστέρων τὸ μὲν πλησίον χήμαλι κειμένων, καὶ τὸ ἀφεξῆς τελῶν ὥσπερ ἐκ τροχῶν ἐξ ῥυμοῦ ἁμάξης χῆμα διαπλεῖται. Ἐπίκλησιν.] Ἐπωνυμίαν.

NOTÆ.

264. Εἵματά τ' ἀμφιέσασα θυώδεα) Vid. ad v. 60.

265. Μέλανος οἴνοιο) *Ultima* δ μελανος producitur, in *Cæsurâ*, vi *Finalis*, & ante *Acutum*.

266. Ἕτερον δ' ὕδατος μέγαν) Hoc prudenter dixit, quia multò largior haustus *Aquæ*, quàm *Vini*; ut *Menander*, Τρεῖς ὕδατος· οἶνος δ' εἷς μόνος. *Hesiod.* Τρὶς δ' ὕδατος σχεῖν, τὸ δ τέταρτον ἴμεν οἶνον. *Homerus*, Ἐν δ' ἅπας ἐμπλήσας ὑδατος ἀνὰ εἴκοσι μέτρα. *Ibid.* Ἐν δ ἔθηκε) In *Scansione* considerandum, quasi ϝεν scriberetur, ut ad β'. v. 289. & v. 346.

268. Οὖρον δ πρόεηκεν) Hic locus, Ἀσκληπιὸς παρὰ Καλυψοῖ, vocatur à *Pausaniâ* fol. 238. lin. 23.

271. Κέλης δ' ὡς ἵππον ἐλαύνων) Qui privis equis currerent, κέλητες vocati; undè & priscum *Celeris* nomen; ut *Equites* sub *Romulo* dicti: ut *Scaliger*. Vox ducta à κέλλω, τοχίως βαδίζω· ἢ παρὰ τὸ διεκελισμένον πως προβαίνειν εἰς τὸ ἵππον, ut *Eustath.* fol. 1038. lin. 10.

274. Ἥ τ' αὐτῆ στρέφεται) Vid. ad *Iliad.* σ'. v. 488. ubi & hic locus.

NOTÆ IN SCHOLIA.

272. Πληϊάδας) Pro * κατ' ἀρὰν δ Ταύρου, pro quo legendum ἀρὰν δ Ταύρου, ut *Eustathius*, aut potiùs πλάγιαν, ut *Br. Schol.* ad *Iliad.* τ'. v. 486. confer *Br. Schol.* ad *Odyss.* μ'. v. 63. MS. ὀμοῦ habet, quod ego ὀφθαλμὸν scribo, ut *Ovid.* Fastor. l. IV. Ore micant *Tauri* septem radiantia flammis Sydera.

273. * Ἀστέρων τὸ μὲν πλησίον χήμαλι κειμένων) Hæc verba, malè olim omissa, ex 2 MSS. restituo. Huc refer *Theon* in *Arat*, p. 7.

VARIÆ LECTIONES.

263. Τῷ δ' ἄρα πέμπτῳ πέμπ') γρ. Ὀγδάτῳ δ' ἄρα πέμπτ' & ὀγδ. ὀΐ ἐ πέμπτ', ut ad v. præcedent.

Tum

Τῷ γὰρ δὴ μὲν ἄνωγε Καλυψὼ δῖα θεάων,
Ποντοπορεύεσθαι ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα.
Ἑπτακαιδέκατον μὲν πλέεν ἤματα ποντοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
Γαίης Φαιήκων, ὅθι τ' ἄσχιστον πέλεν αὐτῷ·
Εἴσατο δ', ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.
Τόνδ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων Ἐνοσίχθων,
Τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ
Πόντον ἐπιπλείων· ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον·
Κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμὸν,
Ὢ πόποι, ἦ μάλα δὴ μετεβήλυσαν θεοὶ ἄλλως
Ἀμφ' Ὀδυσῆϊ, ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος·
Καὶ δὴ Φαιήκων γαίῃ ἐχεδόν, ἔνθα οἱ αἶσα
Ἐκφυγέειν μέγα πεῖρας ὀιζύος, ἣ μιν ἰκάνῃ·
Ἀλλ' ἔτι μήν μιν φημὶ ἄδην ἐλάαν κακότητος.
Ὣς εἰπὼν, σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον,

For him indeed had commanded Calypso divine among goddesses,
To navigate Ponto-ward on the left hand having.
Seventeen indeed days he navigated, making navigable sea,
But on the eighteenth appeared mountains umbrous
Of land Phæacum, where to him nearest was
And he appeared, as when cloud in ethereal ponto.
Hunc ex Æthiopia veniens potens Enosichthon,
Procul ex Solymis montibus conspexit: visus enim erat ei
Pontum navigans: hic ergò efferbuit corde vehementius:
Movensque caput ad suum dixit animum,
O Dii, profectò jam consultârunt dii aliter
De Ulysse, cùm ego apud Æthiopas essem:
Atque adeò Phæacum terræ propè est: ubi ei fatum est
Effugere magnam metam ærumnarum, quæ ipsum occupant.
Verum adhuc ipsum puto satis miseriarum subiturum.
Sic loquutus, collegit nubes, & commovit pontum,

ΣΧΟΛΙΑ.

276. Τῷ γὰρ δὴ μὲν.] Πρὸς τοῦτον γὰρ δὴ αὐτόν.

277. Ποντοπορεύεσθαι.] Πρὸς τὸ θαλάσσαν ἀεὶ περαιοῦσθαι καὶ πλέειν.

280. Ἄσχιστον δέ.] Τὸ ἐγγύτερον.

281. Εἴσατο δ' ὡς ὅτε ῥινόν.] Εἰ μὲ ῥινὸν ἀναγνωσόμεθα, ἐφάνη, ὡς ἀσπὶς, ὃ ἐστι βύρσα· εἰ δὲ ἑλινὸν, ἴσως συκέα· οἱ δὲ λέγουσιν Ἰωνικῶς ἕλινον λέγειν τὸ *ἀχλύν· ἐφάνη ἂν, ὡς ἀχλὺς, ἡ γῆ. Εἴσατο. | Ἐφάνη, ἔδοξεν.

283. Σολύμων.] Σόλυμα ὄρη τῆς Πισιδίας.

285. Κάρη.] Τὸ κεφαλὴ. Προτὶ ὅν.] Πρὸς τὸ ἑαυτῷ. Μυθήσατο.] Εἶπεν.

286. Μετεβήλυσαν.] Μετέγνωσαν.

289. Πεῖρας.] Ἤτοι τὸ πέρας, τὸ τέλος· ἢ τὸ λιπαρὸν καὶ ἀκμάζον.

290. Ἄδην.] Ἀφρόνως. Ἐλάαν κακότητος.] Κόρον ἔχειν τῆς κακίας.

291. Σύναγεν νεφέλας.] Πρὸς ἀνθρώπους πάντες πάντων ἐξαπίνης ἔχεσθαι.

NOTÆ.

283. Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ) *Florentin. Hervagian. Stephan. Castellion. Elzevirian.* Edit. εἶδεν habent, non sine Versûs detrimento: Legendum ἴδεν, ut *Lovaniana, Spondaniana* & *Romana Eustathii*; quare *Henr. Stephan* debuit saltem inter *Var. Lect.* hanc quoque agnoscere. *Solymi* autem Populus *Lyciæ* conterminus, ut *Pindari* Scholiast. ad Olympionic. 13. v. 129. à Monte *Solymo*, aliàs dicti *Pisidæ*, *Plinio* & *Stephano*. Vid. *Strabon.* & *Herodot.* l. 1. c. 173. *Eustath.* fol. 489. lin. 7.

288. Καὶ δὴ Φαιήκων γαίῃ χεδὸν) Ἰπακτικὸν, Ὀδυσεύς ἐστι. *Genitivus* & *Dativus* ad χεδὸν retertur, hic potiùs γαίῃ legendum, quàm γαίης ob σ' sequens in χεδόν. Vid. ad *Var. Lect.*

NOTÆ IN SCHOLIA.

281. *Ἀχλὺν, pro corrupto ἀρχὴν, vidit hìc olim ponendum *Meric. Casaubon.* De nuperâ *Homeri* Editione, p. 66. quod & sequentia *Scholii* verba confirmant: etiam, ut nunc video, Duo MSS. nostra; quare ἀρχὴν rejicio. Lego, ἑλινὸν, pro ἑλινεὸν, & ἕλινον, pro ῥινὸν ex *Hesychio*, Ἕλινον) Νέφος.

291. *Scholii* hujus verba per se satis obscura, ità explico. Miretur aliquis, quomodo *Neptunus* dicatur συνάγειν νεφέλας, cùm *Jupiter* sit proprie νεφεληγερέτης; *Scholiastes* ait, Πρὸς ἀνθρώπους, οἱ πάντες θεοὶ

VARIÆ LECTIONES.

278. Ἑπτακαιδέκατον) γρ. ἑπτὰ δὲ καὶ δέκα.

281. Ὡς ὅτε ῥινὸν) γρ. ὡς ὅτ' ἐρινὸν, *Br. Schol.* Vid. Not. in *Textum*.

283. Ἴδεν) γρ. εἶδεν, vid. Not. in *Textum*.

284. Ἐπιπλείων) γρ. ἐπιπλώων, *H. Steph.*

288. Γαίῃ χεδὸν) γρ. γαίης χεδὸν, γαῖα χεδόν. Nam γαίῃ malè in *Nominat.*

289 Πεῖρας) γρ. πεῖρα, *H. Steph.*

290. Φημὶ ἄδην) γρ. φήμ' ἄδδην, vid. ad ε'. v. 203.

Χερσὶ

Χερσὶ τελάσσαν ἐλών· πάσας δ' ὀρόθυνεν ἀέλλας
Παντοίων ἀνέμων· σὺν δὴ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' ἐξαπίνης νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς,
Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγὼ δειλὸς, τί νύ μοι μήκιστα γένηται;
Δείδω, μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
Ἣ μ' ἔφαθ' ὃν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἄλγε' ἀναπλήσειν· τάδε δὴ νῦν πάντα τελεῖται.
Οἷοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεὺς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ' ἄελλαι
Παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Τρὶς μάκαρες Δαναοὶ, καὶ τετράκις, οἵ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρεΐδῃσι φέροντες.
Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Ἤματι τῷ, ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα

Manibus tridente capto: omnes verò concitavit procellas
Omnium ventorum; nubibus utique operuit
Terram simul & pontum; ingruebat adeò à cœlo nox.
Unà Eurúsque Notúsque ruebat, Zephyruſque vehemens,
Et Boreas frigidus, ingentem fluctum provolvens.
Et tunc Ulyſſis ſolvebantur genua & amicum pectus;
Triſtatuſque dixit ad ſuum magnanimum animum,
" Heu me miſerum, quid mecum tandem fiet?
" Vereor, ne jam omnia dea vera dixerit,
" Quæ me dicebat in mari, priuſquam in patriam terram pervenirem,
" Dolores impleturum eſſe: ea certè nunc omnia perficiuntur.
" Qualibus nubibus coronat cælum latum
" Jupiter! commovitque mare! ingruunt verò procellæ
" Omnium ventorum: nunc mihi repoſitum certum exitium.
" Ter beati Græci & quater, qui quondam perierunt,
" Trojâ in latâ, Atridis gratificantes.
" Utinam ego debuiſſem mori, & fatum aſſequi
" Die illo, quando mihi plurimi ſerratas haſtas

ΣΧΟΛΙΑ.

292. Τελάσσαν ἐλών.] Εὐσχημόνως πρὸς τὸ κινῆσαι. φέρεσθαι γὰρ εἶχεν ἀχώριστον. Ὀρόθυνεν.] Ἐπέσεγξε, συνήγαγε.

294. Ὀρώρει.] Ἐκινεῖτο, παρωρμᾶτο. Νύξ.] Σκότος.

295. Δυσαὴς.] Δύσπνους, ἢ λαὶ δυσμῶν πνέων· ἢ διπλοῦς καθὼ τὸ πνεῖν· καὶ γὰρ ἀναψύχει τοὺς ἀνθρώπους.

296. Αἰθρηγενέτης.] Αἰθρίαν καὶ εὐδίαν ποιῶν· ἢ αἰθρηγενὴς ποιῶν, ὅ ἐστι παίζων.

297. Λύτο.] Ἀντὶ τοῦ, ἐλύθη.

299. Δειλὸς.] Δείλαιος, δυσυχής. Τί νύ μοι μήκιστα γένηται;] Τίνα μοὶ τούτων δύναται χείρονα γενέσθαι;

NOTÆ IN

297. Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα) *Livius Andronicus* in *Odyſſeâ*. Igitur demùm *Ulyxi* cor fixit præ pavore. Vid. *Servium* in Æn. l. 1. v. 96. Vid. ad Δ. v. 703. ubi *Meibomii* Lectio exploſa.

306. Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις) Hos Ver-

πάντων ἐξουσίαν ἔχουσιν. Ità *Minerva* in *Græcos* ex *Trojâ* redeuntes fulmine uſa eſt. *Pallaſne exurere claſſem Argivûm*, &c.

299. Τί νυ βείομαι, lego ex *Homer.* χ'. v. 431.

VARIÆ LECTIONES.

295. Τ' ἔπεσε) χρ. τ' ἔπεσεν, & τὸ πίσειν, *H. Steph. Ib.* Δυσαὴς) χρ. δισαὴς, *Br. Schol.* ut per διπλοῦς, &c. patet.

297. Λύτο) χρ. λῦτο, vid. ad Δ. v. 703.

SCHOLIA.

non obſtante MSto & Codd. *Impreſſ.* qui legunt βίομαι.

305. Νῦν μοι σῶς αἰπὺς ὄλεθρος) Τοῦτό ἐστιν, ἀντὶ θανάσιμος, ità ex MS. *Σῶς, νημερτὴς, & hoc ex *Aloyſ.* MS.

299. Τί νυ) χρ. τίνα, *Br. Schol. Ibid.* Μήκιστα) χρ. μάκιστα, *Br. Schol.* & MS. *GC.*

308. Ὡς δὴ) χρ. ἐς δὴ, *H. Steph.*

Τρῶες ἐπέρριψαν περὶ Πηλείωνι θανόντι.
Τῷ κ' ἔλαχον πτερέων, καί μιν κλέος ἦγον Ἀχαιοί.
Νῦν δέ με λιγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Ὡς ἄρα μὶν εἰπόντ' ἔλασεν μέγα κῦμα καθ' ἄκρης,
Δεινὸν ἐπεστύμφον, περὶ δ' ἅλιτο ἐλέλιξεν.
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
Ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἶφι ἔαξε
Δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα.
Τηλοῦ δὲ σπεῖρον τε ἐπίκριον ἔμπεσε πόντῳ,
Τόνδ' ἄρ' ὑπόδρυχα ἦκε πολὺν χρόνον· οὐδέ δυνάθη
Αἶψα μάλ' ἀνασχεθέειν, μεγάλῳ ὑπὸ κύματος ὁρμῇς·
Εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ·
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, γόμαλος δ' ἐξέπτυσεν ἅλμην
Πικρὴν, ἥ οἱ πολλὴ ἀπὸ κροτὸς κελάρυζεν.
Ἀλλ' οὐδ' ὡς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
Ἀλλὰ μεθορμηθεὶς ἐν κύμασιν, ἐλλάβεθ' αὐτῆς·
Ἐν μέσῃ δὲ κάθιζε, τέλος θανάτου ἀλεείνων.
Τὴν δ' ἐφορᾷ μέγα κῦμα κατ' ῥόον ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
Ἀμπεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται·
Ὡς τὴν ἀμπέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα.

" Troës contorserunt circa Achillem mortuum;
" Tum sortitus essem parentalia, & meam gloriam celebrâssent Græci:
" Nunc me tristi morte decretum est perire.
Sic certè ipsum loquutum pepulit ingens fluctus à vertice,
Horrendùm irruens, invertítque prorsus ratem.
Longè verò à rate excidit, clavúmque
Ex manibus projecit, medium verò malum ei fregit
Horrenda commixtorum ventorum irruens procella.
Longè itaque velum & antenna incidit ponto,
Illum sub aquâ detinuit longo tempore; neque potuit
Valdè statim emergere, magni sub fluctûs impetu:
Vestes enim gravabant, quas illi præbuerat diva Calypso.
Tandem tamen emersit, & ex ore evomuit salsuginem
Amaram, quæ ei copiosa à capite defluebat.
Sed neque sic ratis oblitus est, tametsi afflictus,
Verùm impetu facto in fluctibus apprehendit eam:
In medio autem sedit, finem mortis effugiens.
Hanc ferebat ingens fluctus per undarum impetum huc atque illuc.
Quemadmodum quoties autumnalis Boreas fert spinas
Per campos, densæ autem invicem cohærent:
Sic illam per mare venti ferebant huc atque illuc.

ΣΧΟΛΙΑ.

310. Περὶ Πηλείωνι θανόντι.] Ἴσως ἀφ' τοῦ Θέτιν, ἣ Ἀχιλλέως ἐμνήσθη.
311. Τῷ κεν.] Οὕτω δ' ἄν. Ἔλαχον.] Ἔτυχον, ἐξιώθην. Ἦγον.] Διέφερον, διεδίδοσαν.
312. Λυγαλέῳ.] Ἀδέξῳ, ἢ ἀδιωάτῳ, ἢ τῷ δι' ὕδατος. Εἵμαρτο.] Πέπρωτο. Ἁλῶναι.] Ἀποθανεῖν.
313. Ἔλασεν.] Ἔπεισεν, συνέκρουσεν, ἔπληξεν. Κατ' ἄκρης.] Κατὰ κεφαλῆς· ἢ ἀντὶ τοῦ ὅλον· κατ' ἄκρας πόλιν ἑλεῖν, φασί.
314. Ἐλέλιξεν.] Ἔσεισεν.
316. Προέηκεν.] Ἀφῆκεν, ἐξέβασεν.
318. Σπεῖρον.] Νῦν τὸ ἄρμενον.

ΝΟΤΑ.

323. Κελάρυζεν) Ità *Textum* restituo, ità olim *Florentina*, *Aldina*, & *Lovaniana* &c. *H. Stephanus* κελάρυσε, per errorem prieli, & multa ejusmodi; hinc alii usque ad *Elzevir.* &c.
325. Ἐλλάβεθ' αὐτῆς) Vid. ad *Iliad.* ε'. v. 83. & ad *Odyss.* η'. v. 145. Ἐλάβεθο, *Br. Schol.*

VARIÆ LECTIONES.

323. Πολλὴ) γρ. πολλόν. *H. Steph.* *Ibid.* Κελάρυζεν) γρ. κελάρυσεν, *H. Steph.* Vid. Not. in *Textum.*
319. Ὑπόβρυχα.] Ὑποβρύχιον· βάλλει δὲ λέγειν τὸ καταδεδυκότα εἰς τὸ ὕδωρ.
320. Ἀνασχεθέειν.] Ἧτοι ἀνῆξαι, ἢ ἀνελθεῖν.
323. Κροτός.] Κεφαλῆς. Κελάρυζεν.] Μᾶλλον ἦκε ἔῤῥει.
324. Τειρόμενος περ.] Καὶ καταπονούμενος.
325. Ἐλάβετο.] Ἐπιλάβετο, κατέχει.
326. Τήλοσε θανάτοιο | Τῆ θανάτῳ.
327. Κατὰ ῥόον.] Κατὰ τὸ ῥεῦμα.
328. Ὀπωρινός.] Ὁ ἐν τῇ καιρῷ τῆ ὀπώρας, ὅ ἐστιν ἐν τῇ θέρει πνέων. Φορέῃσι.] Φέρει, κυφίζει.
329. Ἔχονται.] Ἀντέχοντα.

NOTÆ.

329. Ἀμπεδίον) *H. Steph.* ἀν πεδίον, nè notatâ aliâ *Lectione*; cùm tamen *Florentina* omnium vetustissima legat ἀμπεδίον, ut & *Aldina* & *Eustath.* & in sequenti Versu ἀμπέλαγος, quæ vera est *Lectio*, & in *Iliade* ferè perpetua, ut ad *Iliad.* ε'. v. 87.
330. Ἀμπέλαγος) Vid. ad Not. præcedent.

VARIÆ LECTIONES.

329. Ἀμπεδίον) γρ. ἀν πεδίον, vid. Not. in *Textum.*
330. Ἀμπέλαγος) γρ. ἀν πέλαγος, vid. ut supra.

Ἄλλοτε

Ἄλλοτε μὲν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
Τόνδε ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνὼ,
Λευκοθέη, ἣ πρὶν μὲν ἦεν βροτὸς αὐδήεσσα,
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἔξ ἔμμορε τιμῆς.
Ἣ ῥ' Ὀδυσῆι ἐλέησεν ἀλώμενον, ἄλγε' ἔχοντα,
Αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης.
Ἵζε δ' ἐπὶ σχεδίης πολυδέσμου, εἶπέ τε μῦθον,
Κάμμορε, πῶς τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ὠδύσατ' ὀκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
Οὐ μὲν δή σε καθαφθίσει, μάλα περ μεμεναίνων.
Ἀλλὰ μάλ' ὧδ' ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν,
Εἵματα ταῦτ' ἀποδὺς, σχεδίην ἀνέμοισι φέρεσθαι
Κάλλιπ'· ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου
Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
Τῇ δὲ τόδε κρήδεμνον ἐμὸν φέρεο τάνυσσαι

Interdum quidem Notus Boreæ objectabat, ut ferret,
Interdum vero rursus Eurus Zephyro cessit, ut persequeretur.
Hunc vidit Cadmi filia, pulchris-talis Ino,
Leucothea, quæ antè quidem erat mortalis terrestris;
Nunc vero maris in fluctibus deorum sortita erat honorem.
Hæc Ulyssem miserta erat vagabundum, dolores habentem;
Mergo verò assimilis volatu emersit è gurgite,
Seditque in rate, & ipsum sermone alloquuta est,
" Infelix, quid tibi sic Neptunus terram concutiens
" Iratus est ferociter, quòd tibi mala multa ingerit?
" Nequaquam tamen te perdet, licet hoc summoperè studens.
" Sed certè sic fac, videris mihi non desipere,
" Vestibus his exutis, ratem ventis ferre
" Derelinque; cæterùm manibus natans quære reditum
" Ad terram Phæacum, ubi tibi fatum est effugere.
" Accipe etiam hanc vittam & sub pectore extendas

ΣΧΟΛΙΑ.

331. Προβάλεσκε.] Προεβάλετο, ἄθη.
332. Εἴξασκε.] Παρεχώρει.
333. Τὸν δ' ἴδεν Κάδμου θυγάτηρ.] Ἐλεεῖ αὐτὸν, ὡς ἄνθρωπον γνωρίμην, Ἰνὼ, ἣ ὅτε ἦν φιλογύνης ὁ Ὀδυσσεὺς, ἡ δὲ ἀφ' ἧς τ' Ἀθάμαντα ἐδυσύχησεν· σὺν συναλιεῦται δὲ τῷ Ποσειδῶνι. Καλλίσφυρος.] Καλὰ σφύρα ἔχουσα, ὁ ἐστι πόδας.
334. Λευκοθέη.] Λευκοθέα σπλήθη ἡ Ἰνὼ, ἀπὸ δὲ θεῶσαι, ὅ ἐστι δραμεῖν, ἀφ' ὧν λεγομένη Λευκοῦ πεδίου τοῦ Μιλησίου. Αὐδήεσσα.] Ἦτοι ἀφιβόητος ἀφ' οὗ συμβάντος· ἢ ἐπὶ οἱ ἄνθρωποι φωνήεντες πρὸς τὰ ἄλλα ζῶα· Πρὶν ἐδήεσσα.] Ἡ ἐπίγειος πρότ.
335. Ἐξέμμορε τιμῆς.] Μοῖραν ἔχει τιμῆς.
337. Αἰθυίῃ δ' εἰκυῖα ποτῇ.] Σὺν τῷ ν γραπτέον,

ἵν' ᾖ πῆσιν, ὡς τῷ ὁρμῶ ἀπελλαττομένῃ μὴ τι εἰκαιον τῇ αἰθυίᾳ, ὡς καὶ ἡ Ἀθηνᾶ. Ὄρνις δ', ὡς ἀνόπτως διέπτατο, καὶ, Φιλόη εἰδομένη. αἰθυῖα ἢ εἶδος ὀρνέου θαλασσίου. Ποτῇ, ἢ ποτῇ.] Τῷ πῆσιν, τῇ πλησ.
340. Ὠδύσατο.] Ὠργίσθη. Ἐκπάγλως.] Πάνυ ἐξόχως.
341. Καθαφθίσῃ.] Φθαρῆναι ποιήσῃ.
342. Ἔρξαι.] Πεῖσον. ἀπαρέμφατον, ἀντὶ προστακτικοῦ. Δοκεῖς.] Δοκεῖς, νομίζῃ. Οὐκ ἀπινύσσειν.] Οὐκ εἶναι ἀσύνετον.
344. Κάλλιπε.] Καβάλιπε, ἔασον. Νέων.] Νηχόμενον, κολυμβῶν. Ἐπιμαίεο.] Ἐφίεσο, ἐφικνοῦ.
345. Ἀλύξαι.] Ἐκφυγεῖν.
346. Τῇ.] Λαβὲ, δωρικῶς. Κρήδεμνον.] Κεφαλόδεσμον. Τάνυσσαι.] Ἁπλῶσαι, ἀντὶ δὲ ἅπλωσον.

NOTÆ.

334. Ἣ ῥ' ἦεν μὲν ἔπειτα βροτὸς αὐδήεσσα) Quùm neque θεὸς ἦσα, αὐδῆς ἱστορεῖσθω, ut mox videbimus, suspicor hoc certè loco legendum, ἐδήεσσα, quam vocem *Br. Schol.* per τὸ ἐπίγειον exponunt. Hæc sanè *Lectio* semper inter *Var. Lect.* numeratur, quoties in *Textu* αὐδήεσσα legitur; & ubi de Deâ inferiori dicitur, ut de *Circe*, *Calypsone*, & hâc *Leucotheâ*, videtur ideò dici; quòd hæ Deæ non utique *Cœlestes* essent, verùm *Terrestres*, aut certè *sublunares*: quare ἐδήεσσα non est hìc prorsùs nihili habenda. Vox enim αὐδήεσσα æquè ad Cœlestes Deas refertur; quod semel hìc moneo: est αὐδήεις, qui

VARIÆ LECTIONES.

333. Τόνδε ἴδεν) γρ. τόνδ' εἶδεν, *H. Steph.*
334. Αὐδήεσσα) γρ. ἐδήεσσα, *Br. Schol.* vid. Not. in *Textum*.
335. Θεῶν ἐξ ἔμμορε) γρ. θεῶν ἐξέμμορε, *Florentin. Lovan.* & *Br. Schol.*
337. Ποτῇ) γρ. ποτὶ, *Eustath.* MSS. *GC.* & *Aloysii*, *Br. Schol. H. Steph.*
338. Πολυδέσμου, εἶπέ τε μῦθον) γρ. καὶ μιν ὧδε μῦθον ἔειπεν, *Florentin. Lovan. Aldin.* & *H. Steph.*
342. Ἔρξαι) γρ. ἔρξον, *H. Steph.*
346. Στέρνοισι) γρ. στέρνοις, *H. Steph.*

Ἄμβροτον· οὐδέ τοι παθέειν δέος, οὐδ' ὀπολέσθαι.
Αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
Ἄψ ὀπερύσαι μάψος βαλέειν εἰς οἰνοπα πόντον,
Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ὑπὸ νόσφι τεραπέσθαι.
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
Αὐτὴ δ' αὖ ἐς πόντον ἐδύσετο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγώ, μήπις μοὶ ὑφαίνησιν δόλον ἄλλον
Ἀθανάτων, ὅτε μὲ σχεδίης ὀπερύσσαι ἀνώγῃ.
Ἀλλὰ μάλ' οὔπω πείσομ· ἐπεὶ ἐκὰς ὀφθαλμοῖσι
Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοὶ Φάτο φύξιμον εἶναι.
Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄμεινον·
Ὄφρ' ἂν μοὶ κὲν δῆρατ' ὀν ἁρμονίῃσιν ἀρήρῃ,
Τόφρ' αὐτῇ μιμνέων τλήσομαι ἄλγεα πάσχων·
Αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα πνάξῃ,
Νήξομ'· ἐπεὶ οὐ μοὶ πάρα φραζέσθαι ἄμεινον.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατ' φρένα καὶ κατ' θυμόν,
Ὦρσεν ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ', ἀργαλέον τε, κατηφέα· ἤλασε δ' αὐτόν.
Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα πνάξῃ

" Immortalem, neque tibi sic pati timor, neque perire.
" Porrò postquam manibus contigeris littus,
" Rursus resolvens projice in nigrum pontum,
" Longè à continente, ipse insuper seorsum aversus fis.
Sic utique loquuta dea vittam dedit;
Ipsa verò rursus in pontum ingressa est fluctuantem,
Mergo adsimilis; nigerque ipsam fluctus obtexit.
Cæterùm ipse hæsitabat perpessitius divus Ulysses,
Ingemiscensque dixit ad suum magnanimum animum,
" Heu mihi, nè quis mihi struat dolum alium
" Immortalium, quando me à rate descendere jubet.
" Veruntamen minimè parebo; quoniam longè ab oculis
" Terram ego vidi, ubi mihi dixit effugium esse:
" Sed sic faciam, videtur verò mihi esse optimum:
" Quamdiù sanè ligna in compagibus compacta perstiterint,
" Tamdiù hic manebo & sustinebo dolores patiens;
" Cæterùm postquam mihi ratem fluctus discusserit,
" Natabo; nam nihil est in promptu excogitare commodius.
Dum ille hæc cogitabat in mente & in animo,
Excitavit ingentem fluctum Neptunus terræ-quassator,
Horrendúmque, gravem, & excelsum: impulit etiam ipsum.
Veluti autem ventus vehementer-spirans palearũ arcervum conquassat

ΣΧΟΛΙΑ.

348. Ἐφάψεαι.] Ἐπιλάβῃ.
350. Πολλὸν ἀπ' ἠπείρου.] Ἵνα μὴ τὸ κῦμα ὀκβρήσσῃ.
356. Ὑφαίνησιν.] Καθασκευάζῃ.
358. Πείσομαι.] Πειθήσομαι.
359. Φύξιμον.] Φευκτόν.
360. Ἔρξω.] Ποιήσω.
361. Ἀρήρῃ.] Ἥρμοσται.
364. Νήξομαι.] Κολυμβήσω. Οὐ μήν τι πάρα φρονῆσαι ἄμεινον.] * Τοῦτο κρεῖττον ἢ μὲ πάρεστι νοῆσαι.
365. Ὥρμαινε.] Διενοεῖτο.
367. Κατηρεφές.] Ὑψηλὸν, ἐπισάσαι μήν καὶ καταλύσαι αὐτόν.
368. Ζαὴς.] Μεγάλως πνέων, πολύπνους. Ἠΐων.] Ἀχύρων, παρὰ τὸ εἶναι ἐ φέρειν τὰ χύσεως τὸ ἄχυρον. δηλοῖ δὲ καὶ τὸ βράσσειν καὶ ἐφόδια· Θημωνία.] Σωρόν.

NOTÆ.

humanâ voce præditus, articulatè loquitur, ut ζ'. v. 125. Item *Canorus*, ut *Hesiod.* Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα πρῶτοι, θέσπιον, αὐδήεντα.
365. Ἕως ὁ) *Amphibrachys*, loco *Spondæi*, aut *Dactyli*, ut ad *Iliad.* α'. v. 193. Vid. ad *Var. Lect.*
368. Ἠΐων) Hæc vox δισυλλάβως consideranda, τρισυλλάβως scribenda, ut v. 266.

NOTÆ IN SCHOLIA.

364. Οὐ μήν τι πάρα φρονῆσαι ἄμεινον) * Τοῦτο κρεῖττον ἢ μὲ πάρεστι νοῆσαι. Hæc Verba cùm in *Aloysii* essent MSto, pleniùs exhibui *Textum*, ut utrinque essent Paria.

VARIÆ LECTIONES.

356. Ἄλλον) γρ. αὖτε, *Florent. Aldin.* & *H. Steph.* Editt. & *H. Steph.* Cætera, ut nos.
359. Φύξιμος) γρ. φεύξιμος, MS. GC. & MS. *Aloysii.*
365. Καὶ κατὰ θυμὸν) γρ. δῖος Ὀδυσσεύς. *Roman.*
366. Ὦρσεν ἐπὶ) γρ. ὦρτο δ' ἐπὶ, tum verò τὸ ὃ περίκειται. Omnes ferè Codd.

Καρφα-

Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλη·
Ὡς δ' δύρατα μακρὰ διεσκέδασ'· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφ' ἑνὶ δύρατι βαίνε, κέλητι δ' ὡς ἵππον ἐλαύνων,
Εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Αὐτίκα δ' ὑπὸ στῆθος ἑὸν κρήδεμνον ἔθηκεν·
Αὐτὸς δ' πρηνὴς ἀλὶ κάππεσε, χεῖρε πετάσσας,
Νηχέμεναι μεμαώς· ἴδε δ' ἐνοσίχθων ἐνοσίχθων,
Κινήσας δ' κάρη γε κατὰ ὃν μυθήσατο θυμόν,
Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἁλόα κατὰ πόντον,
Εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Ἀλλ' ὦδ' οὔ σε ἔολπα ὀνοσσέμεν κακότητος.

Sic ait, & flagellum impulit pulchrè comos equos;
Perveníque ad Ægas, ubi ei inclytæ ædes sunt.
Cæterùm Pallas, filia Jovis, alia cogitavit;
Atque aliorum ventorum obstruxit vias;
Quiescere verò jussit, & consopiri omnes:
Excitavit tamen velocem Boream, cùm fluctus priùs fregerat,
Donec ipse Phæacibus rei-nauticæ studiosis miscereturInclytus Ulysses, morte & fato evitato.
Hic duas noctes, duósque dies in fluctu nigro
Errabat: sæpéque ei cor ante oculos proponebat mortem.

Ὡς ἄρα φωνήσας, ἵμασεν καλλίτριχας ἵππους,
Ἵκετο δ' εἰς Αἰγὰς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς, ἄλλο ἐνόησεν·
Ἤτοι τοὺς ἄλλων ἀνέμων κατέδησε κελεύθους,
Παῦσαι δ' ἐκέλευσε καὶ βένθιλλαν ἅπαντας·
Ὦρσε δ' ἐπὶ κραιπνὸν Βορέην, προὔ-ῆ κύμαθ' ἔαξεν,
Ἕως ὅγε Φαίηκεσσι φιληρέτμοισι μιγείη
Διογενὴς Ὀδυσσεὺς, θάνατον καὶ κῆρας ἀλύξας.
Ἔνθα δύω νύκτας, δύο δ' ἤματα κύματι πηγῷ
Πλάζετο· πολλὰ δέ οἱ κραδίη προθελύετο λέθρον.

Sic certè loquutus impulit pulchrè comos equos;
Perveníque ad Ægas, ubi ei inclytæ ædes sunt.
Cæterùm Pallas, filia Jovis, alia cogitavit;
Atque aliorum ventorum obstruxit vias;
Quiescere verò jussit, & consopiri omnes:
Excitavit tamen velocem Boream, cùm fluctus priùs fregerat,
Donec ipse Phæacibus rei-nauticæ studiosis miscereturInclytus Ulysses, morte & fato evitato.
Hic duas noctes, duósque dies in fluctu nigro
Errabat: sæpéque ei cor ante oculos proponebat mortem.

ΣΧΟΛΙΑ.

369. Καρφαλέων.] Ξηρῶν. Διεσκέδασεν.] Διεσκόρπισεν. Ἄλλυδις ἄλλη.] Ἄλλα ἀλλαχόσε.

371. Κέλητι δ' ὡς ἵππον.] Ὡς κέλης, ὅ ἐστιν ὁ ἄξιόχρεως ἵππος. Βαίνε.] Περιέβαινεν. Κέλητι.] Μόνον ἵππον.

372. Ἐξαπέδυνεν.] Ἀπεδύσατο.

374. Πρλιὴς.] Ἐπὶ πολύπονον.

375 Νηχέμεναι.] Νήχεσθαι, κολυμβᾶν.

377. Ἁλόα.] Πλανῶ.

379. Ὀνόσσεσθαι κακότητος.] Ἐξαπατήσειν τὴν κάκωσιν, ἢ μεμψασθαι.

381. Αἰγαὶς] Πόλιν τῆς Ἀχαΐας· οἱ δὲ νῆσον περὶ τὴν Εὐβοίαν, ἱερὰν Ποσειδῶνος.

383. Κατέδησε.] Κατέσχεν, *ἔπαυσεν. Κελεύθους.] Νῦν τὰς πνοάς.

385. Κραιπνὸν.] Ταχὺν, ἢ ὀξύν. Προὔ-ῆ κύματ' ἔαξεν.] Κατέαξε τὰ τῶν ἄλλων *ἀνέμων κύματα· ἐπιφέρει γάρ, μιχάλιχ ὑπὸ κύματος ἀρθείς.

388. Πηγῷ.] Οἱ μὲν γλωσσογράφοι, μέλανι καὶ ἰχυρῷ· πηγὰς δὲ καληναίας· χρῆσιν δὲ ὑπάγει καὶ ὑσμῖνα. Ἐν ὑμιγέθη.

389. Πλάζετο.] Ἐπλανᾶτο, περιεπάλαζε τῇ γῇ. Προθέοιτ' ὄλεθρον.] Ἐν ὀφθαλμοῖς γὰρ φανερῶς ἐφέρετο τὸν ἑαυτοῦ ἀπόλεσιν.

NOTÆ.

371. Κέλητι ὡς ἵππον ἐλαύνων) De *Celete* Equo, Nos plura, *Pindar.* Prælect. IX. ferè ad finem.

NOTÆ IN SCHOLIA.

383. *Ἔπαυσεν) Pro ἔπαισεν lego, ex MSS.

385. Vocem *ἀνέμων, quæ hactenùs desiderabatur, restituo, ex *Eustath.* fol. 1544. lin. 43. Ἤτοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους, τουτέστι, κύματα ἔπαυσεν ἔτι πνέειν. Confer ipsum *Poet.* v. 383.

389. Γὰρ, pro κὴ, lego.

VARIÆ LECTIONES.

369. Ἄλλη) γρ. ἄλλη, vid. Not. in *Schol.* ad v. 71.

385. Κύματ' ἔαξεν) γρ. κύματα ἄξεν, *Dionys. Halic.* Vit. *Hom.*

386. Ἕως ὄγε) γρ. ἕως ὅδε, *H. Steph.* &, ὡς ὅγε.

388. Δύο δ') γρ. δύο τ', *H. Steph.*

Ἀλλ'

390 Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἦδε γαλήνη
Ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν εἰσιδε γαῖαν,
Ὀξὺ μάλα προϊδών, μεγάλῳ ὑπὸ κύματος ἀρθείς.
Ὡς δ' ὅταν ἀσπάσιος βίοτος παίδεσσι φανείη
395 Πατρὸς, ὃς ἂν νούσῳ κεῖται κρατερὰ ἄλγεα πάσχων,
Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν·
Ὡς Ὀδυσῆι ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη·
Νῆχε δ', ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι·
400 Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης·
Ῥόχθεε γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Δεινὸν ἐρευγόμενον· εἴλυτο δὲ πάντ' ἀλὸς ἀχνὴ·
Οὐ γὰρ ἔσαν λιμένες, νηῶν ὄχοι, οὐδ' ἐπίωγαὶ,
405 Ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμὸν,
Ὤ μοι· ἐπειδὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι

Sed quando jam tertiam diem pulchricoma adduxit aurora,
Deinde tunc ventus quidem quievit, atque serenitas
Erat tranquilla; ipse verò propè conspexit terram,
Valdè acutè prospiciens, à magno fluctu levatus.
Ut autem desiderata vita filiis appareat
Patris, qui morbo decumbit immensos dolores patiens,
Diù contabescens, infestus autem ei ingruit deus:
Optatò quidem hunc dii à morbo liberârunt:
Sic Ulyssi optatò apparuit terra & sylva.
Natabat verò, nitens pedibus continentem conscendere;
Sed cùm tantum abesset, quantum auditur clamans,
Illicò sonitum audivit ad scopulos maris,
Murmurabat enim ingens fluctus ad aridam continentis
Horrendùm eructans, obducta verò erant omnia maris aspergine:
Non enim erant navium portus capaces, neque secessus,
Sed littora projecta erant, scopulique saxaque.
Tunc Ulyssi soluta sunt genua & charum cor,
Ingemiscènsque dixit ad suum magnanimum animum,
" Heu mihi; postquam terram insperatam dedit videre

ΣΧΟΛΙΑ.

392. Νηνεμίη.] Ἥσυχος, χωρὶς πνοῆς.
393. Ἀρθείς.] Ἐπαρθείς, κυφισθείς.
394. Βίοτος.] Βίος, ζωή.
395. Κραπεά.] Ἰσχυρά. Ἄλγεα.] Νῦν ὀδύνας.
396. Ἔχραε.] Ἐπέσκηψεν, ἢ ἐπιβάρησεν, ἢ μᾶλλον βλάβης ἐπῆλθεν.
397. Κακότητος.] Τῆς κινδύνου τῆς νόσου.
398. Ἀσπαστὸν.] Ἐπιθυμητόν.
399. Νῆχε.] Ἐνήχετο, σπουδάζων.
400. Ἀπῆν.] Ἀφειστήκει. Ὅσσον τε γέγωνε βοήσας.] Ὡσεὶ ἐξάκουστον γενέσθαι βοήσαντα.
401. Σπιλάδεσσι θαλάσσης.] Ὑφάλοις πέτραις.
402. Ῥόχθεε.] Ποῖον ἦχον ἀπετέλει. Ποτὶ ξερὸν ἠπείροιο.] Πρὸς τὸ ξηρὸν τῆς γῆς· λέγει δὲ τὸ πετρῶδες τῆς ἀκτῆς.
403. Ἐρευγόμενον.] Μετὰ ἤχου ἀποβάλλον, * ἐκβρασσόμενον. Εἴλυτο.] Ἐκεκάλυπτο. Ἁλὸς ἀχνὴ.] Τὴ λεπτομερεστάτῃ δὲ ἀφρῷ, ἢ τῇ ἀκροθαρσίᾳ.
404. Νηῶν ὄχοι.] Οἱ σωτήριοι τῶν νεῶν· ἢ ἐφ' ὧν ὀχοῦνται καὶ ἀναπαύονται αἱ νῆες. Ἐπίωγαί.] Οἱ ἀνέμων σκέπην ἔχοντες τόποι· ἢ αἱ ἐξοχαὶ ἢ οἱ πλατεῖς αἰγιαλοί.
405. Ἀκταί.] Ἐξοχαί. Προβλῆτες.] Αἱ προβεβληκυῖαι τῆς θαλάσσης πέτραι. Σπιλάδες.] Αἱ διεσχισμέναι καὶ κεκοιλωμέναι πέτραι, ὑπὸ τῆς πλήξεως τῶν κυμάτων. Πάγοι.] Οἱ ὀξεῖς τόποι, αἱ πετρώδεις ἐξοχαὶ, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι, ἀναπεπταμένοι τόποι.
408. Ἀελπέα.] Ἀνέλπιστον.

NOTÆ.

402. Ξερὸν ἠπείροιο) Pro ξηρὸν, per *Ionicam* συστολὴν, ut *Anacreon*, v. 1267. ῥέγος, pro ῥῆγος, & v. 1272. λοπὸς, pro λῶπος.

403. Εἴλυτο δὲ πάντ' ἁλὸς ἀχνὴ) Cùm ab omnibus *Scholiastis* ἀχνὴ exponatur, ut *Dativus*, & πάντα sit *Nominativus*, mirum, à Nemine hactenùs scriptum, ut *Dativum*; quod nunc fieri curatum à nobis.

406. Καὶ τότ' Ὀδυσσῆος) Vid. ad v. 297.

NOTÆ IN SCHOLIA.

403. * Ἐκβρασσόμενον lego, pro corrupto ἐκβαζόμενον, ex 2 MSS.

404. Σκέπην, pro σκέπῃν, lego, ex *Aloysio*.

VARIÆ LECTIONES.

397 Ἀσπάσιον) γρ. ἀσπασίως. *Florent. Lov. H. Steph.*
398. Ὀδυσῆι) γρ. Ὀδυσεῖ, ut ὁ. v. 157.
403. Ἀχνὴ) γρ. ἄχνη, vid. Not. in *Textum*.
406. Λύτο) γρ. λῦτο, vid. suprà, ad v. 297.

Ζεὺς,

Ζεὺς, ᾧ δὴ τόδε λαῖτμα διαμήξας ἐπέρησα,
Ἔκβασις ὅππῃ φαίνεθ' ἁλὸς πολιοῖο θύραζε·
Ἔκτοσθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
Βέβρυχεν ῥόθιον, λιστὴ δ' ἀναδέδρομε πέτρη,
Ἀζηχὲς δὲ θάλασσα· ᾧ ἤπιος ἐπὶ πόδεσσι
Στῆμέναι ἀμφοτέροισι, ᾧ ἐκφυγέειν κακότητα,
Μήπως μ' ἐκβαίνοντα βάλῃ λίθακι προπὶ πέτρῃ
Κῦμα μέγ' ἁρπάξαν, μελέη δέ μοι ἔσσεται ὁρμή.
Εἰ δέ κ' ἔτι προτέρω παρανήξομαι, ἤν πῃ ἐφεύρω
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης,
Δείδω, μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα
Πόντον ἔπ' ἰχθυόεντα φέρῃ, βαρέα στενάχοντα,
Ἦ ἔτι μοὶ ᾧ κῆτος ἐπισσεύῃ μέγα δαίμων
Ἐξ ἁλός, οἷά τε πολλὰ τρέφῃ κλυτὸς Ἀμφιτρίτη·
Οἶδα γὰρ, ὡς μοι ὀδώδυσται κλυτὸς Ἐννοσίγαιος.
Ὣς ὃ ταῦθ' ὥρμαινε κατ' φρένα ᾧ κατ' θυμὸν,
Τοφρά δὲ μὶν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ' ἀκτήν.
Ἐνθ' ἀπὸ ῥινός τε ῥύφθη, σύν τ' ὀστέ' ἀράχθη,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφοτέρῃσι δ' χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
Τῆς ἔχετο στενάχων, εἷος μέγα κῦμα παρῆλθε.

"Jupiter, atque adeò has undas sulcans penetravi,
"Egressus nusquam apparet ex mari cano foras:
"Extra enim saxa acuta, undique etiam fluctus
"Fremit impetuosus, planéque eminet petra:
"Propè autem profundum mare; & nullo modo licet pedibus
"Consistere ambobus, & effugere ærumnas,
"Nè fortasse egredientem jactet ad lapidosam rupem
"Fluctus magnus abripiens, vanus verò mihi erit conatus.
"Sin adhuc ultrà natabo, si alicubi inveniam
"Littoráque obliqua, portusque maris,
"Vereor, nè me rursus abripiens procella,
"Pontum in piscosum auferat, gravitèr ingemiscentem;
"Aut etiam mihi & cetus immittat magnum deus
"Ex mari, qualia plurima nutrit clara Amphitrite:
"Novi enim, quàm mihi infensus est inclytus Neptunus.
Dum ille hoc deliberabat in mente & in animo,
Interea ipsum magnus æstus tulit ad asperum littus.
Ibi sanè cutis esset lacerata, simúlque ossa fracta,
Nisi in mentem indidisset dea cæsia Minerva:
Ambabus igitur manibus irruens apprehendit petram,
Quam amplectebatur ingemiscens; donec ingens fluctus præteriisset.

ΣΧΟΛΙΑ.

412. Βέβρυχεν.] Ἠχεῖ, βοᾷ, βρέμει, βρυχᾶται. Ῥόθιον.] Ἀπὸ τῆς γινομένης ἠχῆς τὸ σημαινόμενον, ἢ ῥοιζῶ φερόμενον, ᾧ ὀρμητικόν. Λιστή.] Ἡ λεία ἢ ὁμαλή. Ἀναδέδρομε.] Ἀνατείνει, ἀνῆκεν εἰς ὕψος.

413. Ἀζηχὲς δὲ θάλασσα.] Ἡ ἀγγὺς τῆς γῆς βαθὺς ἔχουσα.

415. Λίθακι.] Διὰ τοῦ πέτρᾳ * ὑποπλωκυίᾳ τῇ θαλάσσῃ, ἢ ἐξεχούσῃ.

416. Μελέη.] Ματαία.

418. Ἠϊόνας.] Αἰγιαλούς. * Παραπλῆγας.] Τὰς ὑπὸ πλαγίᾳ ᾧ ἐχὶ ἀντικρὺ, ἢ ὁμαλὰς τόπους· πίπτει δὲ τὰς ἀπὸ κυμάτων παραπλησιομένους λιμένας, ἐπιθετικῶς.

419. Θύελλα.] Ἀνέμων συστοφή.

420. Σπεράχοντα.] Σπεράζοντα.

422. Ἀμφιτρίτη.] Ἀπὸ τῆς θαλάσσης ἢ θαλάσσα.

423. Ὀδώδυσται.] Κεχόλωται, ὠργισται.

426. Ῥινός.] Δέρματος. Ῥύφθη.] Ἀπεδάρη, ᾧσεισαραάχθη, ἐξεδάρη. Ἀράχθη.] Σωστερέβη, ἢ ἐρράγη.

428. Ἐπεσσύμενος.] Ἐφερμώσας. Λάβε.] Ἐπελάβετο.

429. Σπεράχων.] Σπεράζων.

NOTÆ.

426. Ἔνθ' ἀπὸ ῥινός τε) *Florentina* Lectio, de quâ ad *Var. Lect.* nequaquam stabit, nisi vel τὲ rejiciatur, vel prior ᾧ ῥύφθη *communis* fiat: aliàs ῥινὸς admitti potest, cum τῷ κρᾷ subintellecto, ut τὸ ὀστέον quoque; & *Lectio* erit minimè contemnenda; & paulò pòst, v. 435. Ῥινοὶ ἀπεδύφθεν.

NOTÆ IN SCHOLIA.

415. * Ὑποπλωκυίᾳ, lego, pro ὑποπλωμένῃ, ex MSS.

418. * Παραπλῆγας) Hoc *Scholion* emendo & supleo, ex *Aloysii* MS.

VARIÆ LECTIONES.

415. Λίθακι ποτὶ πέτρῃ] γρ. λίθακι ποτὶ πέτρῃ, non æquè benè.

426. Ἔνθ' ἀπὸ ῥινός τε ῥύφθη) γρ. ἔνθα κ' ἀπὸ ῥινὸς τὲ ῥύφθη, *Florent. Aldin. Lovan. Hervag.* Vid. Not. in *Textum.* *Ibid.* Σύν τ' ὀστέ' ἀράχθη) γρ. σὺν δ' ὀστέ' ἀράχθη, Edit. *Eustathii Romana.*

Καὶ

Καὶ τὸ μὲν ὣς ὑπάλυξε· παλιρρόθιον δέ μιν αὖτις
Πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
Ὡς δ' ὅτε πουλύποδος, θαλάμης ἐξελκομένοιο,
Πρὸς κοτυληδονόφιν πυκιναὶ λάϊγγες ἔχονται·
Ὣς τῷ γε πρὸς πέτρῃσι θρασειάων ἀπὸ χειρῶν
Ῥινοὶ ἀπέδρυφθεν· τὸ δὲ μέγα κῦμα κάλυψεν.
Ἔνθα κε δὴ δύσμορος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεύς,
Εἰ μὴ ἐπιφροσύνῃσι δῶκε γλαυκῶπις Ἀθήνη·
Κύμαλος ἐξαναδύς, τά τ' ἐρεύγεται ἤπειρόνδε,
Νῆχε παρὲξ ἐς γαῖαν ὁρώμενος, εἴπη ἐφεύροι
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης.
Ἀλλ' ὅτε δὴ ποταμοῖο κατ' ῥόον καλλιρόοιο
Ἷξε νέων, τῇ δή οἱ ἐείσατο κάρτιστος εἶναι,
Λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο·
Ἔγνω δὴ προσέρεξε, καὶ εὐξάμενος κατὰ θυμόν,
Κλῦθι, ἄναξ, ὅστις ἐσσί· πολύλλιτον δέ σ' ἱκάνω,
Φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἀπειλάς.
Αἰδοῖος μὲν τ' ἐστὶ καὶ ἀθανάτοισι θεοῖσιν,
Ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
Σόν τε ῥόον, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας.

Et hunc sic effugit: revertens autem fluctus ipsum rursus
Percussit irruens, longéque ipsum injecit ponto.
Sicut Polypodis, è suo domicilio extracti,
Acetabulis multi lapilli adhærescunt:
Sic hujus ad scopulum fortibus à manibus
Cutis lacerata erat; hunc verò ingens fluctus obtexit.
Ibi tandem infelix præter fatum obiisset Ulysses,
Nisi prudentiam indidisset cæsia Minerva:
Ex fluctu emergens, quà propellitur ad littus,
Præternatabat in terram circumspiciens, ficubi inveniret
Littoráque fluctibus percussa, portúsque maris:
Sed quando nunc fluvii ad ostia pulchrifluentis
Pervenit natans, ubi ei visus est locus optimus,
Æquabilis & *vacuus* à petris, & receptio erat à ventis;
Agnovit sane profluentem, & supplicavit suo in animo,
" Audi, rex, quisquis es; exoptatissimum enim ad te venio,
" Fugiens ex ponto Neptuni minas.
" Venerabilis quidem est etiam immortalibus diis,
" Ex hominibus quicunque venerit errans, quemadmodum ego nunc
" Ad tuum fluentum, tuáque genua accedo, plurima passus.

ΣΧΟΛΙΑ.

430. Ὑπάλυξεν.] Ἐξέφυγεν. Παλιρρόθιον.] Παλινόρμητον, εἰς τὸ πίσω φερόμενον, ὁπ ἐκπικρὺ ῥέοντος.
431. Ἐπεσσύμενον.] Ἐπιὸν τὸ κῦμα.
432. Πουλύποδος.] Τῆ ὀκταπόδος· εἶδος ἰχθύος· ὁ ὀκταπήχης. Θαλάμης.] Φωλεοῦ, καταδύσεως.
433. Πρὸς κοτυληδονόφιν.] Πρὸς ταῖς κοτυληδόσι. κοτυληδόνες δέ εἰσιν αἱ τῶν πολύποδος πλεκτάναι, σκευτικῶς ὑπὸ τοῦ ποιητοῦ. Πυκιναί.] Πυκναὶ, συνεχεῖς. Λάϊγγες.] Μικραὶ λιθάρια, ἢ μικραὶ ψῆφοι.
435. Ῥινοί.] Τὰ δέρματα. Ἀπέδρυφθεν.] Ἀπεδέρθησαν, ἀπεσπάσθησαν, ἀπεξέσθησαν.
436. Δύσμορος.] Ἄθλιος.
437. Ἐπιφροσύνῃσι.] Σύνεσιν, ἐπίνοιαν.
438. Ἐξαναδύς.] Ἀναελθών. Ἐρεύγεται.] Μετ' ὄχθου φοβερήν ῥυπτει.
441. Στέρμα.] Τὸν εἴσοδον. Καλλιρόοιο.] Καλὰ ῥεύματα ἔχοντος.
442. Ἷξε.] Ἀφίκετο, παρεγένετο. Χώρος.] Τόπος.
443. Σκέπας.] Σκέπη.
444. Ἔγνω.] Ἐθαύμασε· ἢ ἤσθετο.
445. Πολύλλιτον.] Πολυλιτανδῶς.
446. Ἐνιπάς.] Ἀπειλάς.
448. Ἵκηται.] Ἱκετεύσῃ.
449. Ἱκάνω.] Ἀντὶ δ ἱκετεύω.

NOTÆ.

445. Κλῦθι, ἄναξ, ὅς' ἐσσὶ) *Florent. Aldin. Lovan.* & *Hervagian.* ὅστις ἐσσὶ legunt, & *Christoph. Wase*, de *Senario*, c. 2. p. 13. defendit, nescius. ὅπις dici posse πουηλικώτερον, ut notamus ad *Iliad.* γ'. v. 279. Verùm *H. Stephanus* hîc legit, ὅς' ἐσσί.

NOTÆ IN SCHOLIA.

433, Πρὸς κοτυληδονόφιν) In fine *Scholii*, * ϖϖβίβλην, lego, ex MS. GC. pro ϖϖβίβλη.

VARIÆ LECTIONES.

445. Ὅς' ἐσσὶ) γρ. ὅστις, & ὅπις, vid. Not. in *Textum*. *Ibid.* Πολύλλιτον) γρ. πολύλλιτος olim in pluribus; verùm *Eustathius*, & *H. Stephan.* Lectionem πολύλλιτον agnoscunt, & *Seberus*, MS. *Schol. Aloysii*, *Br. Schol.* Edit. *Aldin. Hervag.* & *Hesychius*, Sensu etiam postulante.

Ἀλλ'

Ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
Ὡς φάτ'· ὁ δ' αὐτίκα παῦσεν ἐὸν ῥόον, ἔσχε δὲ κῦμα·
Πρόσθε δέ οἱ ποίησε γαλήνιον· ἢ δ' ἐσάωσεν
Εἰς ποταμοῦ προχοάς· ὁ δ' ἄρ' ἄμφω γούνατ' ἔκαμψε,
Χεῖράς τε στιβαρὰς· ἀλὶ γὰρ δέδμητο φίλον κῆρ.
Ὤϊδέε δὲ χρόα πάντα· θάλασσα δὲ κήκιε πολλὴ
Ἂν στόμα τε, ῥινάς τε· ὁ δ' ἄπνυστος καὶ ἄναυδος
Κεῖτ' ὀλιγοπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν.
Ἀλλ' ὅτε δὴ ῥ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Καὶ τότε δὴ κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο·
Καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα μέθηκεν,
Ἄψ δ' ἔφερεν μέγα κῦμα κατὰ ῥόον· αἶψα δ' ἄρ' Ἰνὼ
Δέξατο χερσὶ φίλῃσιν· ὁ δ' ἐκ ποταμοῖο λιασθεὶς
Σχοίνῳ ὑπεκλίνθη, κύσε δ' ζείδωρον ἄρουραν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤ μοι ἐγὼ, τί πάθω; τί νύ μοι μήκιστα γένηται;
Εἰ μὲν κ' ὀ ποταμῷ δυσκηδέα νύκτα φυλάξω,
Μή μ' ἄμυδις ῥίγη τε κακὴ καὶ δῆλυς ἔέρση,
Ἐξ ὀλιγοπελίης, δαμάσῃ κεκαφηότα θυμόν·
Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέῃ ἠῶθι πρό.
Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην,

" Verum miſerere, rex, ſuppliex enim tibi eſſe profiteor.
Sic ait; ille continuò ſedavit ſuum fluentum, continuit & fluctum:
Et ante eum fecit tranquillitatem, & ſervavit eum
Ad fluvii oſtia: ille verò utrunque genu flexit
Manúſque fortes; mari enim afflictus erat charum cor.
Tumebat verò corpore toto, mare autem manabat copioſum,
Per óſque narésque; ille adeò abſque anhelitu & voce
Jacebat animo deficiens; vehemens etenim ipſum defatigatio invaſerat.
Sed poſtquam reſpiravit, & in mente animus collectus eſt,
Tum certè vittam à ſe ſolvit dex,
Et ipſam fluvium in ſalſuginoſum immiſit,
Retro igitur *illam* ferebat ingens fluctus per aquæ decurſū; ſtatimq; Ino
Suſcepit manibus charis: ille verò ex fluvio ſecedens
Junco recubuit, oſculatuſque eſt almam tellurem.
Ingemiſcens mox dixit ad ſuum magnanimum animum,
" Heu mihi, quid patiar? quid mecum tandem fiet?
" Siquidem in fluvio *per* difficilem nocte excubias egero,
" *Timeo*, nè me ſimul frigus malum & vegetans ros,
" Præ imbecillitate, conficiat afflictum animo;
" Aura enim ex fluvio frigida ſpirat matutino tempore.
" Si verò ad clivum conſcendens & umbroſam ſylvam

ΣΧΟΛΙΑ.

450. Ἐλέαιρε.] Ἐλέησον. Εὔχομαι.] Νῦν, λέγω.
451. Ἔσχε.] Ἐπέσχε, ἔπαυσε.
453. Προχοάς.] Τὰ εἰς θάλασσαν τῶν ποταμῶν στόματα, τὰς περιρύσεις.
554. Δέδμητο.] Ἐδεδάμαστο. Ἀλὶ γὰρ δέδμητο.] Τῇ θαλάσσῃ καταπεπονημένος ἦν.
455. Ὤϊδέε.] Ἔνιοι, ᾤδησεν ὄγκῳ. Κήκιε.] Κατέῤῥᾳ, ἀνεφέρετο.
456. Ἄπνυστος.] Μὴ ἀναπνέων. Ἄναυδος.] Ἄφωνος.
457. Ὀλιγοπελίων.] Ὀλιγοψυχῶν. Ἴκανεν.] Νῦν, στωϊκῶς.
460. Ἁλιμυρήεντα.] Ἐπιθετικῶς, ἢ εἰς θάλασσαν ἐξερχόμενον ῥόον. Μεθῆκεν.] Ἀφῆκεν.
462. Δέξατο.] Ἔλαβεν. Λιασθεὶς.] Χωρισθείς.
463. Σχοίνῳ.] Εἴδος πόας, ἢ χοίνικος. Ὑπεκλίνθη.] Ἐπέπεσεν. Κύσε.] Κατεφίλησεν.
466. Δυσκηδέα.] Χαλεπὴν, κακοπαθῆ.
467. Ἄμυδις.] Ὁμοῦ. Σπᾶσα τό.] Ἡ πνοὴ, καὶ ἀντίφρασιν, ἢ τὸ εὐωδιῶν ψῦχος. Θῆλυς.] Θαλερὸν. Ἔέρση.] Δρόσος.
468. Ὀλιγοπελίης.] Ὀλιγοψυχίας. Κεκαφηότα.] Ἐκπεπονηκότα, ἢ κεκακωμένον.
469. Αὔρη.] Πνοή. Ἠῶθι πρό.] Πρὸ ἡμέρας.
470. Κλιτύν.] Τὸ ὑψηλὸν πρόσβασιν ἔχον ὄρους. Δάσκιον.] Δασύσκιον.

NOTÆ.

467. Θῆλυς ἐέρση) Vid. ad *Iliad.* ε'. v. 776.

NOTÆ IN SCHOLIA.

455. Ὤϊδέε χρόα πάντα) Ἔνιοι, ᾤδησεν ὄγκῳ, lego, Ἔνιοι, ᾤδησεν ὄγκῳ. Videtur autem ſub voce Ἔνιοι, *Varia Lectio* latere, ut Ἔνιοι, ὄγκῳ δ' ᾠδήσασκε. Judicent alii.
457. Ὀλιγοψυχῶν) Lego, pro ὀλιγοψύχων.

VARIÆ LECTIONES.

455. Ὤϊδέε δ') γρ. ᾤζεε, *Euſtath.* fol. 1541. lin. 62. & ᾤδησεν, *Br. Schol.* vid. Not. in *Schol.*

Θάμνοις ἐν πυκινοῖσι καταδραθῶ, εἴ με μεθείη
Ῥῖγος καὶ κάμαλος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
Δείδω, μὴ θήρεσσιν ἔλωρ καὶ κύρμα γένωμαι.
Ὣς ἄρα οἱ Φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Βῆ ῥ' ἴμεν εἰς ὕλην· τὴν δ' ἀσχέδον ὕδατος εὗρεν
Ἐν περιφαινομένῳ, δοιὼ δ' ἄρ' ὑπήλυθε θάμνω,
Ἐξομόθεν πεφυῶτε· ὁ μὲν, φυλίης, ὁ δ' ἐλαίης.
Τὼ μὲν ἄρ' οὔτ' ἀνέμων ἀφὴ μάλα νύγρὸν ἀέντων,
Οὐδέποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Οὔτ' ὄμβρος διάσκε διαμπερές· ὡς ἄρα πυκνοὶ
Ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· ὧς ὑπ' Ὀδυσῆος
Δύσεθ'· ἅφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ Φίλητι
Εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
Ὅσσον τ' ἠὲ δύω, ἠὲ τρεῖς ἄνδρας ἐρύσθαι
Ὥρῃ χειμερίῃ· εἰ καὶ μάλα πὲρ χαλεπαίνοι.
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς,
Ἐν δ' ἄρα μέσῃ λέχετο, χύσιν δ' ἐπεχεύατο φύλλων·
Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ κατέκρυψε μελαίνῃ,
Ἀγρῷ ἐπ' ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,

" Arbuſtis in denſis dormiero, etiamſi ceſſet
" Frigus & laſſitudo, jucundus vero mihi ſomnus irrepat,
" Vereor, nè feris laceratio & præda ſiam.
Sic ſanè ei deliberanti viſum eſt ſatiùs eſſe:
Feſtinabat ire ad ſylvam; hanc autem propè aquam invenit
In circumſpicuo loco; duo ſanè ingreſſus eſt arbuſta,
Unà adnata; hoc quidem oleaſtri, alterum autem oleæ.
His neque ventorum perflat vis humida ſpirantium,
Neque unquam ſol lucens radiis percuſſit,
Neque imber penetrabat penitùs; ſic ſanè denſa
Invicem creverunt alternatim intertexta, quæ Ulyſſes
Subiit: ſtatim verò cubile meſſuit manibus ſuis
Latum: foliorum enim erat copia affatim ingens,
Quantum ad duos, vel tres viros tegendos *ſat eſſet*
Tempore hyberno, etiamſi potiſſimum ſæviat.
Illam quidem videns lætatus eſt patiens divus Ulyſſes;
In medio autem cubuit, copiámque ſuperingeſſit foliorum.
Quemadmodum cùm quiſpiam torrem cinere abſcondit nigro
In domo in agro longè-remoto ſitâ; cui non adſunt vicini alii,

ΣΧΟΛΙΑ.

471. Θάμνοις.] Δασέσι φυτοῖς. Καταδραθῶ.] Καθεύδησω, καταχοιμηθῶ. Μεθείη.] Εἰσέρχ.

474. Κέρδιον.] Ὠφέλιμον, κρεῖττον. Φρονέοντι.] Βουλευομένῳ.

476. Περιφαινομένῳ.] Περιεχομένῳ· ἀεὶ ὃν τόπον οὐκ ἔστιν ὕλη, ἀλλὰ μόνον ὑδατῶδες· τὸ δὲ ἀεὶ αὐτὸν, ψιλόν.

477. Ἐξομόθεν.] Ἐκ δὲ αὐτῆ τόπω. Πεφυῶτας.] Πεφυκότας, ἀναδενδρωθέντας. Φυλίης.] Εἴδος ἐλαίας ἢ καλλιθρίας, φυλίας.

478. Διαί.] Διαπνεῖ, διέρχεται. Ἀέντων.] Πνεόντων.

481. Ἔφυν.] Ὑπῆρχον, ἐπεφύκεσαν. Ἐπαμοιβαδίς.] * Ἐπιπλεγμένοι σωκλάξ.

482. Δύσεθ'.] Ἐπέδυ, ὑπεισῆλθεν. Ἐπαμήσατο.] Ἐπεστρώσατο, ἐπεστόρεσεν, ἐπέβαλεν.

483. Χύσις.] Ἄθροισις, πλῆθος. Ἤλιθα.] Ἀθρόως, δαψιλῶς.

484. Ἔρυσθαι.] Ῥύσασθαι, σῶσαι, φυλάξαι.

485. Ὥρῃ χειμερίῃ.] Ἐν τῇ δὲ χειμῶνος ὥρᾳ. Χαλεπαίνοι.] Χαλεπῶς ὑπὸ ῥίγους ἀφορᾶν.

487. Λίκτο.] Ἐκοιμᾶτο.

488. Δαλόν.] Διάπυρον ξύλον. Σποδιῇ.] Κοπρίᾳ σποδεῖ.

489. Ἐπ' ἐσχατιῆς.] Ἐπ' ἐσχάτων μερῶν.

NOTÆ.

474. Δοάσσατο) Ἐδόκησε. Vid. infrà ad ζ. v. 242. in Δόασθ.

NOTÆ IN SCHOLIA.

481. * Ἐπιπλεγμένοι, pro corrupto ἐπιπλεγμένοι.

VARIÆ LECTIONES.

471. Εἴ με) γρ. εἴ κε, *H. Steph.*

477. Ἐξομόθεν) γρ. ἐξ ὁμόθεν, *Euſtath.* fol. 240. lin. 21.

478. Διαί) γρ. ἀφὴ, *Dionyſ.* Halicarn. Vit. *Homeri*, §. IV. *Æolicumque* dicit, pro ἀφὴ.

479. Οὐδέποτ' ἠέλιος) γρ. οὐδ' αὖ ἠέλιος, *H. Steph.*

482. Εὑὼν) γρ. ὕλλω, *Euſtath.* fol. 240. lin. 8.

489. Ἐπ' ἐσχατιῆς) γρ. ἐπ' ἐσχατιῇ, MS. *GC.*

Σπεί-

Σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι
Ὡς Ὀδυσεὺς φύλλοισι καλύψατο· τῷ δ' ἄρ' Ἀθήνη
Ὕπνον ἐπ' ὄμμασι χεῦε, ἵνα μὶν παύσειε τάχιστα
*Δυσπονέος καμάτοιο, φίλα βλέφαρ' ἀμφικαλύψας.

Semen ignis ſervans, ut nè aliunde incendat:
Sic Ulyſſes foliis abſconditus erat: huic ſanè Pallas
Somnum in oculis fudit, ut ipſum *ſomnus iſte* recrearet confeſtim
Ab anxio labore, charas palpebras abſcondens,

ΣΧΟΛΙΑ.

490. Σπέρμα πυρός.] Τὸν σπινθῆρα ἢ πυρός. Αὖοι.] Ἐξάπτοι.

492. Χεῦε.] *Ἐπέβαλεν.

493. Δυσπονέος.] Χαλεπὸν πόνον ἐπφέροντος. Ἀμφικαλύψας.] Περιεσκεπάσεως.

NOTÆ IN SCHOLIA.

492. *Ἐπέβαλεν, pro ἐπέλαβεν, ſcribendum.

VARIÆ LECTIONES.

493. Δυσπονέος) γρ. *δυσπεγέος, *Plutarchus*, ſive *Dionyſ. Halicarn.* Vit. *Homer.* §. XXIII. Et hæc vox *Homero* dignior, & *Analogiæ* congruentior. *Euſtathius* quidem δυσπονέος agnoſcit; at timidiùs paulò, fol. 241. lin. 43. ὁ δυσπονής· ὠδούν) ὃ πρὸς τὸ ἄπρηκτος· ὡς ἡδ' ἄπρηξ, ἀπρηκής· ἔστι καὶ δύσπονος, δυσπονής· Τοιοῦτον ὃ ἐπὶ ἁλίσκομαι, ἅλωτος, ἀλωτής. Quæ Vox occurrit ſupra, ad v. 408.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ζ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ζ.

Ἀθηνᾶ ἐπισᾶσα ὄναρ τῇ Ἀλκινόου θυγατρὶ Ναυσικάᾳ, κελεύει αὐτῇ τὸν ἑαυτῆς ἐπὶ τὸ πολυάνδριον ἀναγάγῃ πλύνειν· πλησίον γὰρ αὐτῇ εἶναι τὸ χάραγμα· ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. Ἐπειδὴ παίζῃ μετὰ τῶν θεραπαινῶν· ἀνεγερθεὶς δὲ αὐτῶν ὁ Ὀδυσσεὺς, ἐξυπνίζεται· καὶ δεηθεὶς Ναυσικάας, ἑαυτὸν καὶ τροφὴν παρ' αὐτῆς λαβών, ἔπειτα αὐτῇ εἰς τὴν πόλιν.

Ἄλλη ὑπόθεσις.

Ναυσικάα, ἡ Ἀλκινόου θυγάτηρ, ὑπὸ ὀνείρου τραπεῖσα, ἐπὶ τὸν πολυάνδριον κάτεισι, πλύνουσα τὴν ἑαυτῆς· μετὰ δὲ τὸ πλῦναι, παιδιά τις, οἵα εἰκὸς, ἀμφὶ σφαίρας ταῖς κόραις γίνεται. Ὀδυσσεὺς δὲ, ἀφυπνίσθη, καὶ ἑαυτὸν τυχὼν, μίσχει δὲ τῆς Ἀθηνᾶς ἱερᾷ, ὃ καὶ τῆς πόλεως ἦν, συναντᾷ τῇ κόρῃ.

Ἐπιγραφή.

Ὀδυσσέως ἄφιξις εἰς Φαίακας.

Ἄλλως.

Ζήτει ἡ Ναυσικάα κόμισε σὺ σχεδίην Ὀδυσῆα. LIB. VI.

Ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς,
Ὕπνῳ καὶ καμάτῳ ἀρημένος· αὐτὰρ Ἀθήνη
Βῆ ῥ' ἐς Φαιήκων ἀνδρῶν δῆμόν τε πόλιν τε·
Οἵ πὰρ μὲν πρὸ ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
Ἄσχῃ Κυκλώπων, ἀνδρῶν ὑπερφιάλων,

SIC quidem illic dormiebat patiens divus Ulysses,
Somno & labore oppressus: interea Minerva
Ibat ad Phæacum virorum populúmque urbémque:
Qui antea quidem habitabant in spaciosâ Hyperéâ,
Propè Cyclopas, viros superbientes;

ΣΧΟΛΙΑ.

2. Ἀρημένος.] Βεβλαμμένος· ἤτοι συλληπτικῶς, ὑπὸ μὲν τοῦ καμάτου ἐβέβλαπτο· ὑπὸ δὲ τοῦ ὕπνου οὐκ ἔπ. ἢ κατὰ ἀντίφρασιν, τὸν ἀχυπνίαν, ὕπνον ἔφη· ἢ ἐπὶ τοῦ καμάτου σιγτέον· εἶτα ἀρημένος, ὑπὸ δὲ Ποσειδῶνος βλαβείς, καὶ παρεθείς, ἢ καταχόμενος.

4. Εὐρυχόρῳ.] Πλατυχώρῳ, μεγάλῃ. Ὑπερείῃ.]

Οἱ μὲν τὸν ἐν Σικελίᾳ Καμαρῖναν· οἱ δὲ ἀπὸ δῆμου, ὑπὸ τὸν ἡμῶν γινωσκόμενον· ἄλλοι δὲ, ὅτι ἦν νῆσος οὐδέπω πλησίον τῆς Κυκλώπων χώρας.

5. Ὑπερηνορεόντων.] Ὑπερεχόντων τῇ ἠνορέῃ, ὅ ἐστι τῇ ἀνδρείᾳ, καὶ ἀφ' οὗτο ὑπερηφάνων.

NOTÆ.

V. 1. Καθεῦδε) Ità hìc scribendum, non καθεύδει, testatur *Eustath.* fol. 1548. lin. 49. & fol. 162. lin. 39. & Edit. *Basil.* fol. 243. lin. 6. Vid. ad *Iliad.* α'. v. 611. *Var. Lect.*

NOTÆ IN SCHOLIA.

V. 2. Παρεθείς) Ità pro corrupto παραθείς, idque Duorum MSS. auctoritate.

VARIÆ LECTIONES.

V. 1. Καθεῦδε) γρ. καθεύδει. Vid. ad *Textum.* 2. Ἀρεμένος) γρ. ἀρημένος, *Eustath.* fol. 242. lin. 51.

Οἵ

Οἳ σφέας σινέσκοπλο, βίηφι ὃ φέρτεροι ἦσαν.
Ἔνθεν ἀναΐσσας ἄγε Ναυσίθοος θεοειδὴς,
Εἶσεν δ' ἐν Σχερίῃ ἑκὰς ἀνδρῶν ἀλφηστάων·
[* Ἀνθρώπων ἀπάνευθε, πολυκλύστῳ ὑπὸ πόντῳ.]
Ἀμφὶ δ' τεῖχος ἔλασσε πόλῃ, καὶ ἐδείμαλο οἴκους,
Καὶ νηοὺς ποιήσε θεῶν, καὶ ἐδάσατ' ἀρούρας.
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδόσδε βεβήκῃ·
Ἀλκίνοος δ' τότ' ἦρχε, θεῶν ἄπο μήδεα εἰδώς.
Τοῦ μὲν ἔβη πρὸς δῶμα θεὰ γλαυκῶπις Ἀθήνη,
Νόστον Ὀδυσσῆϊ μεγαλήτορι μηλόωσα·
Βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη
Κοιμᾶτ', ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Πὰρ δὲ δύ' ἀμφίπολοι, Χαρίτων ἄπο κάλλος ἔχουσαι,
Σταθμοῖϊν ἑκάτερθε, θύραι δ' ἐπέκειντο φαειναί.
Ἦλθ' ἀνέμου ὡς πνοιὴ ἐπέσυλο δέμνια κούρης·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν προὸς μῦθον ἔειπεν,
Εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
Ἥ οἱ ὁμηλικίη μὲν ἔην, κεχάρισο δὲ θυμῷ·
Τῇ μιν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη,

Qui ipsos prædabantur; viribus enim potiores erant:
Hinc migrare cogens illos deduxit Nausithous deo similis,
Collocavitque in Scheriâ procul ab hominibus ingeniosis;
[Procul, *inquam*, ab Hominibus, undoso in mari.]
Circum verò murum duxit civitati, ædificavit & domos,
Etiam templa fecit deorum & divisit agros.
Sed hic jam fato domitus, ad inferos descenderat:
Alcinous verò tunc imperabat, à diis consilia doctus.
Hujus quidem perrexit ad domum dea cæsia Minerva,
Reditum Ulyssis magnanimi consultans:
Celeritèr verò ibat ad thalamum fabre-factum, in quo puella
Dormiebat, immortalibus indole & specie similis,
Nausicaa, filia magnanimi Alcinoi:
Aderant duæ ancillæ, à Gratiis pulchritudinem nactæ,
A postibus utrinque; fores verò imminebant lucidæ.
Illa vero venti veluti flatus accessit ad cubilia puellæ:
Stetitque supra caput, & ipsam sermone alloquuta est,
Assimilata filiæ celebris-a-re-navali Dymantis,
Quæ ei æqualis quidem erat, & grata animo:
Huic seipsam assimilans alloquuta est cæsia Minerva,

ΣΧΟΛΙΑ.

6. Οἳ σφέας] Οἳ πιες αὐτές. Σινέσκοπλο.] Ἐκάκων, ἠδίκων, ἔβλαπλον.
7. Ἀναΐσσας.] Ἀνακρμίσας, ἀπικίαν σκιλάμβ.
8. Εἶσε.] Νῦν, ἀντὶ δ ἴδρυσεν. Σχερίῃ.] Ἡ τῶ Φαιάκων πόλις. Ἀλφηστάων.] Τῶν εὐρετικῶν καὶ ἐπινοητικῶν ἀνθρώπων.
9. Τεῖχος ἔλασσε.] Περιέτεινε, περιέβαλεν· ἢ ὃ μεταφορά· ἀπὸ δ ἐλαυνομένε σιδήρε ἢ ἀπὸ δ ἐλαύνε, ὅ ἐσι πήγνυ καὶ σκάπλω. Ἐδείμαλο.] Κατεσκεύασεν.
10. Ἐδάσαλο.] Διεμοιρήσαλο, ἢ ἐμέρισεν.

NOTÆ.

8. Σχερίῃ) *Scheria*, quæ pòst *Phæacia*, nonnullis *Corcyra*: *Herodoto*, *Oasis*, ut *Phot.* Biblioth. fol. 111.
9. * Ἀνθρώπων ἀπάνευθε, πολυκλύστῳ ὑπὸ πόντῳ) Hunc Versum, diù hìc, ob rotunditatem Periodi, desideratum, ex *Plutarcho*, περὶ φυγῆς, fol. 603. restituo. Vid. infrà, ad v. 204.

NOTÆ IN SCHOLIA.

10. Ἐδάσαλο) Διεμοιρήσαλο, ἢ ἐμέρισεν. Hoc ex MSS. dd. excepto, quòd ibi διενοήσαλο, per incuriam, pro διεμοιρήσαλο. *Hervag.* Edit. *Aldina* & *Parisiana*, Ἐδάσαλο) Διεμέρισεν.

VARIÆ LECTIONES.

8. Ἀνδρῶν) γρ. ἄλλων.
9. Ἀνθρώπων) γρ. Κυκλώπων.
20. Ἐπέσυλο) γρ. ἐπ' ἴσυλο.
24. Τῇ μιν ἐεισαμένη) γρ. τῇ μὲ ἐεισδομένῃ. *H. Steph.* ἐεισδομένη, *Aldina* & *Lovaniana Rescii.*

Ναυσι-

Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
Εἵματα μὲν τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
Σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
Ἑννυέμεν, ταὶ δ' ἄλλοισι παρέχειν, οἵ κέ σ' ἄγωσιν.
Ἐκ γάρ τοι τάδε φάτις ἀνθρώπους ἀναβαίνει
Ἐσθλή· χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
Ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένηφι,
Καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
Ἐντύνηαι· ἐπεὶ ἔτι ἔπι δηρὸν παρθένος ἔσσῃ·
Ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
Πάντων Φαιήκων, ὅθι τοὶ γένος ἐστὶ καὶ αὐτῇ.
Ἀλλ' ἄγε νῦν ἐπόρουνον πατέρα κλυτὸν ἠῶθι περ
Ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσι
Ζώστρά τε, καὶ πέπλους, καὶ ῥήγεα σιγαλόεντα.
Καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ἢ πόδεσσιν
Ἔρχεσθ'· πολλὸν γὰρ ἄπο πλυνοί εἰσι πόληος.
Ἦ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη
Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
Ἔμμεναι· ὔτ' ἀνέμοισι πινάσσεται, ὔτε ποτ' ὄμβρῳ
Δεύεται, ὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·

"Nausicaa, ecquid tete sic negligentem peperit mater?
"Vestes etenim tibi jacent neglectæ, pulchræ;
"Tibi verò nuptiæ instant, quandò oportet pulchras teipsam
"Induere, aliásque illis præbere, qui te ducent.
"Etenim ex his fama tibi apud homines ascendit
"Bona; gaudentque pater & veneranda mater.
"Quin eamus loturæ simul cum aurorâ apparente,
"Et ego adjutrix simul sequar; ut celerrimè
"Expediaris; quoniam non amplius diù virgo eris.
"Dudùm enim te ambiunt optimi in populo
"Omnium Phæacum; ubi tibi genus est etiam ipsi.
"Verùm age incita patrem inclytum matutino tempore,
"Ut mulos & currum apparet, qui vehere queat
"Tunicásque, & peplos, & pallia pulchra.
"Quippè tibi sic ipsi multò honestius est, quàm pedibus
"Ire; multùm enim absunt lavacra ab urbe.
Ipsa quidem sic loquuta abiit cæsia Minerva
Ad Olympum, ubi inquiunt deorum sedem firmam semper
Esse, quæ neque ventis concutitur, neque unquam imbre
Rigatur, neque nix admovetur; sed potius serenitas
Aperitur innubis, lucidúsque circumfulget splendor:

ΣΧΟΛΙΑ.

25. Μεθήμονα.] Ἀμελῆ, ῥᾳθυμοῦσαν.
26. Ἀκηδέα.] Μηδὲ μιᾶς φροντίδος ἠξιωμένα, ἢ ἀτημέλητα. Ἀφθόνητα. Σιγαλόεντα.] Ἁπαλά, ποικίλα· τὰ μὲν γὰρ σκληρὰ ἀντιπίπτει καὶ ἀντιπατεῖ· τὰ δὲ ἁπαλὰ, ὥσπερ σιγᾷ ἡ ἠσυχάζει.
28. Ἕννυσθαι.] Ἐνδύεσθαι, ἀμφιέννυσθαι. Ταὶ δὲ τοῖσι παρεχεῖν.] Ὡς ἔθος τοιοῦτο ὄντος.
29. Φάτις ἀνθρώπους ἀναβαίνει.] Διαβόητος γίνεται.
32. Σωτῆριος.] Σωτηρίας, παρὰ τὸ ἀσφαλὲς εἶναι.
33. Ἐντύνηαι.] Κοσμήσεως, πλύσεως, εὐτρεπίσεως. Ἔσσῃ.] Ἔσῃ, γένοιο.
35. Ὅθι τοὶ γένος.] Οὐ τυχὸν ἔστι νῦν, ἀλλὰ γίνεται
N O T Æ.
45. Ἀνέφελος) Vid. ad *Iliad.* κ'. v. 258. Et *Eustath.* in hunc locum, fol. 245. lin. 39.

λέγειν, ὃ οἱ καὶ αὐτὴ ὀνομάζει τοῖς ἀείσεις, τυτίσι, ὅπ σὶ εὐχλοὺς. γεγάφει) ε, ἢ τοι γίνεται.
36. Ἐποτρύνω.] Παρόρμησον.
37. Ἐφοπλίσαι.] Παρασκεύασαι. Ἦ κεν.] Ἤ τις ἄν. Ἄγῃσιν.] Ἄγοι, φέροι, βαστάζοι.
38. Ζώστρα.] Τὰ περὶ ζώνην ἐπιτήδεια σκεύη· λέγει δὲ χιτῶνας, ἢ ζώνας.
40. Πλυνοί.] Οἱ τόποι, ἐν οἷς πλύνεται.
42. Ἕδος.] Ἵδρυμα, κάθισμα.
43. Τινάσσεται.] Κινεῖται.
44. Ἐπιπίλναται.] Προσπιλάζει, ἐμπίπτει. Αἴθρη.] Εὐδία.
45. Πέπταται.] Ἀναπέπτωκεν, ἀνέῳγε). Ἀνέφελος.] Ἀνέφελος) Vid. ad *Iliad.* κ'. v. 258. Et *Eustath.* in hunc locum, fol. 245. lin. 39.

NOTÆ IN SCHOLIA.

29. Διαβόητος γένηται) Ità pro λαβόντοι γίνονται, ut *Textui* respondeat, φάτις σοὶ καλὴ ἀνθρώπους.
35. Ὅθι τοὶ γένος) Ubi *Br. Schol.* ὅτι legunt, MSS. ὅπ τοὶ, melius.
45. Πέπταται) Ἀναπέπτωκεν, cum *Aloysii* MSto lego, pro ἀναπέπταται) Poetico, ut & κατηρεισμένη, pro corrupto κατηρεσμένη. Pro ἔπεισιν, MS. ἔπεσιν. Hoc *Scholion* ex τῶν Παλαιῶν laudat *Eustath.* fol. 246. lin. 7.

VARIÆ LECTIONES.

35. Ὅθι τοὶ) γρ. ὅτι, *Br. Schol.* an pro, ἢ τοι. MSS. *Aloysii* & GC. ὅτι τοί.
44. Οὔλυμπόνδ', ὅθι φασὶ) γρ. ὄλυμπόνδ', ὃν φασὶ, *Br. Schol.* ad *Iliad.* κ'. v. 420.
45. Ἀνέφελος) γρ. ἀνήφελος.

Τῷ ἔνι τέρπονθ' μάκαρες θεοὶ ἤματα πάντα·
Ἔνθ' ἀπέβη Γλαυκῶπις, ἐπεὶ μετεφράσθη κούρῃ.
Αὐτίκα δ' ἠὼς ἦλθεν ἐύθρονος, ἣ μιν ἔγειρε
Ναυσικάαν ἐύπεπλον· ἄφαρ δ' ἀπεθαύμασ' ὄνειρον.
Βῆ δ' ἰέναι μετὰ δώματ', ἵν' ἀγγείλειε τοκεῦσι,
Πατρὶ φίλῳ ἠ μητρί, κιχήσατο δ' ἔνδον ἐόντας.
Ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο, σὺν ἀμφιπόλοισι γυναιξίν,
Ἠλάκατα τροφόεσσ' ἁλιπόρφυρα· τῷ ἄρ' ἐπέρησε
Ἐρχομένῳ ξύμβλητο μετ' κλειτὺς βασιλῆας
Ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί.
Ἡ ἄρ μάλ' ἄγχι στᾶσα φίλον πατέρα προσέειπε,
Πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσειας ἀπήνην
Ὑψηλήν, εὔκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
Ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
Καί δέ σοι αὐτῷ ἔοικε μετ' πρώτοισιν ἐόντι
Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα.
Πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
Οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠίθεοι θαλέθοντες·
Οἱ δ' αἰεὶ ἐθέλουσι, νεόπλυτα εἵματ' ἔχοντες,
Ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμὴ φρενὶ πάντα μέμηλεν.
Ὣς ἔφατ'· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
Πατρὶ φίλῳ· ὁ δ' ἤπαντα νόῃ, καὶ ἀμείβετο μύθῳ,

In quo delectantur beati dii diebus omnibus.
Huc abiit Pallas, postquam *rem* injunxerat puellæ.
Continuò aurora aderat pulchra, quæ ipsam excitabat
Nausicaam pulchris-peplis; cæterùm admirata est somnium.
Festinabat ire per domos, ut annunciaret parentibus,
Patri charo & matri; nacta autem est intùs existentes.
Illa quidem ad focum sedebat cum ancillis fœminis
Pensum versans marinâ purpurâ-tinctum; in hunc autem foràs
Egredientem incidit ad inclytos reges
Ad concilium, quò ipsum invitârant Phæaces generosi.
Hæc ergò valdè propè astans charum patrem alloquuta est,
" Pater chare, annon utique mihi apparaveris currum
" Excelsum, rotundum; ut pulchras vestes ducam
" Ad flumen lotura, quæ mihi sordidatæ jacent?
" Quin etenim tibi ipsi convenit inter primores versantem
" Consilium consulere, pulchras corpori vestes habentem.
" Quinque etiam tibi chari filii in regiâ sunt,
" Quorum duo in matrimonio, tres autem cælibes florentes;
" Hi semper volunt, recens-lotis vestibus induti,
" Ad saltationem ire; hæc meæ menti omnia curæ sunt.
Sic ait; verebatur enim floridas nuptias nominare
Patri charo; ille tamen omnia intelligebat, & respondebat sermone,

ΣΧΟΛΙΑ.

Νιφιλῶν χορείς. ἡ μὲν χορυφὴ ἡ δὲ ὀλύμπια ἐπιφάνια καλεῖται. ὁ δὲ ἀρχαῖος ὑφ' Ὁμήρου, ἀπὸ τῶν νιφελῶν ἕως δὲ κατηστερισμένα τόπα, σωανύμως αὐτῷ τῷ κατηστερισμένῳ καλεῖται. Ἐπιδίδρομμ.] Ἔπεισιν, ἐπιτείχει. Αἴγλη.] Λαμπηδών.

46. Τῷ ἔνι.] Ἐν τούτῳ.

47. Διαπέφραδε.] Διεσήμανεν.

48. Ἐὐθρονον.] Θρόνον νῦν τὸ ἁρμάτειον λέγει ἢ ἵππους ἐφας· ἢ γὰρ ἔπη ἐδραία ἡ ἕδος αὐτῷ, ἢ νῦν εἰρημένη.

50. Ἀγγείλειε.] Ἐπαγγείλῃ, εἴπει.

52. Ἐπ' ἐσχάρῃ.] Παρὰ τῇ ἐσχάρᾳ· ἐσχάρα δὲ τόπος, ἐφ' ᾧ τὸ πῦρ καίεται.

53. Ἠλάκατα.] Νῦν, τὰ ἔρια. Στεφῶσα.] Στρέφουσα, ἐργαζομένη. Ἁλιπόρφυρα.] Θαλασσοβαφῆ. Θύραζε.] Ἔξω.

54. Ξύμβλητο.] Συνήντησεν. Κλειτύς.] Ἐνδόξους.

55. Βουλήν.] Νῦν, τὸ τόπον, ὅπου βουλεύονται.

57. Πάππα.] Περισφάνησις φιλοφρονηδικὴ νεωτέρως πρὸς πρεσβύτερον. Ἐφοπλίσειας.] Παρασκευάσειας. Ἀπηύρων.] Ἄμαξαν.

63. Ὀπυίοντες.] Γεγαμηκότες. Ἠίθεοι.] Ἄγαμοι. Θαλιθοντες.] Θάλλοντες, ἀκμάζοντες.

65. Χορόν.] Τὸ συνέδριον, * τὸ ἄθρισμα, διδασκαλεῖα.

66. Αἰδέτο.] Ἡσχύνθη, ἐντρέπετο. Θαλερόν.] Θαλλειν καὶ ἀκμάζειν ποιῆται. Ἐξονομῆναι.] Ὀνομάσαι εἰπεῖν.

67. Ἀμείβετο.] Ἀντεπεκρίνετο, ἐξ ἀμοιβῆς προσεφθέγγετο.

NOTÆ IN SCHOLIA.

65. Χορὸν) MSS. legunt * τὸ ἄθρισμα, non ut *Impressi*, τὰ ἀθρίσματα.

VARIÆ LECTIONES.

50. Διὰ) χρ. καὶ, *H. Steph.*

57. Ἐφοπλίσειας) χρ. ἐφοπλίσειεν, *Eustath.* fol. 246. lin. 50.

60. Ἐόντι) χρ. ἐόντα, *H. Steph.* & *Eustath.* fol. 247. lin. 33.

67. Πάντα νόει) γρ. πάντ' ἰνέει.

Οὔτε

Οὔτε τοὶ ἡμιόνων φθονέω, τέκος, οὔτε τοῦ ἄλλου
Ἔρχευ· ἀταρ τοι δμῶες ἐφοπλίσουσιν ἀπήνην
Ὑψηλὴν, εὔκυκλον, ὑπαστρεφῆ ἀραρυῖαν.
Ὡς εἰπὼν, δμῶῆσιν ἐκέκλετο· τοὶ δ' ἐπίθοντο·
Οἱ μὲν ἄρ' ἐκτὸς ἄμαξαν εὐτροχον ἡμιονείλην
Ὤπλεον, ἡμίονους δ' ὕπαγον, ζεύξαν δ' ὑπ' ἀπήνῃ·
Κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινὴν,
Καὶ τὴν μὲν κατέθηκεν ἐϋξέστῳ ἐπ' ἀπήνῃ·
Μήτηρ δ' ἐν κίστῃ ἐπίθει μυρία εἰδυῖα,
Παντοίην, ἐν δ' ὄψα τίθει, ἐν δ' οἶνον ἔχευεν
Ἀσκῷ ἐν αἰγείῳ· κούρη δ' ἐπεβήσετ' ἀπήνης·
Δῶκε δ' ἄρα χρυσείῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
Εἴως χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
Ἡ δ' ἔλαβεν μάστιγα καὶ ἡνία σιγαλόεντα,
Μάστιξεν δ' ἐλάαν· καναχὴ δ' ἰὰ ἡμιόνοιιν.
Αἱ δ' ἅμοτον τανύοντο· φέρον δ' ἐσθῆτα, καὶ αὐτὴν,
Οὐκ οἴην· ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
Αἶψ' ὅτε δὴ ποταμοῖο ῥόον ἐκαλλέ' ἵκοντο,
Ἔνθ' ἦτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ, πολὺ δ' ὕδωρ

" Neque tibi mulos invideo, filia, neque quicquam aliud;
" Abi, cæterùm tibi famuli apparabunt currum
" Altum, rotundum, contabulatione instructum.
Sic loquutus, servis præcepit; hi verò paruerunt.
Illi quidem foràs currum velocem à mulis agitarum
Instruebant, mulosque submiserunt, junxeruntque sub curru;
Virgo autem è thalamo ferebat vestes pulchras,
Et eas quidem composuit benè-polito in curru;
Mater verò in cistâ collocabat sufficientem cibum,
Omne genus, obsoniaque imposuit, vinumque infudit
Utrem in caprinum: puella interèa conscendit currum;
Dedit etiam aureâ in ampullâ humidum oleum,
Ut ungeretur cum famulis mulieribus.
Illa verò accepit flagellum & lora pulchra,
Flagellavitque ad cursum promovendum; & strepitus erat Mulorum;
Nam illi incessantèr extendebantur, ferebantque vestes, & ipsam,
Non solam; simul cum illâ ibant ancillæ aliæ.
Illæ cùm jam fluvii ad alveum limpidum pervenerunt;
Ubi lavacra erant perennia, multaque aqua

ΣΧΟΛΙΑ.

68. Οὔτε πῦ] Οὔτε τινός.
69. Ἐφοπλίσουσι.] Παρασκευάσουσι.
70. Εὔκυκλον.] Εὔτροχον· κύκλοι γὰρ, οἱ τροχοί. Ὑπερτερίην.] Τῷ ἐπιθήματι πλινθίῳ τῇ ἁμάξῃ, ὡσὲ τὸ πλείονα βάρη φέρειν, ὑψηλοτάτῳ, ὃ δὲ πλινθίον καλεῖται· ἢ τῷ ὑπερᾴνω τῆς ἁμάξης τετραγώνῳ ξύλῳ ἐπικομίζω τὸ ἀντιθήμενον φορτίον.
71. Δμῳάσιν.] Θεραπαινίσιν.
72. Εὐτροχον.] Καλὰς τροχὰς ἔχουσαν.
73. Ὤπλεον.] Ἡτοίμαζον, παρεσκεύαζον. Ὑπαζον.] Ἐζῆγον.
74. Ἐσθῆτα φαεινήν.] Οὐ πᾶσαν φαεινὴν ἐῤῥύπωτο γὰρ, ἀλλὰ τὴν τῇ φύσει καθαρὰν.
76. Κίστῃ.] Ἐδισκοθήκῃ· * οὐκ ἄποθεν δὲ ἔοικεν εἶναι καὶ τὸ αὐτῇ.
77. Ἔχευεν.] Ἐνέχεεν, ἔβαλεν.
79. Ληκύθῳ.] Ἐλαιοδόχῳ ἀγγείῳ. Ὑγρὸν ἔλαιον.] Οὐ τὸ τῇ φύσει ὑγρὸν, ἀλλὰ τὸ ὑγρωτικόν.
80. Εἴως.] Νῦν, ἀντὶ τοῦ ὅπως. Χυτλώσαιτο.] Λύσαιμένη ἀλείψαιτο· χύτλον γὰρ, τὸ μετὰ ὕδατος ἔλαιον.
82. Καναχὴ.] Ψόφος, ἦχος.
83. Ἄμοτον.] Ἀπλήρωτον. Τανύοντο.] Συνεχῶς ἐφέροντο.
84. Κίον.] Ἐπορεύοντο.
86. Ἐπηετανοί.] Συνεχεῖς, καὶ ἀεὶ ῥέοντες.

NOTÆ.

79. Χρυσείῃ) Ità hìc lego, pro χρυσέῃ, *Metri* causâ; ut infrà, v. 215. viceversâ. Cur ὑγρὸν ἔλαιον, Vid. *Plutarch.* Sympos. l. 6. c. 9. fol. 695. & *Eustath.* fol. 248. lin. 15.

NOTÆ IN SCHOLIA.

70. Ὑπερτερίην) In hoc *Scholio*, pro πλινθίον, lego πλινθίον, ex *Aloysii* MS. & ὑπερᾴνω, voce unicâ.
74. Τῷ τῇ φύσει καθαρὰν) Ex MS. GC. τὴν addo, & καθαρὰν pro καθαρᾷ lego.
76. *Οὐκ ἄποθεν) Hunc locum laudat & explicat *Eustath.* fol. 248. lin. 7. Κίστῃ ὃ παρ' Ἀττικοῖς κ.λ.
86. Ἐπηετανοὶ) Συνεχεῖς, ἀεὶ ῥέοντες. Ità *Aloysii* MS. nisi quòd ibi σωιεχοντες malè, pro σωιεχεῖς.

VARIÆ LECTIONES.

70. Εὔκυκλον) χρ. ἐὐκυκλον.
73. Ὤπλεον) γρ. ὅπλεον, sine *Augmento*, olim, in nonnullis, & plus semel apud *Eustathium*.
79. Χρυσείῃ) χρ. χρυσέῃ, olim in *Florentin. Lovanian.* &c. malè tamen. Vid. Not. ad *Textum*.
81. Σιγαλόεντα) χρ. φοινικόεντα. Vid. ad *Il.* Δ'. v. 116.

Καλὰ

Καλὸν ὑπεκρροέϊ, μάλα πὲρ ῥυπόωντα καθῆραι·
Ἔνθ' αἴγ' ἡμιόνους μὺ ὑπεκρροέλυσαν ἀπήνης,
Καὶ τὺς μὺ σεῦαν ποταμὸν πάρα δινήεντα,
Τρώγειν ἄγρωσιν μελιηδέα· ταὶ δ' ἀπ' ἀπήνης
Εἵματα χερσὶν ἔλοντο, ϗ ἐσφόρεον μέλαν ὕδωρ·
Στεῖβον δ' ὀν βόθροισι θοῶς ἔριδα προφέρουσαι.
Αὐτὰρ ἐπεὶ πλῦνάν τε, κάθηράν τε ῥύπα πάντα,
Ἑξείης πέτασαν παρὰ θῖν' ἁλὸς, ἦχι μάλιστα
Λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
Αἱ ὄ, λοεσσάμεναι, ϗ χρισσάμεναι λίπ' ἐλαίῳ,
Δεῖπνον ἔπειθ' εἵλοντο παρ' ὄχθησιν ποταμοῖο·
Εἵματα δ' ἠελίοιο μύνον περσήμεναι αὐγῇ.
Αὐτὰρ ἐπεὶ σίτου ταρφθεν δμωαί τε, ϗ αὐτὴ,
Σφαίρῃ ταὶ τ' ἄρ' ἔπαιζον, ἀπὸ κρήδεμνα βαλοῦσαι·
Τῇσι ὄ Ναυσικάα λευκώλενος ἦρχετο μολπῆς·
Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα,
Ἢ κατὰ Τηΰγετον περιμήκετον, ἢ Ἐρύμανθον,
Τερπομένη κάπροισι ϗ ὠκείῃσ ἐλάφοισι,
Τῇδέ θ' ἅμα Νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο,

Pulchra profluebat, etiam plurimùm ſordidata ad purgandum *ſufficiens*;
Ibi illæ mulos ſolvebant à curru,
Et eos quidem agebant fluvium ad vorticoſum,
Ut ederent gramen dulce: ipſæ verò à curru
Veſtes manibus ceperunt & injecerunt in nigram aquam:
Preſſabant autem in ſcrobibus celeritèr certamen proferentes.
Cæterùm poſtquam laveruntque, pergâruntque ſordes omnes,
Ordine extenderunt ad littus maris, quà potiſſimùm
Lapillos ad littus abluebat mare:
Illæ verò lotæ, & unctæ ſplendido oleo,
Prandium deinde ſumpſerunt ad ripam fluvii.
Veſtes autem ſolis expectabant dum ſiccarentur ſplendore.
Cæterùm poſtquam cibo ſaturatæ ancillæque, & ipſa,
Pilâ ipſæ ludebant, capitis redimicula deponentes;
His interim Nauſicaa pulchris-ulnis incepit cantilenam:
Qualis autem Diana incedit per montes ſagittis gaudens,
Aut per Taygetum arduum, aut Erymanthum,
Seſe oblectans apris, & velocibus cervis,
Simulque cum illa Nymphæ filiæ Jovis Ægiochi

Σ Χ Ο Λ Ι Α.

87. Ῥυπόωντα.] Ῥυπαρά.

88. Ὑπεκρροέλυσαν.] Ἡ μὲ ὑπὸ, τῷ ὑποζυξιν δηλοῖ· ϗ ὑπὸ τῷ ἕλκυσιν τῶ ὑποζυγίων· ἡ ὄ ἀπὸ, τὸ ἀπὸ τ λεπτως.

89. Σεῦαν.] Ἐδίωξαν. Δινήεντα.] Δίνας ϗ συστροφὰς ἔχοντα.

90. Ἄγρωσιν.] Εἴδος βοτάνης, ὅπῳ ἐσὶ πόα χερτώδης.

92. Σπεῖσον.] Ἐπάτων. Βόθρεισι.] Τοῖς ὀρύγμασι. Προφέρουσαι.] Προβάλλουσαι.

93. Ῥύπα.] Τὸν ῥύπον.

94. Πέτασαν.] Ἐξέτειναν.

95. Λάϊγγας.] Τὰ μικρὰ λιθάρια, ἢ πὰς μικρὰς ψήφους. Χέρσον.] Τῇ γῇ. Ἀποπλύνεσκε.] Ἔνιοι, Ἀποπλύσκε. Ἀπέῤῥιπτεν.

96. Λοεσσάμεναι.] Λουσάμεναι. Χρισσάμεναι.] Ἀλιψάμεναι. Λίπα.] Λιπαρῶς.

97. Δεῖπνον.] Ἄριστον. Ὄχθησι.] Τοῖς χείλεσι τ ποταμ῀.

98. Περσήμεναι.] Ξηραθῆναι.

99. Ταρφθεν.] Ἐκθρέφθησαν.

102. Εἶσι.] Πορεύεται, ἢ ἔρχεται. Ἰοχέαιρα.] Ἰοῖς περιπομένη.

103. Τηΰγετον.] Ὄρος τ Λακωνικῆς. Περιμήκετον.] Ὑψηλόν. Ἐρύμανθον.] Ὄρος τ Ἀρκαδίας, ϗ ποταμός· ἔνθα ὁ Ἐρυμάνθιος κάπρος· ὃν τότοις ὄ λέων ἐ γίνεται.

104. Ὠκείῃς.] Ὠκείαις, ταχείαις.

NOTÆ IN SCHOLIA.

88. Ὑπεκρροέλυσαν) Hoc *Scholion*, in MSS. & *Impreſſis* corruptum, emendavi, ex *Euſtath.* fol. 1553. lin. 8.

102. Ἰοχέαιρα) Ἰοῖς περιπομένη, MS. *Aloyſii*, excepto quòd malè ibi, Ἰῶν.

103. Τηΰγετον) In fine hujus *Scholii*, ad hæc, Ἐν τότοις ὄ λέων ἐ γίνεται, refer *Ælian.* Animal. l. 3. c. 27. Ὅτι ἐ γίνεται λέων ἐν Πελοποννήσῳ.

VARIÆ LECTIONES.

95. Ἀποπλύνεσκε) γρ. ἀπέπλυσκε, *Br. Schol.* & MS. *GC.*

96. Χρισσάμεναι) γρ. ἀλειψάμεναι, *H. Steph.* & *Br. Schol.*

104. Ὠκείῃς) γρ. ὠκείαις, *Ælian.* Animal. l. 3. c. 27.

105. Τῇδέ θ' ἅμα) γρ. τῇδε ἄμα, & τῇ ὄ ἅμα, *H. Steph.* Τῇδέ θ' ἅμαι, *Callimach.*

Ἀγρονόμοι παίζουσι· γέγηθε δέ τε Φοίβη Λητώ·
Πασάων δ' ὕπερ ἦγε κάρη ἔχει ἠδὲ μέτωπα,
Ῥεῖα δ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι·
Ὡς ἦγ' ἀμφιπόλοισι μετέπρεπε παρθένος ἁδμής.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πάλιν οἶκόνδε νέεσθαι,
Ζεύξασ' ἡμιόνους, πλύξασά τε εἵματα καλὰ,
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Ὡς Ὀδυσεὺς ἔγροιτο, ἴδοι τ' εὐώπιδα κούρην,
Ἥ οἱ Φαίηκων ἀνδρῶν πάλιν ἡγήσαιτο.
Σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια·
Ἀμφιπόλῳ μὲν ἄμαρτε, βαθείῃ δ' ἔμπεσε δίνῃ·
Αἱ δ' ἐπὶ μακρὸν ἄυσαν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς·
Ἑζόμενος δ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ἦ ῥ' οἵγ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι;
Ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
Ὥς με γυναικῶν ἀμφήλυθε θῆλυς ἀυτὴ
Νυμφάων, αἵ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα,
Καὶ πηγὰς ποταμῶν, καὶ πείσεα ποιήεντα·
Ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων;
Ἀλλ' ἄγ', ἐγὼν αὐτὸς πειρήσομαι, ἠδὲ ἴδωμαι.
Ὡς εἰπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσσεύς·
Ἐκ πυκινῆς δ' ὕλης πλόκον κλάσε χειρὶ παχείῃ
Φύλλων, ὡς ῥύσαιτο περὶ χροῒ μήδεα φωτός.

Agreſtes ludunt: gaudet interim mente Latona;
Omnes quidem ipſa capite ſuperemínet, atque fronte,
Facilis enim cognitu eſt, pulchræ tamen & omnes:
Sic illa inter ancillas excellebat virgo intacta.
Sed quùm jam rurſum domum itura erat,
Junctis mulis plicatíſque veſtibus pulchris,
Tum ſtatim alia excogitavit dea cæſia Minerva,
Ut Ulyſſes excitaretur, viderétque pulchris-oculis puellam,
Quæ illum ad Phæacum virorum urbem deduceret.
Pilam deindè jecit ad ancillam Princeps:
Ab ancillâ quidem aberravit; in profundum autem incidit gurgitem.
Illæ itaque altè clamârunt; excitabatúrque divus Ulyſſes:
Sedens itaque deliberabat in mente & in animo,
" Hei mihi, quorúmnam hominum ad terram deveni?
" Anne hic injurii & agreſtes, neque juſti?
" Aut hoſpitales, & ipſis eſt mens deorum-reverens?
" Ut me puellarum invaſit fœmineus clamor
" Nympharum, quæ habitant montium ſummos vertices,
" Et fontes fluviorum, & paluſtria loca herboſa!
" An fortaſſis homines ſum propè vocales?
" Quin ego ipſe experiar atque videbo.
Sic loquutus arbuſtis clàm-egreditur divus Ulyſſes:
Ex denſâ autem ſylvâ ramum fregit manu craſſa,
Foliis, ut tegeret circa corpus pudenda viri.

ΣΧΟΛΙΑ.

106. Ἀγρονόμοι.] Αἱ ἐπὶ τῶν ἀγρῶν νεμόμεναι. ἢ ἄγραν νέμουσαι.
108. Ἀριγνώτη.] Μεγάλως γνωστὴ καὶ φοβερά.
109. Ἀδμής.] Ἀδάμαστος, ἄγαμος.
111. Πτύξασα.] Διπλώσασα. ἢ διπλωθῆναι ποιήσασα.
113. Ἔγροιτο.] * Ἐξανιστάμενος. Εὐώπιδα.] Εὐόφθαλμον· ὥσπερ * γδ οἱ ὀφθαλμοί.
116. Δίνῃ.] Τῇ τῶν ὑδάτων συστροφῇ.
117. Ἄυσαν.] Ἐβόησαν.
121. Θεουδής.] Θεοσεβὴς, θεοῖς ὁμοῖος· ἢ θεοσεβὴς, ὁ θεοῖς ἀρέσκων, ἢ θεῦ ἔχων αὐδήν.
122. Αὐτή.] Νῦν, ἡ φωνή.
124. Πείσεα.] Τὰς διὰ χερὸς τόπους· παρὰ τὸ πῖσαι, ὃ ἐστι ποτίσαι.
125. Αὐδηέντων.] * Εὐφώνων, σὺν ἁρμονίᾳ φωνῇ χρωμένων.
127. Ὑπεδύσετο.] Ὑπεξῆλθεν.
128. Πτόρθον.] Κλάδον, βλαστόν.
129. Ῥύσαιτο.] Καλύψει, σκεπάσει. Μήδεα.] Νῦν, τὰ αἰδέσιμα μέρη, τὰ αἰδοῖα.

NOTÆ.

125. Ἀνθρώπων — αὐδηέντων) Præter *Br. Schol.* vid. quæ Nos ad *Odyſſ. ε'.* v. 334.

NOTÆ IN SCHOLIA.

113. *Ἐξανιστάμενος, pro ἐξανέστη, ſcribo & * γδ, pro ϛ, ex Duob. MSS.
125. *Εὐφώνων) MS. *Aloyſii*, ἰμφώνων, meliùs.

VARIÆ LECTIONES.

115. Ἀμφίπολον βασίλεια) γρ. ἀμφιπόλῳ βασιλεύς, *H. Steph. Sylburg.* Vid. *Dionyſ. Halicarn. Hudſon.* Edit. 2 Vol. fol. 11. Not. h.
116. Ἔμπεσε) γρ. ἔμβαλε, *H. Steph.*
127. Ὑπεδύσετο) γρ. ὑπεκδύσετο, *Aldin.*

Βῆ δ' ἴμεν, ὥστε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθώς,
Ὅς τ' εἶσ' ὑόμενός τε καὶ ἀήμενος· ὀφθαλμὼ δέ οἱ ὄσσε
Δαίεται· αὐτὰρ ὁ βουσὶν ἐπέρχεται, ἢ ὀΐεσσιν,
Ἠὲ μεθ' ἀγροτέρας ἐλάφους· κέλεται δέ ἑ γαστὴρ,
Μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
Ὣς Ὀδυσεὺς κούρῃσιν ἐϋπλοκάμοισιν ἔμελλε
Μίξεσθ', γυμνός περ ἐών· χρειὼ γὰρ ἵκανε.
Σμερδαλέος δ' αὐτῇσι φάνη, κεκακωμένος ἅλμῃ·
Τρέσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠιόνας προχύσας·
Οἴη δ' Ἀλκινόου θυγάτηρ μένε· τῇ γὰρ Ἀθήνη
Θάρσος ἐνὶ φρεσὶ θῆκε, καὶ ἐκ δέος εἵλετο γυίων·
Στῆ δ' ἀνταχομένη· ὁ δ' ἠρμήνευεν Ὀδυσεύς,
Ἢ γούνων λίσσοιτο λαβών, εὐώπιδα κούρην,
Ἢ αὔτως ἐπέεσσιν ἀποφθιμένοισι λίσσοιτ', εἰ δείξειε πόλιν, καὶ εἵματα δοίη·
Ὡς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Λίσσεσθαι ἐπέεσσιν ἀποφθιμένοισι μειλιχίοισι,
Μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη.
Αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον,
Γουνοῦμαί σε, ἄνασσα· θεός νύ τις, ἢ βροτός ἐσσι;
Εἰ μέν τις θεὸς ἐσσὶ, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,

Festinabat ire, veluti leo montanus, viribus fidens,
Qui incedit madidus & ventos-passus, inque suos oculos
Candescit: cæterùm hic ad boves accedit, aut oves,
Aut ad agrestiores cervos; jubet etenim eum venter
Pecudes tentaturum, etiam intra densam domum ire:
Ita Ulysses puellas pulchricomas erat
Accessurus, nudus quamvis esset; necessitas enim urgebat:
Horribilis autem ipsis apparuit, malè affectus salsugine;
Diffugerunt itaque huc atque illuc per littora prominentia:
Sola autem Alcinoi filia constitit; ipsi enim Pallas
Audaciam in mente indidit, & metum exemerat è membris:
Stetit itaque contra *ipsum* exceptura: cogitabat interèa Ulysses,
An supplicaret genua prendens pulchris-oculis puellæ:
An ut erat, verbis longè stans blandis
Precaretur, si ostenderet civitatem, & vestes donaret.
Sic sanè ei cogitanti videbatur satius esse,
Precari verbis eminùs stando blandis,
Nè ei genua prehendenti irasceretur mente puella:
Protenùs blandum & solertem dixit sermonem,
" Supplicitèr te oro, ô regina, dea sive aliqua, aut mortalis es:
" Siquidem dea es *earum*, quæ latum cœlum incolunt,

ΣΧΟΛΙΑ.

130. Βῆ δ' ἴμεν.] Ὥρμησε δὲ ἀπέναντι. Ὀρεσίτροφος.] Ὄρεσι τρεφόμενος.
131. Ὑόμενος.] Βρεχόμενος. Ἀήμενος.] Ὑπὸ ἀνέμων καταπνεόμενος.
132. Δαίεται.] Καίεται, * πυρὶ ὁμοίως ἔχει. Ἐπέρχεται.] Μετέρχεται.
134. Πειρήσοντα.] Πεῖραν λαμβάνοντα.
135. Ἐϋπλοκάμοισιν.] Εὐκόσμοις, ἀπὸ μέρους, τὸ πᾶν καλοῖς.
137. Κεκακωμένος.] Κακῶς διακείμενος.
138. Τρέσαν.] Φοβηθεῖσαι ἔφυγον. Προχύσας.] Περιβεβλημένας.
140. Δίος.] Φόβου. Εἵλετο.] Ἀφείλετο.
141. Ἀνταχομένη.] Νῦν, ἐξαναστᾶσα ἀναχομένη, καὶ μείνασα.
142. Λίσσοιτο.] Παρακαλοίη.
143. Αὔτως.] Οὕτως, ὡς ἔχει. Ἀποφθιμένοισι.] Ἐκ διαστήματος.
145. Δοάσσατο.] Ἔδοξε.
147. Χολώσαιτο.] Ὀργισθείη.
148. Κερδαλέον.] Σωτηρίου.
149. Γουνοῦμαι.] Ἱκετεύω. Ἄνασσα.] Βασιλὶς, δέσποινα.

NOTÆ.

137. Σμερδαλέος) Vid. ad *Var. Lect.*
145. Δοάσσατο) De hâc voce, vid. ad *Il.* ν'. v. 458.

NOTÆ IN SCHOLIA.

132. *Πυρὶ ὁμοίως ἔχει) Hæc addo, ex duob. MSS. Sensus, λέων ὃν ἑαυτῷ κατ' ὄσσε δαίεται, ut *Eustath.* exponit, fol. 1555. lin. 40.

VARIÆ LECTIONES.

132. Ἐπέρχεται) γρ. μετέρχεται, *H. Steph.* & *Br. Schol.*
137. Σμερδαλέος) γρ. σμερδαλέως, *Lugdun. Oxon.* & *Cantabr.* malè; cùm *Florent. Lovanian. Eustath. Aldin.* & *Steph.* σμερδαλέος, benè.

Ἀρτέμιδί σε ἔγωγε, Διὸς κύδρῃ μεγάλοιο,
Εἰδός τε, μέγεθός τε, φυλώ τ', ἄγχιστα ἐίσκω·
Εἰ δέ τις ἐστὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,
Τεισμάκαρες μὴν σοί γε πατὴρ καὶ πότνια μήτηρ,
Τεισμάκαρες δ' καπίγνητοι· μάλα πού σφίσι θυμὸς
Αἰὲν ἐϋφροσύνῃσιν ἰαίνεται, εἵνεκα σεῖο,
Λευσσόντων τοιόνδε θάλος χορὸν εἰσιχνεῦσαν.
Κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
Ὅς κέ σ' ἑέδνοισι βείσας οἶκόνδ' ἀγάγῃ.
Οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν,
Stabant itaque in vestibulo dii, datores bonorum;
Immensus vero risus excitatus est Diis beatis,
Artes inspicientibus ingeniosi Vulcani.
Tum verò aliud quis ità dicebat intuens proximum alium,
" Non recte-succedunt mala opera; assequitur tardus celerem:
" Ut nunc Vulcanus, cùm sit tardus, cepit Martem,
" Qui est velocissimus deorum, qui Olympum tenent,
" Claudus, *ingnam*, technis: propter quod & mulctam debet.
Sic illi quidem talia invicem dicebant:
Mercurium verò alloquutus est rex, Jovis filius, Apollo,
" Mercuri, Jovis fili, internuncie, dator bonorum,
" Numquid in vinculis velles duris compressus
" Dormire in lectulo, juxta auream Venerem?
Huic respondit continuò internuncius Mercurius,
" Utinam hoc fieret, ò rex jaculator Apollo:
" Vincula quidem ter talia inextricabilia circumfusa essent,

Σ Χ Ο Λ Ι Α.

320. Οὐκ ἐχέθυμος.] Οὐ λογισμὸν ἔχουσα, ἢ ὃ κρατοῦσι τῆς ἐπιθυμιῶν, ὁ σώφρων.
321. Χαλκοβατές.] Χαλκῷ βεβηκὸς, στερρόν.
322. Ἐνοσίχθων.] Μεγαλωφελής.
323. Ἑκάεργος.] Μακροβόλος, τοξότης, ὁ ἔνθεν ἐνεργῶν.
324. Αἰδοῖ.] Αἰσχύνῃ.
325. Δωτῆρες ἐάων.] Ἀγαθῶν δοτῆρες.
326. Ἄσβεστος.] Ἀκατάπαυστος. Μεταφορικῶς, ἀπὸ ἀψύχων εἰς ἔμψυχα. Ἀπὸ γὰρ τῶν πυρὸς ἐπὶ τὸ γέλωτα μετήνεγκε. Ὀρώρτο.] Διεγήγερτο.
327. Τέχνας.] Δόλους.
329. Οὐκ ἀρεταὶ κακαὶ ἔργα.] Οὐκ ἀρετῶσι ῥᾴμα ἐστὶ συζυγίας δευτέρας τῆς προεισπεμφάν. δηλοῖ δὲ, οὐκ ἀρετῶ καὶ εὐθήνειαν ἄγει τὰ κακὰ ἔργα. Ἐν ἀκμῇ Ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτῷ, εὐθηνοῦσι. Κιχάνει.] Καταλαμβάνει.
330. Εἷλε.] Νῦν, κατέλαβε.
331. Ὠκύπουν.] Ταχύπουν.
332. Τέχνῃσι.] Δόλοις, μηχαναῖς. Μοιχάγρια.] Μοιχόληπτε, τὰ ὑπὲρ τῆς ἀγερούσεως καὶ συλλήψεως τῆς μοιχῶν ἐπινύμφια. Ὀφέλλει.] Ὀφείλει, χρεωστεῖ.
335. Δῶτορ ἐάων.] Δοτὴρ ἀγαθῶν.
337. Λέκτροισι.] Κοίταις. Χρυσῇ.] Καλῇ, χρυσοφόρῳ.
338. Διάκτορος.] Διάγων τὰς ἀγγελίας.
340. Ἀπείρονες.] Μεγάλοι. Ἀμφὶς ἔχοιεν.] Περιέχοιεν.

Ν Ο Τ Æ.

329. Οὐκ ἀρεταῖ κακαὶ ἔργα) Hic satis sensum suum Divinus aperit Poeta. *Theogn.* v. 329. Καὶ βραδὺς εὐβέλως εἷλεν ταχὺν ἄνδρα διώκων.

336. Ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις) Ità rectè *Eustathius* in Textu, & παρεκβολαῖς, Malè *Florentina* & *Aldina*, δεσμοῖσι θέλοις, vid. ad *Iliad. α'.* v. 133.

Variæ Lectiones.

336. Δεσμοῖς ἐθέλοις) γρ. δεσμοῖσι θέλοις, vid. Not. ad *Textum*.

337. Χρυσῇ) γρ. χρυσῷ.

Ὑμεῖς

Ὑμεῖς δ' εἰσορόωντες, θεοὶ, πᾶσαί τε θέαιναι,
Αὐτὰρ ἐγὼν εὔδοιμι παρὰ χρυσέῃ Ἀφροδίτῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα γέλως ὦρτ' ἀθανάτοισι θεοῖσιν.
Οὐδὲ Ποσειδάωνα γέλως ἔχε, λιστὸ δ' αἰεὶ
Ἥφαιστον κλυτοεργὸν, ὅπως λύσειεν Ἄρηα·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
Τίσειν αἴσιμα πάντα μετ' ἀθανάτοισι θεοῖσι.
Τόνδ' αὖτε προσέειπε πολύμητις Ἀμφιγυήεις,
Μή με, Ποσείδαον γαιήοχε, ταῦτα κέλευε·
Δειλαὶ τοι δειλῶν γε κὴ ἐγγύαι ἐγγυάασθαι.
Πῶς ἂν ἐγώ σε δέοιμι μετ' ἀθανάτοισι θεοῖσιν,
Εἴκεν Ἄρης οἴχοιτο, χρεὸς κὴ δεσμὸν ἀλύξας;
Τόνδ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων,
Ἥφαιστ', εἴ περ γάρ κεν Ἄρης χρεῖος ὑπαλύξας
Οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τίσω.
Τόνδ' ἠμείβετ' ἔπειτα πολύμητις Ἀμφιγυήεις,
Οὐκ ἔστ', οὐδὲ ἔοικε, τὸν ἔπος ἀρνήσασθαι.
Ὣς εἰπὼν, δεσμῶν ἀνίει μύθος Ἡφαίστοιο.

Vos autem videritis, dii, omnesque deæ,
Nihilominùs vellem dormire apud auream Venerem.
Sic ait, risusque excitatus est ab immortalibus diis:
Neque tamen Neptunum risus tenebat, precabatur autem instanter
Vulcanum inclytum-artificem, ut solveret Martem;
Et ipsum alloquutus verba alata dicebat,
Solve; ego autem illum sponde, ut tu jubes,
Soluturum esse decentia omnia inter immortales deos.
Hunc rursus alloquutus est inclytus artifex Vulcanus,
„ Ne me, Neptune terræ-quassator, hæc jubeas:
„ Miseræ pro miseris etiam sponsiones ad spondendum.
„ Quo enim pacto ego te obligârim inter immortales deos,
„ Siquidem Mars abierit, debito & vinculis evitatis?
Hunc rursus alloquutus est Neptunus terræ-quassator,
„ Vulcane, etiamsi Mars debitum renuens
„ Abierit fugiens, ipse tibi ego hæc persolvam.
Huic respondit continuò inclytus Vulcanus,
„ Non fas est, neque decet, tuam orationem abnuere.
Sic locutus, è vinculis solvit robur Vulcani.

ΣΧΟΛΙΑ.

341. Ὀρόωντες.] Ὁρῶντες, βλέποντες.
345. Κλυτοεργόν.] Ἔνδοξον καθὸ τὸ ἔργον.
347. Ὑπίσχομαι.] Ὑπισχνοῦμαι.
348. Τίσειν.] Ἐκτίσειν, ἀποδώναι.
349 Ἀμφιγυήεις.] Ἀμφοτέρους τοὺς πόδας ἔχων χωλούς.
351. Δειλαὶ τοι δειλῶν γε.] Δειλαὶ κὴ δυσχερεῖς αἱ ἐγγύαι, κὴ δειλὸν, τὸ ἐγγυᾶσθαι· ἢ, αἱ σφᾶς τοὺς δειλαίους ἀδυνάτους ἐγγυᾶσθαι ἐδὲν δύνανται τῶν ἀδικημάτων ἐπιξελθεῖν, δι' ἀδύνειαν μὴ δυναμένων· ἢ ὅτως, αἱ ὑπὲρ τῶν κακῶν κὴ δειλῶν ἐγγύαι, κὴ αὗται κακαί εἰσι, τὸν πίστιν ὑπὲρ τοῦ πιστοῦ μηδενὸς τηρεῖν δυναμένου· παρὸ τοῦτο ὁ κὴ τὸ σοφὸν, Ἐγγύη, πάρα δ' ἄτα.
352. Πῶς ἂν ἐγώ σε δέοιμι.] Εὐλόγως ἀμφιβάλλομαι, ὡς, Δήεις τόν γε σύεσσιν· ὁ δὲ Ἀρίσταρχος, πῶς ἂν σ' εὐθύνοιμι; οἱ δὲ, ἐπὶ τὸ δῆσαι κὴ δεσμεῦσαι. ὁρᾷς, φησὶν ὁ λόγος, ἀρτεῖται δὲ, ὡ δύναμαί σε δῆσαι, ὁ δὲ ἐκνικώμενος ἐπὶ τοῖς αὐτοῖς γίνεται. εἰ δὲ ὁ Ἄρης ἀποδράσας, φησὶν, οἴχῃ φυγὼν, πῶς ἂν σε αὖτ' ἐκεῖνος δήσαιμι, ὅπου μοῦ πολλῷ χρονιώτερον; ἤτοι ἀπὸ τοῦ αὐτοῦ ἀδύνειαν, ἢ ἀπὸ τοῦ πρὸς ἐκεῖνον αἰδοῦς. Δέοιμι.] Δεσμεύοιμι, κρατοῖμι, ζητοῖμι.
353. Οἴχοιτο.] Ἀπέλθοι.
355. Χρεῖος.] Ἀττικῶς τὸ χρέος, τὸ ὄφλημα.
356. Τίσω.] Ἐκτίσω, ἀποδώσω.
359. Ἀνίει.] Ἔλυεν.

ΝΟΤΑ.

359. Ὡς εἰπὼν, δεσμῶν ἀνίει) *Aldina, Florentina, Romana Eustathii & Basileensis, & Lovaniana,* δισμῶν omnes legunt, δισμὸν, *H. Steph.* qui nè alteram *Lectionem* visus videsse; nec enim inter *Varias* habet. *Eustath.* fol. 313. lin. 17. ὃν δισμῷ λῦσε, τὸ δ' αὐτὸ κὴ ἀνιέναι λέγεται, ὡς δηλοῖ τὸ, Δεσμῶν ἀνίει. Δεσμὸν itaque Error Præli, &c. Εἰπὼν, refertur ad Ἀμφιγυήεις, quod præcesserat, non ad μέν &c. nisi per χῆμα πρὸς τὸ σημαινόμενον.

NOTÆ IN SCHOLIA.

352. Πῶς) Totum hoc *Scholion,* usque ad δισμοῦσαι, apud *Etymolog.* M. unde &, pro * κὴ σὺ θρασὺς, quod nihil huc attinebat, melius lego * κὴ δισμοῦσαι.

VARIÆ LECTIONES.

352. Πῶς ἂν ἐγώ σε δέοιμι) γρ. πῶς ἂν σ' εὐθύνοιμι, *Aristarch.* Vid. *Br. Schol.* & *Etymolog.* M. v. Δέομαι.
355. Χρεῖος) χρ. χρέως, *Eustath.* fol. 313. lin. 37.
359. Δεσμῶν) χρ. δισμὸν, vid. Not. in *Textum.*

Τῶδ' ἐπεὶ ὅν. δεσμοῖο λύθεν, κρατερῷ περ ἐόντος,
Αὐτίκ' ἀναΐξαντες, ὁ μὲν Θρήϊκηνδε βεβήκει,
Ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
Ἐς Πάφον· ἐνθάδε οἱ τέμενος βωμός τε θυήεις·
Ἐνθάδε μιν Χάριτες λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ
Ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας·
Ἀμφὶ δὲ εἵματα ἕσσαν ἐπήρατα, θαῦμα ἰδέσθαι.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄφαρ περικλυτὸς· αὐτὰρ Ὀδυσσεὺς
Τέρπετ' ἐνὶ φρεσὶν ἦσιν ἀκούων, ἠδὲ καὶ ἄλλοι
Φαίηκες δολιχήρεμοι, ναυσίκλυτοι ἄνδρες.
Ἀλκίνοος δ' Ἄλιον καὶ Λαοδάμαντα κέλευσεν
Μοῦνὰξ ὀρχήσασθαι, ἐπεὶ σφισιν οὔτις ἔριζεν.
Οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἔλοντο
Πορφυρέην, τὴν σφιν Πόλυβος ποίησε δαίφρων,
Τὴν ἕτερος μὲν ῥίπτασκε ποτὶ νέφεα σκιόεντα,
Ἰδνωθεὶς ὀπίσω· ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς,
Ῥηϊδίως μετέλεσκε, πάρος ποσὶν ὧδας ἱκέσθαι.
Αὐτὰρ ἐπειδὴ σφαίρῃ ἀν' ἰθὺν πειρήσαντο,
Ὠρχείσθην δὴ ἔπειτα ποτὶ χθονὶ πολυβοτείρῃ,
Ταρφέ' ἀμειβόμενω· κῆρες δ' ἐπελήκεον ἄλλοι,
Ἑσταότες καλ' ἀγῶνα· πολὺς δ' ὑπὸ κόμπος ὀρώρει.
Δὴ τότ' ἄρ' Ἀλκίνοον προσεφώνεε δῖος Ὀδυσσεὺς,

Illi postquam nexu soluti sunt, quantumvis duro,
Statim impetu facto, ille quidem in Thraciam descendit,
Illa verò ad Cyprum pervenit risum-amans Venus,
In Paphum; ubi illi lucus araque odorata.
Hìc ergo ipsam Gratiæ lavârunt, & unxerunt oleo
Immortali, ut diis in usu est immortalibus:
Vestes autem induebant desiderabiles, visu suspiciendas.
Hæc utique cantor cantabat inclytus: cæterùm Ulysses
Oblectabatur mente suâ audiens, atque etiam alii
Phæaces longorum-remorum, navibus-inclyti viri.
Alcinous autem Halium & Laodamanta jussit
Solos tripudiare, quoniam cum ipsis nemo contendebat.
Hi igitur postquam pilam pulchram in manibus acceperunt
Purpuream, quam ipsis Polybus fecerat prudens,
Hanc alter jaciebat ad nebulas umbrosas
Flexus retrò, alter autè à terrâ in altù elevatus, viz. in aëre suspensus,
Facilè accipiebat, antequâ pedibus in solum veniret:
At postquam pilâ in rectum periculum-fecerunt,
Saltaverunt postea in terrâ almâ,
Frequentèr alternantes; juvenes autem applaudebant alii,
Stantes in certamine: multúsque strepitus ortus est.
Jam tunc Alcinoum alloquutus est nobilis Ulysses,

ΣΧΟΛΙΑ.

361. Ἀναΐξαντ.] Ἀνορμήσαντες.
362. Φιλομμειδὴς.] Φιλόγελως, ἱλαρά.
363. Πάφοι.] Πόλις Κύπρου. Θυήεις.] Θυμιαμάτων πλήρης.
365. Ἐπενήνοθεν.] Ἐπλῶ, ἐπέκειτο.
366. Ἐπήρατα.] Ἐπέρασται, καλά.
369. Δολιχήρεμοι.] Μακροβόαποι.
371. Μοῦνὰξ] Καθ' ἕνα, * ἢ μόνους. Ἐπὶ σφισιν.] Ἐπ' αὐτούς. Ἔριζεν.] Ἐξισοῦτο.
374. Ῥίπτασκε.] Περίττο.
375. Ἰδνωθεὶς.] Καμφθείς. Ἀερθεὶς.] Ἐπαρθείς.
376. Μετέλεσκε.] Μετελάμβανε.
377. Ἀν' ἰθύν.] * Ἔγκειται τὸ ἄνω, * ἢ ἀνὰ, καὶ τὸ ἰθύνειν, οἷον ἀνορμῶντες· * ἤλατο γάρ.
379. Ταρφὲ' ἀμειβομένω.] Πυκνῶς ἀμπλίκοντες, εἰς ἀλλήλους σκαμματόμενοι. Ἐπελήκεον.] Ἐπιβοῶντο, ἐπικροτοῦν τοῖς ποσίν.
380. Ἑσταότες.] Ἱσάμενοι.

NOTÆ.

361. Ἀναΐξαντες) Ità, pro ἀναΐξαντι, quomodò *Eustath.* fol. 314. lin. 11. *Ib.* Ὁ μὲν Θρήϊκηνδε ἐβεβήκει.

Ovid. Art. Am. l. 2. *Mars Creten* occupat, illa *Paphon.* Pro *Creten*, tu *Threcen* lege, hujus loci auctoritate.

NOTÆ IN SCHOLIA.

365. Ἐπενήνοθεν) Præter *Scholia*, consule *Hesych. Suidam, Etymolog.* M. in v. *Eustath.* fol. 314. lin. 23.
371. Μοῦνὰξ) Καθ' ἕνα, ἢ μόνους. Ità *Aloys.* MS.

pro corrupto καθένα, * ἢ μόνους.
377. * Ἔγκειται) & * ἤλατο, pro παρὰ & ἵλαντο, emendo. Voces * ἢ ἀνὰ, addo ὅτε.

VARIÆ LECTIONES.

361. Ἀναΐξαντες) χρ. ἀναΐξαντε, *Br. Schol.* & multæ Editt.
371. Ἐπεὶ σφισι) χρ. ἐπὶ σφισι, *Br. Schol.*

Aldin. Edit.
377. Ἀν' ἰθύν) χρ. ἀνιθύν, *H. Steph.*
380. Κόμπος) χρ. δοῦπος, *H. Steph.*

Ἀλκι-

Ἀλκίνοε κρεῖον, πάντων ἀειδείκελε λαῶν,
Ἦ μὺ ἀπείλησας βητάρμονας εἶναι ἀείσυς,
Ἦ δ' ἄρ' ἐτοῖμα τέτυκλο· σέβας μ' ἔχῃ εἰσοράωντα.
Ὡς Φάτο· γήθησεν δ' ἱερὸν μὺς Ἀλκινόοιο·
Αἶψα ᾧ Φαίηκεσι Φιληρέτμοισι μετηύδα,
Κέκλυτε, Φαίηκων ἡγήτορες, ἠδὲ μέδοντες,
Ὁ ξεῖνος μάλα μοὶ δοκέῃ πεπνυμὺς εἶναι·
Ἀλλ' ἄγε, οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιεικές·
Δώδεκα γὰ χτ' δῆμον ἀειπρεπέες βασιλῆες
Ἀρχοὶ κραίνυσι, τρισκαιδέκαλ ὃ ἐγὼ αὐτός·
Τῶν οἱ ἕκαστος φᾶρος ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
Καὶ χρυσοῖο τάλαντον ἀνείκατε πιμπλεῖ.
Αἶψα ᾧ πάντα φέρωμὲν ἀολλέες, ὄφρ' ἀνὶ χερσὶ
Ξεῖνος ἔχων, ἐπὶ δόρπον ἴῃ χαίρων ἀνὶ θυμῷ·
Εὐρύαλος δέ ἑ αὐτὸν διαπρὸ ἔπεσσι
Καὶ δώρῳ· ἐπεὶ ὄπι ἔπ' καλὰ μοῖραν ἔειπεν.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον·
Δῶρα δ' ἄρ' οἰσέμεναι τρφέσαν κήρυκα ἕκαστος.
Τόνδ' αὖτ' Εὐρύαλος ἀπαμείβετο, φώνησέν τε.
Ἀλκίνοε κρεῖον, πάντων ἀειδείκετε λαῶν,
Τοιγὰρ ἐγὼ τ' ξεῖνον διαπρέσσομαι, ὡς σὺ κελεύεις·
Δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη

" Alcinoë rex, omnium clarissime populorum,
" Certè pollicitus es tripudiatores esse optimos,
" Profectò manifestè factum est: stupor me habet inspicientem.
Sic dixit, lætata autem est sacra vis Alcinoi;
Statimque Phæacenses amantes-remos alloquutus est,
" Audite, Phæacensium ductores ac principes;
" Hospes mihi valdè videtur prudens esse.
" Verùm agite, ei demus hospitale munus, uti decet:
" Duodecim enim in populo præclari reges
" Principes imperant, tertius decimus autem ego ipse.
" Ex his ei vestem singuli benè-lotam & tunicam,
" Et auri talentum ferte precioſi.
" Statim verò omnia portemus congregati; ut in manibus
" Hospes tenens ad cænam veniat lætus in animo.
" Euryalus autem illum ipsum conciliet verbis,
" Et dono; quoniam nequaquam, ut decuit, loquutus est.
Sic dixit; omnesque laudaverunt, & jusserunt;
Donáque ut ferret, præmiserunt præconem singuli;
Huic rursus Euryalus respondit, loquutusque est,
" Alcinoë rex, omnium clarissime populorum;
" Tibi equidem hunc hospitem conciliabo, sicut tu jubes;
" Dabo ei hunc ensem totum æreum, cui est manubrium

ΣΧΟΛΙΑ.

382. Κρεῖον.] Ἄρχον, βασιλεῦον. Ἀειδείκετε.] Ἄγαν ἔκδηλε, ἐπιφημιζόμενε, ἐκπρεπίζοντε.
383. Ἀπείλησας.] Περιτείνω, ὑπίσχω, ἐκαυχήσω, παρὰ τὸ δίνω. Βητάρμονες.] Ὀρχησταὶ, οἱ ἀφ' ἕ ποδῶν ὀρχούμενοι, ἀπὸ δ' ἁρμονιῶν βαίνῃ.
384. Ἑτοῖμα τέτυκλο.] Φανερὰ ἦν, ὅτις εἶχεν.
386. Φιληρέτμοισι.] Φιλοκώπους, ναυλικοῖς.
389. Ὡς ἐπιεικές.] Ὡς σεμνὸ.
391. Κραίνυσι.] Διαπλέουσι, ὑπάρχουσιν.
393. Ἀνείκατε.] Ἀγάγατε, κομίσατε, ἐνέγκατε.
394. Ἀολλέα.] Ὁμοῦ συναχθέντα, ἀθρόα.
395. Δόρπον.] Δεῖπνον. Ἴῃ.] Πορεύοιτο.
396. Ἀρεσπόλω.] Φιλοφρονησάτω.
399. Πρόσσω.] Περίπεμψαν.
402. Ἀρέσσομαι.] Φιλοφρονήσομαι.
403. Κώπη.] Ἡ λαβή.

NOTÆ.

396. Εὐρύαλ ᾧ δέ ἑ αὐτὸν) *Henricus Stephanus* & *Eustathius*, ᾧ αὐτὸν videntur tantùm legisse, *Florentina*, *Aldina*, *Lovaniana*, *Romana* & *Basileensis*, ᾧ ἑαυτὸν, quæ ultima Vox si junctim legatur, minimè hìc ferenda; sin disjunctim, veram habes Lectionem, Εὐρύαλ ᾧ δέ ἑ αὐτὸν, geminâ nempe voce pro μὲν αὐτὸν, ut δ'. v. 643. Non benè *Isaac. Casaubon.* ἑαυτὸν ex *Eustathio* & aliis Editt. legendum monet, non enim reciprocatur cum *Euryalo*, verùm ad *Ulyssem* refertur, quem ille irritaverat, unde nunc urgetur ab ipso Rege, sibi conciliare & placare.

VARIÆ LECTIONES.

384. Ἦ δ' ἄρ' ἔτοιμα) γρ. παῦτα δ' ἑτοῖμα.
391. Τρισκαιδέκαλος) γρ. τρισκαιδέκαλος, *Eustath.* fol. 318. lin. 29.
393. Ἀνείκατε) γρ. ἀνέγκατε.
394. Ἀολλέες) γρ. ἀολλέα, *H. Steph.*
396. Εὐρύαλ ᾧ δέ ἑ αὐτὸν) γρ. Εὐρύαλ ᾧ ἑαυτὸν, vid. Not. in *Textum*.
403. Παγχάλκεον) γρ. παγχρύσεον.

Ἀργυρέη, κολεὸν δ᾽ ἐλέφαντος ἀοπρίστῳ
Ἀμφιδεδίνῃ· πολέος δέ οἱ ἄξιον ἔσται.
Ὡς εἰπὼν, ἐν χερσὶ πάλ᾽ ξίφος ἀργυρόηλον,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ᾽ εἴπερ τι βέβακε
Δεινὸν, ἄφαρ τό φέροιεν ἀναρπάξασαι ἄελλαι·
Σοὶ δὲ θεοὶ ἄλοχόν τ᾽ ἰδέειν, καὶ πατρίδ᾽ ἱκέσθαι,
Δοῖεν· ἐπειδὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις.
Τόνδ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Καὶ σὺ, φίλος, μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν·
Μηδέ τι τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο
Τύτθ, ὃ δή μοι δῶκας ἀρεσσάμενος ἐπέεσσιν.
Ἦ ῥα, καὶ ἀμφ᾽ ὤμοισι θέτο ξίφος ἀργυρόηλον·
Δύσετό τ᾽ ἠέλιος, καὶ τῷ κλυτὰ δῶρα παρῆεν.
Καὶ τάγ᾽ ἐς Ἀλκινόοιο φέρον κήρυκες ἀγαυοί·
Δεξάμενοι δ᾽ ἄρα παῖδες ἀμύμονος Ἀλκινόοιο,
Μητρὶ παρ᾽ αἰδοίῃ ἔθεσαν θείκαλλέα δῶρα.
Τοῖσιν δ᾽ ἡγεμόνευε ἱερὸν μένος Ἀλκινόοιο·
Ἐλθόντες δὲ κάθιζον ἐν ὑψηλοῖσι θρόνοισι·
Δή ῥα τότ᾽ Ἀρήτη προσέφη λευκώλενος Ἀλκινόοιο,
Δεῦρο, γύναι, φέρε κηλὸν ἀειπρεπέ, ὅττις ἄρίστη·
Ἐν δ᾽ αὐτῇ θὲς φᾶρος εὐπλυνὲς, ἠδὲ χιτῶνα·
Ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμελε δ᾽ ὕδωρ,
Ὄφρα λοεσσάμενός τε, ἰδὼν τ᾽ εὖ κείμενα πάντα
Δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ᾽ ἐνεῖκαν,
Δαιτί τε τέρπηται, καὶ ἀοιδῆς ὕμνον ἀκούων·
Καί οἱ ἐγὼ τόδ᾽ ἄλεισον ἐμὸν θείκαλλὲς ὀπάσσω,

" Argenteum, vaginâque nuper-fecti eboris
" Circumvoluta est, multò autem ei dignus erit.
Sic dicens, in manibus posuit ensem argenteis-clavis,
Et ipsum alloquens verba pennata dixit,
" Gaude, pater ô hospes; verbum verò si quod dictum est
" Grave, statim illud auferant rapientes turbines.
" Tibi autem dii uxorem videre, & in patriam redire,
" Concedant, quandoquidem diu ab amicis incommoda pateris.
Hunc respondens alloquutus est prudens Ulysses,
" Et tu, amice, valdè gaude; dii verò tibi felicia dent,
" Neque ampliùs tibi ensis desiderium posthac fiat
" Hujusce, quem jam mihi dedisti concilians verbis.
Dixit & circa humeros posuit ensem argenteis-clavis;
Occiditque sol, & huic inclyta dona adfuerunt.
Et hæc in domum Alcinoi tulerunt præcones conspicui.
Suscipientes autem filii eximii Alcinoi,
Matrem juxta venerandam posuerunt perpulchra dona.
His itaque præibat sacra vis Alcinoi;
Venientes verò sederunt in altis soliis:
Tunc utique Areten alloquuta est vis Alcinoi,
" Agè, mulier, fer arcam pulchram, quæ optima;
" Inque eâ impone vestem benè loram & tunicam.
" Et pro eo super ignem lebetem calfacite, ferveraciteque aquam;
" Ut lotusque, & videns benè posita omnia
" Dona, quæ ei Phæaces eximii hùc tulerunt,
" Et convivio oblectetur, & cantilenæ carmen audiens.
" Atque ei ego hoc poculum meum pulchrum præbebo,

Σ Χ Ο Λ Ι Α.

404. Κολεόν.] Ἡ ξιφοθήκη.
405. Ἀμφιδεδίνῃ.] Κύκλῳ θείκει.
408. Βέβακται.] Πεφλυάρηκε. Ἔνθεν καὶ βάξ, ὁ ῥαψῳδὸς, παρὰ τὸ βάζειν.
413. Ὄλβια.] Ὄλβον, εὐδαιμονίαν, πλοῦτον.
414. Ποθή.] Ἐπιζήτησις.

N O T Æ.

424. Κηλὸν ἀειπρεπέ, ὅ τις ἄρίστη) Hinc patet Vulgarium *Lexicorum* Error, quibus ὁ κηλὸς, cùm tamen & hìc, & ν'. v. 68. & φ'. v. 51. & 52. & *Iliad.* π'. v. 221. & 222. Fœmininum esse appareat.

V A R I Æ L E C T I O N E S.

408. Πατὴρ) γρ. πάτερ, ut sæpè aliàs. Mallem, χαῖρε, πατὴρ ὁ ξεῖνος, &c. *Ibid.* Βέβακται) γρ. λέλεκται, *Plutarch.* Vid. *Duport.* Gnomolog. *Homeric.* in hunc locum.
417. Δύσεθ') γρ. δύσεθ', vid. ad η'. v. 289.
417. Δύσετ'.] Ἔδυ.
424. Δεῦρο.] Ἀντὶ τοῦ, ἄγε. Κηλόν.] Κιβώτιον. Ἀειπρεπέα.] Ἄγαν εὐπρεπῆ.
426. Ἰήνατε.] Θερμάνετε, χλιαίνετε.
430. Ὀπάσσω.] Δώσω, παρέξω.

Χρύσεον,

Χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
Σπένδῃ οἰνὶ μεγάρῳ Διί τ', ἄλλοισίν τε θεοῖσιν.
Ὣς ἔφαθ'· Ἀρήτη δὲ μετὰ δμωῇσιν ἔειπεν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὄτλι τάχιστα.
Αἱ δ' ἄρα λοετροχόον τρίποδ' ἔστασαν ἐν πυρὶ κηλέῳ·
Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δ' ξύλα δαῖον ἔλυσαν.
Γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.
Τόφρα δ' ἄρ' Ἀρήτη ξεινῳ θείαλλέα κηλὶν
Ἐξέφερεν θαλάμοιο, τίθει δ' ἐνὶ κάλλιμα δῶρα,
Ἑσθῆτα, χρυσόν τε, τά οἱ Φαίηκες ἔδωκαν·
Ἐν δ' αὐτῇ Φᾶρος θῆκεν, καλόν τε χιτῶνα,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον,
Μήπις τοι καθ' ὁδὸν δηλήσεται, ὁππόταν αὖτε
Εὕδηθα γλυκὺν ὕπνον, ἰὼν ἐν νηῒ μελαίνῃ.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε πολύτλας δῖος Ὀδυσσεύς,
Αὐτίκ' ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλε
Ποικίλον, ὅν ποτέ μιν δέδαε φρεσὶ πότνια Κίρκη.
Αὐτόδιον δ' ἄρα μίν ταμίη λόεσθαι ἄνωγεν,
Ἐς ῥ' ἀσαμίνθον βάντ'· ὁ δ' ἄρ' ἀσπασίως ἴδε θυμῷ
Θερμὰ λοέτρ'· ἐπεὶ οὔπω κομιζόμενός γ' ἐτάμιζεν,
Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο·

"Aureum; ut mei memor diebus omnibus
"Libet domi *suæ* Jovique, aliisque Diis.
Sic, ait; Arete autem ancillis loquuta est,
Ut circa ignem locent lebetem magnum quam celerrime.
Hæ itaque lavacralem lebetem locârunt ad ignem ardentem:
Aquam vero infuderunt, subtusque ligna accendebant congesta:
Alvum quidem tripodis ignis circumdedit, calefiebat autem aqua.
Interea Arete hospiti pulchram cistam
Extulit è thalamo, imposuit verò pulchra dona,
Vestem, aurumque, quæ ei Phæaces dederant.
Inque ea indusium imposuit, pulchramque tunicam,
Et ipsum alloquuta verba volatilia dixit,
"Ipse nunc vide de operculo, statim verò vinculum circumliga,
"Nè quis tibi in itinere damnum afferat, cùm forte
"Dormieris dulcem somnum, profectus in navi nigrâ.
Cæterum postquam hoc audivit prudens divus Ulysses,
Statim aptavit operculum, celeriterque vinculum ligavit
Varium, quod olim illum docuerat ingenio veneranda Circe.
E vestigio autem ipsum ancillarum moderatrix lavari jussit,
In lavacrum ubi conscendisset; ille verò libenter vidit animo
Calida lavacra; quoniam neutiquam curatus frequentaret *talia*,
Ex quo reliquit domum Calypsûs pulchricomæ:

Σ Χ Ο Λ Ι Α.

435. Λοετροχόον.] Εἰς ὃν τὰ λουτρὰ χεῖτο. Κηλέῳ.] Καυσιμῳ.
436. Δαῖον.] Διάκαυστον.
437. Γάστρην.] Τὸ χώνευμα, ἢ τὸ πυθμένα.
443. Ἴηλον.] Ἐπίβαλε.
444. Καθ' ὁδόν.] Κατὰ πλοῦν.
445. Εὕδηθα.] Καθεύδεις.
447. Ἐπήρτυεν.] Ἐφήρμοζεν. Ἴηλε.] Ἐπέβαλεν.
448. Δέδαεν.] Ἐδίδαξεν, ἀφ' οὗ τὸ, τοὺς ἑταίρους αὐτοῦ λῦσαι τὸν ἐπικεῖ δεσμόν.
449. Αὐτόδιον.] Παραχρῆμα, ἐξ αὐτοῦ ὁδοῦ, οὐκ ἀλλαχοῦ πού χωρισθέντα. ἢ Αὐτοδίως, σχὶν ἀλλαχοῦ πορευθῆναι, μὴ τὸ δῆσαι τὸν κιβωτὸν ὁ Ὀδυσσεύς.
450. Ἀσαμίνθον.] Πύελον, ἀπὸ τοῦ μινύθειν τὸν ὕσιν ἢ σώματος. Ἀσπασίως.] Ἐπιθυμητῶς.
451. Κομιζόμενός γ' ἐτάμιζεν.] Οὐδὲ ἄλως ἐκοσμεῖτο, οὐδὲ ἐπιμελείας ἠξιοῦτο.
452. Ἐπειδή.] Ἀφ' οὗ δή.

N O T Æ.

436. Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν) Olim in omnibus Exemplaribus, hoc in loco, ἔχυαν· verùm in ἔχεαν emendandum censui, quod ità in omnibus legatur, *Iliad.* σ'. v. 347. *Isaac. Casaubon.* χύαν, ex *Eustathio* legendum monet, fol. 320. lin. 36.

452. Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς) Versus ἀκέφαλος, μικροκέφαλος, βραχυκέφαλος. *Iambus* enim pro *Spondæo*, in principio, Vid. *Athenæ.* l. 14. c. 8. fol. 632. & quæ Nos ad *Iliad.* ψ'. v. 2.

Variæ Lectiones.

435. Ἔστασαν) γρ. ἵστασαν, *H. Steph.*
436. Ἔχεαν) γρ. ἔχευαν, χύαν, vid. N. in *Textum.*
449. Αὐτόδιον) γρ. αὐτοδίως, *Br. Schol.*
451. Κομιζόμενός γ' ἐτάμιζεν) γρ. κομιζόμενός γε τάμιζεν, ut infrà, v. 481.

Τόφρα

Τόφρα δέ οἱ κομιδή γε, θεῷ ὡς, ἔμπεδος ἦεν.
Τόνδ' ἐπεὶ δὴ δμωαὶ λοῦσαν, καὶ χεῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν χλαῖναν καλὴν βάλον ἠδὲ χιτῶνα,
Ἐκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μὴ οἰνοποτῆρας
Ἤιε. Ναυσικάα δ', θεῶν ἄπο κάλλος ἔχουσα,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο·
Θαύμαζεν δ' Ὀδυσῆα κὶ ὀφθαλμοῖσιν ὁρῶσα,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν κὶ πατρίδι γαίῃ
Μνήσῃ ἐμεῖ, ὅτι μοι πρώτῃ ζωάγρι' ὀφέλλεις.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ναυσικάα, θύγατερ μεγαλήτορος Ἀλκινόοιο,
Οὕτω νῦν Ζεὺς θείη ἐρίγδουπος πόσις Ἥρης,
Οἶκάδε τ' ἐλθέμμαι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
Τῷ κέν τοι κἀκεῖθι, θεῷ ὡς, εὐχετοώμην
Αἰεὶ ἤματα πάντα· σὺ γάρ μ' ἐβιώσαο, κούρη.
Ἦ ῥα, καὶ ἐς θρόνον ἷζε παρ' Ἀλκίνοον βασιλῆα.
Οἱ δ' ἤδη μοίρας τ' ἔνεμον, κεράωντό τε οἶνον.
Κῆρυξ δ' ἐγγύθεν ἦλθεν, ἄγων ἐρίηρον ἀοιδόν,
Δημόδοκον, λαοῖσι τετιμένον· εἷσε δ' ἄρ' αὐτὸν
Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας.
Δὴ τότε κήρυκα προσέφη πολύμητις Ὀδυσσεύς,
Νώτου ἀποταμών· ἐπὶ ἦ πλεῖον ἐλέλειπτο
Ἀργιόδοντος ὑὸς, θαλερὴ δ' ἦν ἀμφὶς ἀλοιφή,
Κῆρυξ, τῇ δὴ τῦτο πόρε κρέας, ὄφρα φάγῃσι,
Δημοδόκῳ, καί μιν προσπτύξομαι, ἀχνύμενός περ.
Πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ

Tunc enim ei curatio, tanquam deo, perpetua erat.
Hunc postquam ancillæ lavârunt & unxerunt oleo,
Circaque ipsum chlænam pulchram jecerunt atque tunicam,
Ex labro egressus viros ad vini-potatores
Ibat. Nausicaa verò, à diis pulchritudinem habens,
Stetit juxta portam tecti pulchrè fabricati;
Admiratataque est Ulyssem oculis aspiciens,
Et ipsum alloquuta verba alata dicebat,
" Salve, hospes, ut etiam olim, cùm eris in patriâ terrâ,
" Memineris meî, quòd mihi vitæ *conservatæ* mercedem debes.
Hanc respondens alloquutus est solers Ulysses,
" Nausicaa, filia magnanimi Alcinoi,
" Sic nunc Jupiter ratum-faciat valdesonans maritus Junonis,
" Domum ut veniam, & reditûs diem videam:
" Idcirco tibi etiam illic, velut deo, vota faciam
" Semper diebus omnibus: tu enim me servâsti, puella.
Dixit, & in thronum sedit juxta Alcinoum regem.
Hi verò jam partes dividebant, miscebantque vinum.
Præcoque prope venit ducens amabilem cantorem,
Demodocum, populo venerandum; collocavitque ipsum
In medio convivantium, ad columnam longam firmando *eum*.
Jam tum præconem alloquutus est sagax Ulysses,
A tergo proscindens; multum enim supererat
Albidentis suis, multaque erat circum pinguedo,
" Præco, en! hanc præbe carnem, ut comedat,
" Demodoco, & *dic*, *ut* ipsum complectar, tametsi tristis:
" Omnibus enim hominibus terrestribus Poetæ

ΣΧΟΛΙΑ.

453. Κομιδή.] Ἐπιμέλεια.
456. Οἰνοποτῆρας.] Τοὺς σώφρονας.
458. Σταθμόν.] Παραστάδα. Τέγεος.] Ἤτοι τῆς μεγάρου, οἴκου.
462. Ζωάγρια.] Τὰ ἐκ τῆς ζωῆς ὀφειλόμενα. Ὀφέλλεις.] Ὀφείλεις, χρεωστεῖς.
467. Τῷ κέν τοι.] Διὸ ἂν σοι. Εὐχετοώμην.] Εὐχοίμην.
468. Ἐβιώσαο.] Τὸ ζῆν παρεσκεύησας, ἔσωσας.
470. Μοίρας.] Μερίδας. Ἔνεμον.] Ἐμέριζον.
472. *Τετιμένον.] Ἔντιμον, μεγαρόν.
475. Ποταμών.] Ἀφελών.
476. Θαλερή.] Θάλλουσα. Ἀλοιφή.] Πιμελὴ, λίπος.
477. Τῇ.] Δίξας, λάβε.
478. Προσπτύξομαι.] Φιλοφρονήσομαι.

NOTÆ IN SCHOLIA.

472. *Τετιμένον) Hoc *Scholion* ità ad *Textum* conformo: quod hactenùs malè huc intruserat, in suum locum repono, nempe ad v. 303.

VARIÆ LECTIONES.

462. Μνήσῃ) γρ. μνήσκῃ, *H. Steph.* *Ibid.* Ἐμεῖ) γρ. ἐμεῦ. 464. Θύγατερ) γρ. θυγάτηρ, *H. Steph.*

Τιμῆς

Τιμῆς ἔμμοροί εἰσι ϗ αἰδῶς, ὕνεκ' ἄρα σφέας
Οἶμας Μοῦσ' ἐδίδαξε· φίλησε δ' φῦλον ἀοιδῶν.
Ὡς ἄρ' ἔφη· κῆρυξ δ' φέρων ὰν χερσὶν ἔθηκεν
Ἥρωϊ Δημοδόκῳ· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος ϗ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Δημόδοκον προσέφη πολύμητις Ὀδυσσεύς,
Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
Ἦ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς, ἢ σέγ' Ἀπόλλων·
Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
Ὅσ' ἔρξαν τ', ἔπαθόν τε, ϗ ὅσ' ἐμόγησαν Ἀχαιοί·
Ὡς τέ που ἢ αὐτὸς παρεών, ἢ ἄλλου ἀκούσας.
Ἀλλ' ἄγε δὴ μετάβηθι, ϗ ἵππου κόσμον ἄεισον
Δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
Ὃν ποθ' ἑς ἀκρόπολιν, δόλον, ἤγαγε δῖος Ὀδυσσεύς,
Ἀνδρῶν ἐμπλήσας, οἳ Ἴλιον ἐξαλάπαξαν.
Αἴκεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
Αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν,
Ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν.
Ὡς φάθ'· ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν,
Ἔνθεν ἑλών, ὡς οἱ μὲν ἐϋσσέλμοιν ἐπὶ νηῶν

" Honore digni sunt, & reverentiâ
eò quòd ipsos
" Cantum Musa docuit, amatque genus
cantorum.
Sic ait; præcoque ferens in manibus posuit
Heroi Demodoco: ille autem susceperit, gaudebatque animo.
Hi itaque ad fercula apparata proposita manus extenderunt.
Cæterum postquam potûs & cibi
appetitum posuerunt;
Jam tum Demodocum alloquutus est
consilio-valens Ulysses,
" Demodoce, longè te supra mortales
laudo omnes,
" Sive te Musa docuerit, Jovis filia,
sive Apollo:
" Valde enim ornatè Græcorum fatum
canis,
" Quanta fecerint, passique sint, &
quanta laborârint Græci:
" Tanquam alicubi vel ipse præsens
fueris, vel ab alio audieris.
" Verùm progredere, & Equi apparatum canta
" Lignei, quem Epeus fecit auxilio
Palladis;
" Quem quondam in arcem, Strategema, duxit divus Ulysses,
" Viris ubi implevisset, qui Ilium everterunt:
„ Siquidem enim mihi hæc elegantèr
enarraveris,
„ Tum ego omnibus pronunciabo hominibus,
„ Quòd certè tibi benignus deus præbuit divinam cantilenam:
Sic ait, at ille concitatus à deo cœpit,
apparabatque cantilenam,
Inde exorsus, quo pacto illi quidem
bene-tabulatis navibus

ΣΧΟΛΙΑ.

480. Ἔμμοροι.] Μέτοχοι.
481. Οἶμας.] Ὠιδάς.
486. Πολύμητις.] Πολύβουλος, συνετός.
487. Αἰνίζομαι.] Θαυμάζω ϗ ἐπαινῶ.
489. Καθὰ κόσμον.] Καθὶ τάξιν. Οἶτον.] Μόρον, θάνατον.
490. Ἔρξαν.] Ἔπραξαν. Ἐμόγησαν.] Ἐκακοπαθησαν.
492. Κόσμον.] Καθασκευήν.
493. Δουρατέου.] Ξυλίνου ἵππου. Ἐπειός.] Ὁ τῶν Ἑλλήνων τέκτων. Ὄνομα ἴδιον κύριον. Ἐποίησεν.] Ἐδίδαξεν.
495. Ἐμπλήσας.] Πληρώσας. Ἐξαλάπαξαν.] Ἐπόρθησαν παντελῶς.
496. Καταλέξῃς.] Ἔκαστα εἴπῃς.
498. Ὤπασεν.] Παρέσχεν, ἔδωκεν.
499. Φαῖνε.] Ἐδείκνυεν.
500. Ἔνθεν ἑλών.] Ἐντεῦθεν ὁρμώμενος.

NOTÆ.

483. Ἥρωϊ Δημοδόκῳ) Vid. ad ζ'. v. 303. N. in *Text.*

488. Ἦ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς) Sive te *Jovis* & *Monetas* filiâ docuit, *Livius Andronicus.*

492. Ἵππου κόσμον ἄεισε) Brevitèr hìc attingit Poeta *Equi Lignei* historiam, ut & δ'. v. 272. Ἵππῳ ἔνι ξεστῷ, & λ'. v. 522. Αὐτὰρ ὅτ' εἰς ἵππον καταβαίνομεν, ὃν κάμε Ἐπειός. Verùm post *Quintum Calabrum*, *Virgilius* hanc Fabulam graphicè depingit, *Æn.* l. 2. à v. 16. *Instar* Montis, Equum, *&c.* Confer *Simmiæ Rhodii* Securim; *Pausaniæ* Corinthiaca; *Tryphiodori* Ἅλωσιν, ubi de *Epéo*, & Equo, illius fabricâ.

493. Τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ) En! insigne Παρεγχύσεως exemplum, quale suprà, v. 481. φίλησε δ' φῦλον ἀοιδῶν. De quâ re *Eustathius* plus semel, & in hunc locum, fol. 322. lin. 42.

VARIÆ LECTIONES.

481. Ἐδίδαξε· φίλησε) κ. ἐδίδαξ'· ἐφίλησε, ut suprà, v. 451.

483. Ἥρωϊ) γρ. ἥρῳ, *Romana Eustathii*, Edit. Vid. Not. in *Textum.*

Βάντες.

Βάντες ἀπέπλειον, πῦρ ὀρὶ κλισίῃσι βαλόντες,
Ἀργεῖοι· τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα
Εἵατ' ἐνὶ Τρώων ἀγορῇ, κεκαλυμμένοι ἵππῳ·
Αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο.
Ὣς ὁ μὲν εἰστήκει· τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον,
Ἥμενοι ἀμφ' αὐτόν· πρίχα δὲ σφισιν ἤνδανε βουλή,
Ἠὲ ἀλαλητύσαι ξύλον ἄγνυμεν ὀξέϊ χαλκῷ,
Ἦ κεν πετράων βαλέειν ἐρύσαντας ἐπ' ἄκρας,
Ἦ ἐάαν μέγ' ἄγαλμα θεῶν θελκτήριον εἶναι,
Τῇ ῥ' ἦ καὶ μετόπισθε τελευτήσεσθαι ἔμελλεν.
Αἶσα γὰρ ἦν ἁλόντι, ἐπὴν πόλις ἀμφικαλύψῃ
Δουράτεον μέγαν ἵππον, ὅθ' εἵατο πάντες ἄριστοι
Ἀργείων, Τρωεσσι φόνον καὶ κῆρα φέροντες.
Ἤειδεν δ', ὡς ἄστυ διέπραθον υἷες Ἀχαιῶν,
Ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκτοθελιπόντες.
Ἄλλον δ' ἄλλῃ ἄειδε πόλιν κερδαϊζόμεν αἰπήν·
Αὐτὰρ Ὀδυσσῆα προτὶ δώματα Δηϊφόβοιο
Βήμεναι, ἠύτ' Ἄρηα, σὺν ἀντιθέῳ Μενελάῳ.
Κεῖθι δὴ αἰνότατον πόλεμον φάτο τολμήσαντα
Νικῆσαι καὶ ἔπειτα, μετὰ μεγάθυμον Ἀθήνην.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσεὺς
Τήκετο· δάκρυ δ' ἔδευεν ὑπὸ βλεφάροισι παρειάς.
Ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν ἀμφιπεσοῦσα,
Ὅς τε ἓῆς πρόθεν πόλιός λαῶν τε πέσῃσιν,
Ἀρεῖ κὲ τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ·
Ἣ μὲν τ' θνήσκοντα καὶ ἀσπαίροντ' ἐσιδοῦσα,

Conscensis enavigârunt, igne interitoria injecto,
Græci; alii verò jam inclytum apud Ulyssem
Sedebant in Trojanorum concilio, obtecti Equo:
Ipsi enim eum Trojani in arcem protraxerant.
Sic ille quidem *in arce* constitit: illi autem incerta multa proferebant,
Sedentes circa ipsum: trifariam enim ipsis placuit consilium,
Aut perscindere cavum lignum sævo ferro,
Aut de rupe dejicere protractum in summitatem,
Aut sinere ingens Donarium deorum placamentum esse:
Quâ utique sententiâ etiam postea, ut fieret, futurum erat.
Fatale enim erat, ut perirent, postquam urbs intra se receperat
Ligneum ingentem Equum, ubi sedebant omnes optimates
Græcorum, Trojanis cædem & mortem afferentes.
Cecinit etiam, ut urbem depopulati sunt filii Græcorum,
Ex Equo effusi, cavis insidiis relictis:
Aliumque aliàs cecinit urbem depopulatum esse excelsam;
Cæterùm Ulyssem ad domum Deiphobi
Conscendisse, tanquam Martem, cum eximio Menelao.
Illic jam gravissimum bellum dicebat ausum
Vicisse etiam continuò, per magnanimam Palladem.
Hæc certè cantor cecinit eximius: cæterùm Ulysses
Tabescebat; lacrymaque irrigabat sub palpebris genas.
Ut fœmina flet dilectum virum circumvoluta,
Qui suam ante urbem populumque ceciderit,
Urbi & liberis vindicans sævum fatum:
Hæc quidem illum morientem & adhuc palpitantem conspicata,

ΣΧΟΛΙΑ.

503. Κεκαλυμμένοι.] Περικεκλεισμένοι.
504. Ἐρύσαντο.] Εἵλκυσαν.
506. Τρίχα.] Τειχῶς. Σφίσιν.] Αὐτοῖς. Αὐτοῖς.
507. Διατμῆξαι.] Διατεμεῖν. Κοῖλον δόρυ.] Τὸν δόρειον ἵππον.
508. Ἐρύσαντες.] Ἑλκύσαντες.
509. Ἄγαλμα.] Πᾶν, ἐφ' ᾧ τις ἀγάλλεται. Θελκτήριον.] Ἱλαστήριον.
512. Εἵατο.] Ἐκαθέζοντο.
514. Διέπραθον.] Διεπόρθησαν.
515. Ἱππόθεν.] Ἐκ τοῦ ἵππου. Ἐκχύμενοι.] Ἀθρόως ἐξελθόντες.
516. Κερδαϊζόμεν.] Διαφθείρειν.
517. Προτὶ δώματα Δηϊφόβοιο.] Ἐκ τούτου οἱ μεγαλυίτεροι τῶν Ἑλλήνων καὶ Δηϊφόβῳ γήμασθαι λέγουσιν.
522. Ἔδδυεν.] Ἔβρεχεν.
524. Ἓῆς.] Τῆς ἑαυτοῦ.

NOTÆ.

507. Κοῖλον δόρυ) *Virgil.* Æn. l. 2. v. 39. — cavo se robore promunt.

VARIÆ LECTIONES.

524. Πρόθεν πόλιος) γρ. προπάροιθε πόλιος, *H. Steph.* ut συνίζῃ) πόλιος, διασυλλάβως.

Ἀμφ'

Ἀμφ' αὐτῷ χυμένη λίγα κωκύῃ· οἱ δέ τ' ὄπιθεν
Κόπτοντες δύρεσι μεταφρένου, ἠδὲ καὶ ὤμους,
Εἴρεσον εἰσανάγουσι, πόνον τ' ἐχέμεν καὶ ὀϊζύν.
Τῆσδ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί·
Ὡς Ὀδυσεὺς ἐλεηὸν ὑπ' ὀφρύσι δάκρυον εἶβεν.
Ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
Ἀλκίνοος δέ μιν οἷος ἐπεφράσατ', ἠδ' ὄφρονεν,
Ἥμενος ἄγχ' αὐτοῦ, βαρὺ ἤχοντα γενάχοντα ἄκουεν·
Αἶψα δὴ Φαίηκεσι φιληρέτμοισι μετηύδα,
Κέκλυτε, Φαίηκων ἡγήτορες, ἠδὲ μέδοντες,
Δημόδοκος δ' ἤδη κεχαράτω φόρμιγγα λίγειαν·
Οὐ γάρ πως πάντεσσι χαριζόμενος τάδ' ἀείδει.
Ἐξ οὗ δορπέομέν τε, καὶ ὤρορε δῖος ἀοιδός,
Ἐκ τοῦδ' ὅπου παύσατ' ὀϊζυροῖο γόοιο
Ὁ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκεν·
Ἀλλ' ἄγ', ὁ μὲν κεχαράτω, ἵν' ὁμῶς τερπώμεθα πάντες,
Ξεινοδόκοι καὶ ξεῖνος· ἐπεὶ πολὺ κάλλιον ὅπως.
Εἵνεκα γ' ξείνοιο τάδ' αἰδοίοιο τέτυκται,
Πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
Ἀντὶ κασιγνήτου ξεινός θ' ἱκέτης τε τέτυκται
Ἀνέρι, ὅστ' ὀλίγον περ ὑπαὶ φρεσὶ πεπτάδεσσι.
Τῷ νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν,
Ὅ, τι κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
Εἰπὲ ὄνομ', ὅ, τι σε κεῖθι κάλεον μήτηρ τε, πατήρ τε,
Ἄλλοι θ', οἵ κ' ἄστυ, καὶ οἳ περιναιετάουσιν·
Οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμος ἔπλετ' ἀνθρώπων,

Super illum fusa stridulè ululat; illi vero è retrò
Cædentes hastis tergum, atque etiam humeros,
Servitutem inducunt, laboremque sustinendum & calamitatem;
Hujus miserabilissimo dolore tabescunt genæ:
Sic Ulysses miserabiles sub palpebris lacrymas stillabat.
Tunc alios quidem omnes latuit lacrymas fundens:
Alcinous autem ipsum solus considerabit atque observavit,
Sedens propè ipsum, vehementerque ingemiscentem audivit,
Statim igitur Phæacibus navigandi peritis dicebat:
" Audite, Phæacum principes, atque consiliarii,
" Demodocus jam cohibeat citharam sonoram;
" Non enim fortassis omnibus gratificans hæc cantat.
" Ex quo cœnavimúsque, & cœpit divinus cantor,
" Ex hoc nunquam cessavit ab ærumnoso luctu
" Hic hospes; valdè alicundè ipsum dolor mente circumdedit.
" Sed agè, ille quidem cesset, ut simul oblectemur omnes,
" Hospitio-suscipientes hospesque: quoniam multò honestius est *ita fieri*.
" Nam ob hospitem hæc venerandum parata sunt,
" Celebritas & amica dona, quæ illi dedimus amantes.
" Instar fratris & hospes & supplex est factus
" Viro, qui etiam vel paululum attingit mente.
" Ideoque nunc ne tu cela ingenio vafro,
" Quodcunque interrogavero: dicere etenim te melius est:
" Dic nomen, quo te illic vocabant materque, paterque,
" Aliique, qui in urbe tuâ, & qui circum vos habitabant vicini:
" Non enim quisquam omninò absque nomine est hominum,

ΣΧΟΛΙΑ.

527. Χυμένη.] Περιχυθεῖσα, ἐπιπλακεῖσα. Λίγα.] Ὀξέως, ἠλίως. Κωκύῃ.] Θρηνεῖ.
529. Εἴρεσον.] Αἰχμαλωσίαν, δουλείαν τὴν ἐξ πολέμου καὶ ἀναπέπλασται κατ' ἀρχὰς παρὰ τὸ ἐρᾶν μὴ ἐλαθεῖας εἴρειν καὶ λέγειν τὰς δούλας.
531. Ἐλεεινόν.] Ἐλεεινῶς, οἰκτρῶς.
537. Σχεθέτω.] Ἐπίσχη, παυσάσθω.
539. Δορπέομεν.] Δειπνοῦμεν.
546. Ἀντὶ κασιγνήτου.] Ἴσως ἀδελφοῦ.
547. Ἐπὶ ψαύῃ πεπτάδεσσιν.] Ἅπτεται τῆς φρενὸς, ὅ ἐστι, φρόνιμός ἐστι.
548. Νοήμασιν.] Ἐννοίαις. Κερδαλέοισι.] Πανούργοις.
549. Εἴρωμαι.] Ἐρωτήσω. Φάσθαι.] Εἰπεῖν.

NOTÆ.

550. Κάλεον) Τελευταίως *scribendum*, at δισυλλάβως legendum, quasi κάλδυν, ut mox de voce πόλιας, notandum, v. 560.

VARIÆ LECTIONES.

539. Δῖος) γρ. θεῖος, *H. Steph.*
550. Κάλεον) γρ. κάλδυν, ut suprà, v. 524.

Οὐ κακὸς, οὐδὲ μὴν ἐσθλὸς, ἐπὶν τὰ πρῶτα γένηται,
Ἀλλ' ἐπὶ πᾶσι τίθενται, ἐπεί κε τέκωσι τοκῆες.
Εἰπὲ δέ μοι γαῖάν τε τεὴν, δῆμόν τε, πόλιν τε·
Ὄφρα σὲ τῇ πέμπωσι πλυσκόμωμαι Φρεσὶ νῆες.
Οὐ γὰρ Φαίηκεσσι κυβερνητῆρες ἔασιν,
Οὐδέ τι πηδάλι' ἐστὶ, τά τ' ἄλλαι νῆες ἔχουσιν·
Ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ Φρένας ἀνδρῶν.
Καὶ πάντων ἴσασι πόλιας καὶ πίονας ἀγροὺς
Ἀνθρώπων· καὶ λαῖτμα τάχιστ' ἁλὸς ἐκπερόωσιν,
Ἠέρι καὶ νεφέλῃ κεκαλυμμέναι· οὐδέ ποτέ σφιν
Οὔτε τι πημανθῆναι ἔπι δέος, οὐδ' ὀλέσθαι.
Ἀλλὰ τάδ' ὡς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
Ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων·
Φῆ ποτε Φαίηκων ἀνδρῶν θοὴν ἐργέα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ὀνοσσέμεν ἠεροειδέϊ πόντῳ
Ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλῃ ἀμφικαλύψειν.
Ὣς ἀγόρευ' ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν,
Ἢ κ' ἀτέλεστ' εἴη, ὥς οἱ φίλον ἔπλετο θυμῷ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Ὅππη ἀπεπλάγχθης τε, καὶ ἅς τινας ἵκεο χώρας
Ἀνθρώπων· αὐτούς τε, πόλεις τ' ἐῦ ναιετάουσας.
Ἦ μὲν ὅσοι χαλεποί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι·

" Neque ignavus, neque eximius, poſtquam primùm natus ſit;
" Sed omnibus imponuntur, ſimulaque genuerint parentes.
" Dic etiam mihi terramque tuam, populumque, urbemque,
" Ut te illuc mittant conjectantes quaſi animo naves.
" Non enim Phæacibus gubernatores ſunt,
" Neque ullo pacto gubernacula ſunt, quæ aliæ naves habent;
" Sed ipſæ ſciunt propoſitum & mentem virorum:
" Et omnium ſciunt urbes & pingues agros
" Hominum: & undas celerrimè maris tranant,
" Caligine & nebulis obtectæ: neque unquam ipſis
" Neque damnum-patiendi ſubeſt metus, multò minùs pereundi.
" Verùm hæc ità quondam patrem ego dicentem audivi
" Nauſithoum, qui narrabat Neptunum ſuccenſere
" Nobis, quod ductores illæſi ſumus omnium.
" Dicebat aliquando Phæacum virorum bene-compactam navem
" Ex deductione redeuntem in obſcuro ponto
" Perditurum eſſe *Neptun.* ingentemque nobis montẽ urbi circumducturũ.
" Sic dicebat ſenex: ea verò deus vel perfecerit
" Vel imperfecta fiverit, ut illi placitum eſt in animo,
" Verùm agè mihi dic hoc, & verè enarra,
" Ubinam aberraveris, & ad quamnam perveneris regionem
" Hominum, *enarra* ipſoſque, urbeſque benè-habitatas:
" Sive quot moleſtique & agreſtes, neque juſti,

Σ Χ Ο Λ Ι Α.

556. Τιτυσκόμεναι.] Καθιστχαζόμεναι.
559. Ἴσασιν.] Γινώσκουσιν, ἐπίστανται. Νοήματα.] Ἐννοίας, βουλάς.
563. Πημανθῆναι.] Βλαβῆναι. Ἔπ.] Ἔπεστιν. Δέος.] Φόβος.
565. Ἀγάσασθαι.] Ἄγαν ὀργισθῆναι.
566. Πομποί.] Οἱ περιπέμποντες. Ἀπήμονες.] Ἀβλαβεῖς.

Ν Ο Τ Æ.

560. Πόλιας) Ut πόλεις *legendum*, vid. ad v. 550.
569. Ημιν) *Circumflexus* ob *Metrum*, ab *Ultimâ* Syllabâ, ad *Primam* retrahendus, ut oſtendo ad *Anacreon.* v. 903. 915, &c. Vid. *Euſtathium.*

NOTÆ IN SCHOLIA.

571. Ἦ κ' ἀτέλεστ' εἴῃ) Vid. in Not. ad *Textum.*

VARIÆ LECTIONES.

571. Εἰὴ) γρ. εἰῇ, vid. Not. in *Textum.*

569. Ῥαισέμεναι.] Διαφθεῖραι. Ἀμφικαλύψειν.] Περιστρέψειν.
571. Ἦ κ' ἀτέλεστ' εἴῃ.] Νῦν, τὸ εἰῇ, ἀντὶ τοῦ ἐάσειε· ὑπὸ δὲ τῶν καθ' ὑπόνοιαν ἡδονῆς, τὸ ἀποβήσεως ἐπιλάβηται. Ἀλλὰ πῶς ὁ Ὀδυσσεὺς πρὸς αὐτὸν ἀκούσας, τὸν Ποσειδῶνα μηνύει ὀργήν; ἢ οὐθέλησε τὰ ἀληθῆ εἰπεῖν.
573. Ἀπεπλάγχθης.] Ἀπεπλανήθης.
574. Εὖ ναιετάουσας.] Καλῶς οἰκουμένας.

O'ῖτε

Οἵτε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
Εἰπὲ δ', ὅ, τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῷ,
Ἀργείων, Δαναῶν, ἠδ' Ἰλίου οἶτον ἀκούων.
Τὸν δὴ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ' ὄλεθρον
Ἀνθρώποις, ἵνα ἦσι καὶ ἐσσομένοισιν ἀοιδή.
Ἦ τίς τοι καὶ πηὸς ἀπώλετο Ἰλιόθι πρό,
Ἐσθλὸς ἐὼν γαμβρὸς, ἢ πενθερὸς, οἵ τε μάλιστα
Κήδιοι τελέθουσι, μετ' αἶμά τε, καὶ γένος αὐτῶν;
Ἦ τίς πε καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδὼς
Ἐσθλός· ἐπεὶ ἤ μέν τι κασιγνήτοιο χερείων
Γίνεται, ὅς κεν, ἑταῖρος ἐὼν, πεπνυμένα εἰδῇ.

" Quique hospitales, & quibus mens est deo placens:
' Dic item, quidnam fleveris & luxeris intra animum,
Argivorum, Græcorum, atque fatum audiens,
" Hoc autem dii quidem fecerunt, destinârunt que excidium
" Hominibus, ut sit & posteris cantilena & *exemplum*.
" Nunquis tibi cognatus periit ante Ilium,
" Qui eximius erat gener, aut socer, quales potissimùm
" Curæ sunt, post sanguinem & genus nostrum?
" An aliquis fortasse socius vir grata sciens
" Eximius? Quoniam non sanè fratre inferior
" Est, qui, cùm sit socius, prudentia scierit.

Σχολια.

576. Θεουδής.] Θεοειδὴς, ἢ θεοῖς ἀρέσκων.
577. Ὀδύρεαι.] Θρηνεῖς, κλαίεις.
579. Τεῦξαν.] Ἐπενήσαν.
580. Ἐσσομένοισιν.] Μεταγλωττίζουσι.
581. Πηός.] Συγγενὴς, κατ' ἐπιγαμίαν, ἢ πόῤῥωθεν συγγενής.
583. Κήδιοι.] Λόγου, καὶ φροντίδος ἄξιοι, συγγενικῶτατοι. Τελέθουσι.] Γίνονται.
586. Εἰδῇ.] Γινώσκῃ.

Variæ Lectiones.

579. Ἐπικλώσαντο δ') γρ. ἐπικλώσαντο τ'.
580. Ἀνθρώποις, ἵνα ἦσι) γρ. ἀνθρώποισι, ἅπασι, *H. Steph.*
583. Αὐτῶν) γρ. ἀνδρῶν, *H. Steph.*
584. Ἦ τίς πε) γρ. ἤ πού τις, *H. Steph.*

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ι'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ι.

Ἀρχὴ τῆ Ὀδυσσέως διηγήσεως, ἐν οἷς φησὶ πεπλεμηκέναι τοῖς Κίκωσι, καὶ ἐλθεῖν τὴν Λωτοφάγους παραγενέσθαι, καὶ ἐλθεῖν τὸ Κύκλωπα Πολύφημον πεφευδῆσθαι· καὶ τοῦτον φαγόντα ἐξ ἧδη ἑταίρους ὀπτυφλῶσαι.

Ἐπιγραφή.

Τὰ περὶ Κίκωνας, καὶ Λωτοφάγους, καὶ Κύκλωπας.

Ἄλλως.

Κυκλωπεία.

Ἄλλως.

Λωτοφάγων, Κικόνων, σὺν Κυκλώπεσσιν, Ἰῶπα. LIB. IX.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμηλις Ὀδυσσεύς,
Ἀλκινόε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Ἦτοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν·
Οὐ γάρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
Ἢ ὅταν δὴ φροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,

HUnc excipiens alloquutus est versutus Ulysses,
" Alcinoë imperator, omnium eminentissime populorum,
" Certè hoc jucundum est, audire cantorem
" Talem, qualis hic est diis assimilis voce:
" Non enim ego quippiam puto tandem elegantius esse,
" Quàm quoties lætitia quidem detineat populum universum,
" Convivantesque per domum audiant cantorem,

ΣΧΟΛΙΑ.

5. Οὐ γὰρ ἔγωγέ τι φημί.] Ταῦτα ἁρμοζόμενος τῷ καιρῷ λέγει, ὃ δὲ παντὸς ἦν βίου τέλος εἰρηκὼς τῷ ἡδονῇ, ἀλλὰ συμποσίου τινός.

6. Εὐφροσύνη.] Θυμηδία.

7. Ἀκουάζωνται.] Ἀκροῶνται. Ἔνιοι, ἀκουάζονται.

NOTÆ.

V. 3. Ἦτοι μὲν τόδε καλὸν) Felicitatem Populi sub benigno & pacifico Rege degentis depingit. Cui similis locus, 1 *Reg.* c. 4. v. 20. *Juda* & *Israel* plurimi erant, &c. Comedentes & Bibentes & Lætantes, *viz.* sub *Solomone* Rege. Qui & *Ecclesiaste* c. 5. v. 18. Est hoc Bonum & Pulcrum, ut quis Comedat & Bibat & fruatur lætitiâ. Huc refer *Br. Schol.* item *Seneca* Epist. 88. ubi de *Homero*; *Angel. Politian.* fol. 485. Edit. *Basil.* & *Plutarch.* Vitâ *Homeri*, §. 18.

5. Οὐ γὰρ ἔγωγέ τι φημὶ) D. *Basil.* ὡσὲ τὰς νίκας, Οὐ τοίνυν ἐπαινεώμεθα τὰς ποιητάς, — ὡς ὅτι τερπούσῃ τὶ πληθύσῃ καὶ ἀδαῖς ἀνειμέναις τῷ εὐδαιμονίαν ὀρίζονται.

6. Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ) *Eratosthenes* apud *Athenæum*, pro καθὲ δῆμον ἅπαντα, legendum voluit, κακότητος ἀπούσης, quam Emendationem rectè rejicit *Athenæus*, & *Casaubonus* ad *Athen.* l. 1. c. xiv. Vid. *Duport.* Gnomolog. in locum.

NOTÆ IN SCHOLIA.

V. 7. Ἔνιοι, ἀκουάζονται)) In *Aldinâ* desunt.

VARIÆ LECTIONES.

V. 5. Αὐδὴν) γρ. αὐδῇ, *Strabo*, fol. 959.

6. Ἔχῃ) γρ. ἴσχῃ, *H. Steph.* *Ibid.* Κατὰ δῆμον ἅπαντα) γρ. κακότητος ἀπούσης, vid. N. in *Textum.*

7. Ἀκουάζωνται)) γρ. ἀκουάζονται, *H. Steph.*

Ἡμεῖς

Ἥμθυοι ἑξείης· ὧδε δ' ἢ πλήθωσι τράπεζαι
Σίτου τε κρειῶν· μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
Οἰνοχόος φορέησι καὶ ἐγχείη δεπάεσσιν·
Τῶτο τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.
Σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπέτρεπε γοάασθαι
Εἴρεσθ', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος γοάχιζω.
Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
Κήδε' ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
Νῦν δ' ὄνομα πρῶτον μυθήσομαι, ὄφρα καὶ ὑμεῖς
Εἴδῆτ'· ἐγὼ δ' ἂν ἔπειτα, φυγὼν αἶσιμον ἦμαρ,
Ὑμῖν ξεῖνος ἔω, καὶ ἀπόπροθι δώματα ναίων·
Εἰμὶ δ' Ὀδυσσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
Ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει.
Ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ
Νήριτον, εἰνοσίφυλλον, ἀειπρεπές· ἀμφὶ δὲ νῆσοι
Πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
Δουλίχιόν τε, Σάμη τε, καὶ ὑλήεσσα Ζάκυνθος·
Αὐτὴ δὴ χθαμαλὴ παντυπερτάτη εἰν ἁλὶ κεῖται
Πρὸς ζόφον· αἱ δέ τ' ἄνυθεν πρὸς ἠῶ τ' ἠέλιόν τε,
Τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος· οὔπη ἔγωγε

" Sedentes ordine; juxta itidem impleantur menſæ
" Pane & carnibus; vinumque ex cratere hauriens
" Pincerna adferat & infundat poculis:
" Hoc quiddam mihi pulcherrimum in mente videtur eſſe.
" Tibi verò animus meos dolores cupit lacrymoſos
" Inquirere; ut adhuc magis lugens ingemiſcam.
" Quid primùm, quid deinde, quid ultimùm narrabo?
" Dolores quandoquidem mihi plures dederunt Dii cœleſtes.
" Nunc verò nomen primùm dicam; ut & vos
" Sciatis; egoque, poſtquam effugi ſævum fatum,
" Vobis hoſpes ſim, etiam longè domum habitans:
" Sum Ulyſſes Laërtiades, qui omnibus dolis
" Hominibus curæ ſum, & mea gloria cœlum attigit:
" Habito autem Ithacam clariſſimam: in ipſa verò mons eſt
" Neritus, multis arboribus clarus: circumque inſulæ
" Plures inhabitantur valde prope invicem,
" Dulichiumque, Sameque, & nemoroſa Zacynthus:
" Ipſa autem terræ-continenti-finitima ſupereminens in mari jacet
" Ad Occaſum, illæ verò ſeorſum ad auroram ſolemque
" Aſpera, ſed bona juvenum altrix. Nihil ego

ΣΧΟΛΙΑ.

8. Πλήθωσι.] Πεπλήρωνται.
9. Ἀφύσσων.] *Ἀρυόμενος, ἀντλῶν.
10. Ἐγχείη.] Ἐγχέῃ.
11. Εἴδεται.] Φαίνεται, δοκεῖ.
12. Ἐπετρέπετο.] Προσῆμείπη.
14. Ὑστάτιον.] Ἔσχατον.
20. Μέλω.] Ἐν ἐπιμελείᾳ εἰμί.
21. Ναιετάω.] Οἰκῶ. Εὐδείελον.] Πρὸς δύσιν τῶν ἄλλων κειμένων. *Εὐδείελον.] Ἤτοι ἐπιφανῆ, εὖ πρὸς τὸν δείλην κειμένην· εἰ δὲ σημαίνῃ τὸν ἄκρατον, δαστύει· ἀνάγκη· ἔλη γάρ ἐστιν ἡ δὲ ἠλὶς αὐγὴ, ὅθεν καὶ

NOTÆ.

25. Αὐτὴ δὴ χθαμαλὴ παντυπερτάτη) *Strabo*, fol. 454. Καὶ τοῦτο δὴ δοκεῖ ὑπεναντιότητά τινα δηλοῦν· χθαμαλὴ μὲν ἦν, ἡ ταπεινὴ καὶ χαμαλή· παντυπερτάτη δὲ, ἡ ὑψηλὴ, κλ. Ἐξηγοῦνται δὲ οἱ κακῶς, ὅτι ἡ χθαμαλὴ δέχον-

NOTÆ IN SCHOLIA.

9. *Ἀρυόμενος) Ità pro ἀρύμενος.
21. *Εὐδείελον &c. ad finem, ex *Aleyſii* MSto.

VARIÆ LECTIONES.

9. Δ' ἐκ κρητῆρος) γρ. ἢ κρητῆρος, *Max. Tyr.* §. 37.
10. Φορέησιν) γρ. προχέωσιν, *Max. Tyr.* ibid. at ſequens vox ἐγχείη refutat hanc *Lectionem*.
19. Εἶμι') γρ. εἰμί, pro εἰμί.
21. Εὐδείελον) γρ. ἰπαπήλαθεν, *Xylander* in *Strabon.*

τὸ εἰληθρεῦν, τὸ ἡλίῳ χρῆσθαι.
22. Νήριθεν.] Ὄρος Ἰθάκης. Εἰνοσίφυλλον.] Κινησίφυλλον. Ἔνοσις γὰρ, ἡ κίνησις.
24. Δουλίχιον.] Μία τῶν Ἐχινάδων. Ὑλήεσσα.] Ὑλώδης, σύμφυτος.
25. Χθαμαλή.] Ταπεινὴ, κοίλη τὴν θέσιν· πῶς δὲ παντυπερτάτη; ἢ τῇ δόξῃ, ἢ αὐτὴ τῶν ἄλλων, ὡς πρὸς δύσιν. Παντυπερτάτη.] Ὑπεραίρω κειμένη.
26. Ζόφον.] Νῦν, δύσιν. Ἠῶ.] Νῦν, τὴν ἀνατολήν.
27. Κουροτρόφος.] Νεωτέρων τροφός.

ΤΑ. ταπεινὴν οὐ παῦλαν, ἀλλὰ πρόχωρον τῇ ἠπείρῳ, ἐχυρώτατα ὅσων αὐτῆς· ὅτε παντυπερτάτην, ὑψηλοτάτην, ἀλλὰ παντυπερτάτην πρὸς ζόφον· οἷον ὑπὲρ πάσας ἐχάτην, πέραμμένην πρὸς ἀρκτον, κλ.

25. Χθαμαλὴ) Ad hujus *Scholii* explicationem facit locus *Strabonis*, quem vid. Not. in *Textum*.

C T I O N E S.

fol. 696 malè, ut ex *Homero*, *Odyſſ.* δ'. v. 605.
22. Νήριθεν) γρ. Νήρικον, ut ω'. v. 376. Vid. *Euſtath.* in illud *Dionyſ.* Περιηγ. v. 495. Τῷδ' ἔπι Νηρικίης Ἰθάκης ὄδος ἐσήρικε.

Ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
Ἦ μήν μ' αὐτόθ' ἔρυκε Καλυψὼ, δῖα θεάων,
Ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι·
Ὡς δ' αὔτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
Αἰαίη, δολόεσσα, λιλαιομένη πόσιν εἶναι·
Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
Ὡς γὰρ γλύκιον ἧς πατρίδος γαῖάν τε τοκήων
Γίνεσθ', εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον
Γαίῃ ἐν ἀλλοδαπῇ ναίῃ ἀπάνευθε τοκήων.
Εἰ δ' ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ' ὀίσπω,
Ὄν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν ἰόντι.
Ἰλιόθεν μὲ φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
Ἰσμάρῳ· ἐνθάδ' ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ' αὐτούς.
Ἐκ πόλιος δ' ἀλόχους τε καὶ κτήματα πολλὰ λαβόντες
Δασσάμεθ', ὡς μήτις μοι ἀτεμβόμενος κίοι ἴσης·
Ἔνθ' ἦτοι μὴν ἐγὼ διερὸν πόδα φευγέμεν ἡμέας
Ἠνώγεα· τοὶ δ' ἦ μέγα νήπιοι οὐκ ἐπίθοντο.
Ἐνθάδε πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα
Ἔσφαζον πωλέας τε, καὶ εἰλίποδας ἕλικας βοῦς.

" Suâ *cujusque* terrâ possum dulcius aliud videre.
" Certe quidem me illic detinuit Calypso, diva dearum,
" In specubus cavis, cupida maritum esse:
" Consimiliter Circe detinuit domi suæ
" Ææa, dolosa, cupiens maritum esse:
" Sed meum nunquam animum intra præcordia persuaserunt.
" Adeò nihil dulcius suâ patriâ neque parentibus
" Est, etiamsi & quis longè procul divitem domum
" Terrâ in alienâ habitet seorsum à parentibus.
" Agè verò tibi & reditum meum lacrymosum dicam,
" Quem mihi Jupiter immisit à Trojâ profecto.
" Ab Ilio me ferens ventus Ciconibus appulit
" Ad Ismarum; ibi ego urbem depopulatus sum, occidique ipsos *incolas*.
" Ex urbe verò uxoribus & bonis multis acceptis
" *Ea* divisimus, ut non aliquis mihi privatus abierit suâ parte:
" Tum verò quidem ego celeri pede fugere nos
" Jussi: hi verò valdè stulti non parebant.
" Hic multum quidem vini bibitum est, multas item oves
" Mactabant ad littus, & flexipedes nigros boves.

ΣΧΟΛΙΑ.

31. Καπερήτυεν.] Κατεῖχεν.

32. Αἰαίῃ.] Ἐξ Αἰαίας νήσου τῆς Τυῤῥηνίας, ἣ Κολχικῆς. Αἶα γάρ, ἡ πόλις τῆς Κολχίδος. * Νῦν δὲ Αἰαίη ἐστὶν ἡ τῆς Κίρκης νῆσος, ἡ πλησίον ἔδη οὖσα, ἀπὸ τῶν στεναγμάτων τῶν ἐν αὐτῇ, παρὰ τὸ αἰ, αἰ ῥηματικὸν ἐπιφώνημα. Λιλαιομένη.] Ἐπιθυμοῦσα.

34. Γλύκιον] Γλυκύτερον, ἡδύτερον.

36. Ἀλλοδαπῇ.] Ἀλλοφύλῳ, ξένῃ. Ναίῃ.] Οἰκεῖ.

37. Πολυκηδέα.] Πολλῶν κακῶν πλήρη. Ἐνίσπω.] Ἐρῶ, λέξω.

38. Ἐφέηκε.] Ἐπέπεμψε. Ἰόντι.] Ἐπανιόντι.

40. Ἰσμάρῳ.] Ἴσμαρος πόλις τῆς Κικονίας, ἥτις νῦν * Μαρώνεια λέγεται. Πόλιν ἔπραθον.] Ἐπεὶ οἱ Κίκονες τῷ Πελάσγῳ συνεμάχησαν, Κικόνων ἡγήτορα Μίντην.

42. Δασσάμεθα.] Ἐμερισάμεθα. Ἀπεμβόμενος.] Σπερισκόμενος. Κίοι.] Ἀπέλθοι. Ἴσης.] Ἰσότης.

43. Διερὸν ποδί.] Μεταφορικῶς, τῇ ταχεῖ· οἱ δὲ διερὸν, τῷ ὀξεῖ, ἢ ταχεῖ· οἱ δὲ, τῷ ζῶντι, ἀπὸ ξηροῦ οἱ λοιμώδεις. ἢ ἀπὸ ἱερέως, * διερὸς βεβρῶς, φησίν· οἱ δὲ, τῇ κούφῃ· οἱ δὲ, τῷ διερῷ ὡς τῷ θαλάσσης, παρὰ ξηραινομένην τὴν ὡς τῷ βαίτης ὑγρασίαν· λέγει δὲ τὰ ἰδρῶτα.

44. Ἠνώγεα.] Ἐκέλευον.

* Odyss. ζ. v. 201.

NOTÆ IN SCHOLIA.

32. Αἰαίῃ) In hoc *Scholio*, pro * Αἰαίας, lego, * Αἶα γὰρ ἡ πόλις τῆς Κολχίδος, ex *Stephano*, περὶ πόλεων & *Eustath.* fol. 333. lin. 36. ut ostendo in Not. ad *Scholia*, *Iliad.* β'. v. 856. * Νῦν δὲ Αἰαίη κλ. ex *Aloysii* MS.

40. Ἰσμάρῳ) * Μαρώνεια scribo, pro * Μαραθών. Ità *Eustath.* fol. 335. lin. 19. Ἡ δὲ ῥηθεῖσα Ἴσμαρος, ἡ, καὶ Ἰσμάρα ὕστερον, Κικόνων φασὶ πόλις, ἐγγὺς Μαρωνείας. *Steph.* περὶ πόλεων, v. Ἴσμαρος, & Μαρώνεια. Nomen post habuit à *Marone*, *Evanthis* filio, qui erat *Bacchi*, vid. infrà, *Br. Schol.* ad v. 197. Vid. *Suidam*, v. Ἰσμαρικὸς οἶνος.

VARIÆ LECTIONES.

34. Γλυκίον ἧς πατρίδος) γρ. γλυκίον γ' ἧς πατρίδος, & γλυκίον γῆς πατρίδος, *Anthol.* fol. 88.

36. Ναίῃ) γρ. ναίῃ. *Eustath.* fol. 333. lin. 44. nec vidit *H. Steph.*

40. Ἐγὼ) γρ. ἰγὼν, at non benè, ante *Consonam.*

Τόφρα

Τόφρα δ' ἄρ' οἰχόμενοι Κίκονες Κικόνεσι γεγώνευν,
Οἵ σφισι γείτονες ἦσαν ἅμα πλέονες ἠδ' ἀρείους,
Ἠπειρον ναίοντες, ὀπιζόμενοι μὲν ἀφ' ἵππων
Ἀνδράσι μάρνασθαι, ἠδ' ὅθι χρὴ πεζὸν ἐόντα.
Ἦλθον ἔπειθ', ὅσα φύλλα, καὶ ἄνθεα γίνεται ὥρῃ,
Ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
Ἡμῖν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθωμεν.
Στησάμενοι δ' ἐμάχοντο μάχην ὥδε νηυσὶ θοῇσι·
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ,
Τόφρα δ' ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας·
Ἦμος δ' ἠέλιος μετενείσετο βουλυτόνδε,
Καὶ τότε δὴ Κίκονες κλῖναν δαμάσαντες Ἀχαιῶν.
Ἓξ δ' ἀφ' ἑκάστης νηὸς εὐκνήμιδες ἑταῖροι
Ὤλοντ'· οἱ δ' ἄλλοι φύγομεν θάνατόν τε, μόρον τε.
Ἔνθεν ἓ πρυτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
Ἄσμενοι ὐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
Οὐδ' ἄρα μοὶ πρυτέρω νῆες κίον ἀμφιέλισσαι,

"Interea verò digressi Ciconibus acclamabant,
"Qui ipsis vicini erant simul plures & meliores,
"Continentem habitantes, docti quidem ab equis
"Hominibus pugnare, & cum opus esset peditem pugnare.
"Venerunt continuò, quot folia & flores sunt vere,
"Matutini: tunc sanè malum Jovis fatum affuit
"Nobis infelicibus; ut dolores multos pateremur.
"Sistentes etenim gradum pugnabant pugnâ ad naves veloces;
"Feriebantque invicem æreis hastis.
"Quamdiù quidem mane erat & augebatur sacra dies,
"Tam diù defendentes sustinebamus, plures licet essent:
"Quandò verò sol ibat ad vesperam,
"Et tum jam Cicones invaluerunt domando Græcos.
"Sex igitur à singulis navibus benè ocreati socii
"Perierunt: alii effugerunt mortemque, fatumque:
"Illinc verò ulteriùs navigavimus tristes corde,
"Læti ex morte *evitatâ*, charis amissis sociis.
"Neque certè mihi ulteriùs naves procedebant utrinque agitatæ,

Σ Χ Ο Λ Ι Α.

47. Ὀιχόμενοι.] Ἀπελθόντες. Γειτώνεων.] Ἐκάλουν, ἐβόων.

49. Ναίοντες.] Οἰκοῦντες.

51. Ὤρῃ.] Τῇ δὲ ἔαρος καιρῷ.

52. Ἠέριοι.] Ὀρθινοί.

53. Αἰνομόροισι.] Κακομόροις.

57. Ἀλεξόμενοι.] Ἀμυνόμενοι, ἢ σακλίνοντες.

58. Βάλλον.] Τὸν καιρὸν, ἐν ᾧ βόες ἀπολύονται τοῦ ἔργου.

59. Κλῖναν.] Ἐξέκλιναν, ἔτρεψαν. Δαμάσαντες.] Ἀνελόντες.

61. Ὤλοντο.] Ἀπώλοντο.

62. Πρυτέρω.] Εἰς τὸ μπροσθεν. Ἀκαχήμενοι.] Λυπούμενοι.

63. Ἄσμενοι.] Εὐχαῖοι. Ὀλέσαντες.] Ἀπολέσαντες.

N O T Æ.

Nave itaque in cavâ alligavit funiculo splendido,
Argenteo, ut nequid præter-flaret nè paululum quidem:
Cæterùm mihi flatum Zephyri immisit ad flandum,
Ut ferret navesque & nos: non quidem *id* erat
Perfecturus: propriâ nostrâ enim periimus insipientiâ.
Per novem tamen dies continuò navigabamus noctesque & dies:
Decimâ verò jam apparebat patria tellus;
Et jam qui faces-præferrent vidimus, propè existentes.
Ibi me quidem somnus occupavit defessum;
Semper enim pedem, *i.e. clavum*, navis movebam; neque cuiquam alii
Dedi sociorum, ut celeriùs perveniremus in patriam terram.
Socii intereà verbis ad se invicem loquebantur,
Et me dixerunt aurumque & argentum domum reducere,
Dona ab Æolo magnanimo Hippotadâ.

ΣΧΟΛΙΑ.

17. Ἤιτεον.] Ἤιτουν, παρεκάλουν.
18. Ἀνήνατο.] Ἠρνεῖτο.
19. Ἐννεώροιο.] Ἐνναετοῦς.
20. Βυκτάων.] Ἀφρῶν πνεόντων, εὐφυσήτων, πλεγρώντων τὰ ἱστία. Κέλευθα.] Πνεύματα.
21. Ταμίην.] Διοικητὴν, φύλακα, ἢ ταμιεύτην.
23. Κατέδησ'.] Καταδησμοῦσιν. Μέρμιθι φαεινῇ.] Περιχρύσῳ, ἵνα τῷ δεσμῷ ἀπατηθῶσιν οἱ ἑταῖροι· ἢ δὲ ὑδὶ ὡς τὸ κυφόπλοος ἦν γναφείοιο· παρεπλέκετο γάρ. Μέρμιθι.] Σχοινίῳ.
27. Ἐκτελέσειν.] Πληρώσειν.
30. Πορπαλέοντας.] Πυρσεύοντας, πῦρ καίοντας, ἢ ἀφ' τὸ πῦρ ἀναφερομένους. Ἐλεύσσομεν.] Βλέπομεν.
32. Πόδα νηός.] Τὸν μεταχωνὸν ἢ κέρας καλεῖ, ἢ τὸ πηδάλιον. Ἐνώμων.] Ἐκίνει, μετέφερον. Οὐδέ τῳ.] Οὐδενί.
35. Ἄγεσθ.] Κομίζειν.

NOTÆ.

19. Ἀσκὸν βοὸς ἐννεώροιο) *Aristot.* Histor. l. 6. c. 21. Ἀκμάζει δὲ μάλιστα ὁ βοῦς πενταέτης ὤν· διὸ καὶ Ὅμηρός φησι πεποιηκέναι τινὲς ὀρθῶς, ποιήσαντα Ἀρσενα πηλαίτηρον, ἐκ τοῦ, βοὸς ἐννεώροιο· δύναται δὲ ταὐτόν.
36. Δῶρα παρ' Αἰόλου) *Media* ἐν Αἰόλου producitur, ante *Liquidam*, vique *Toni*, quâdam denique *Metri* necessitate, quæ & multa alia Poetas cogit facere, ut *Athenæus* ostendit, fol. 632. ubi de *Versibus*, qui *Grammaticis* dicuntur ἀκέφαλοι, λαγαροὶ, μείουροι. Nonnulli in hujusmodi casibus λ'. geminant.

VARIÆ LECTIONES.

18. Οὐδέ τι) *Ms.* οὐδ' ἔτι.
20. Ἐνθάδε) *Ms.* ἔνθα δέ. Priores Codd.
25. Πεφέικειν) *Ms.* προσέικειν, *H. Steph.*
27. Ἐκτελέειν) *Ms.* ἐκτελέσειν, *Br. Schol.*
31. Ἐπήλυθε) *Ms.* ἐπήλυθε, *H. Steph.*
36. Αἰόλου) *Ms.* Αἰόλῳ, vid. Not. in *Textum.*

Ὧδε

Ὣδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
Πολλὰ μὲν ἐκ Τροίης ἄγε κειμήλια καλὰ
Λητίδος· ἡμεῖς δ' αὖτε ὁμίλῳ ὁδὸν ἐκτελέσαντες,
Οἴκαδε νεόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες.
Καὶ νῦν οἱ τάγ' ἔδωκε χαριζόμενος φιλότητι
Αἴολος· ἀλλ' ἄγε θᾶσσον ἰδώμεθα, ὅ, τι τάδ' ἐστίν,
Ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.
Ὣς ἔφασαν· βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
Ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.
Τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
Κλαίοντας, γαίης ἄπο πατρίδος· αὐτὰρ ἐγώγε
Ἐγρόμενος, κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
Ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην οἰὸς πόντῳ,
Ἦ ἀχέων τλαίην, καὶ ἔπι ζωοῖσι μετείην.
Ἀλλ' ἔτλην καὶ ἔμεινα· καλυψάμενος δ' ἐνὶ νηΐ
Κείμην· αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
Αὖτις ἐπ' Αἰολίην νῆσον· στενάχοντο δ' ἑταῖροι.
Ἔνθάδ' ἐπ' ἠπείρου βῆμεν, καὶ ἀφυσάμεθ' ὕδωρ·
Αἶψα δ' ἕλοντο ἔλοντο θοῆς ὠκὺ νηυσὶν ἑταῖροι.
Αὐτὰρ ἐπεὶ σίτοιό τ' ἐπασσάμεθ' ἠδὲ ποτῆτος,
Δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπάσσάμενος καὶ ἑταῖρον,
Βῶν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ' ἐνίχανον

Atque ità aliquis dicebat conspicatus in proximum alium,
" O dii, quàm hic omnibus gratus est & magni precii
" Hominibus, ad quorumcunque urbem & terram veniat:
" Multa quidem ex Trojâ ducit cimelia pulchra,
" Ex præda: nos rursus eâdem professione confecta,
" In patriam redimus vacuas manus habentes.
" Et nunc ipsi hæc præbuit gratificans ob amicitiam
" Æolus; verùm age statim videamus, quid hæc sint,
" Quantum quid aurique & argenti utri insit.
Sic dicebant, consilium autem malum vicit sociorum:
Utrem quidem solverunt, ventique omnes eruperunt.
Hos statim furens ferebat in pontum procella
Flentes, terrâ à patriâ; cæterùm ego
Experrectus, in animo simplici deliberabam,
Utrum lapsus ex navi perirem in ponto,
An tacitus sustinerem & adhuc vivis interessem;
Sed sustinui & mansi: velatus autem in navi
Jacebam: illæ interim ferebantur malo venti turbine
Rursus ad Æoliam insulam; lugebantque socii.
Ibi in littus conscendimus, & hausimus aquam:
Statim etiam prandium ceperunt celeres apud naves socii.
Cæterùm postquam cibumque cepimus atque potum,
Tum sane ego præconem comitem eligens & socium,
Ivi ad Æoli inclytas ædes; hunc vero inveni

ΣΧΟΛΙΑ.

39. Ὅτεων.] Ὧν πεῶν.
41. Λητίδος.] Λείας. Ὁμίλῳ.] Ὁμοίαν.
42. Νεσόμεθα.] Ἀπολυσόμεθα. Κενεὰς.] Κενὰς, μεταίας.
47. Ὅσσος.] Αὐτὶ Ϝ, ἐξῆλθον.
50. Ἐγερόμενος.] Ἀναστὰς. Μερμήριξα.] Ἐβουλεύσατο.
51. Ἀποφθίμην.] Ἀποφθαρείην, ἀναιρεθείην.
52. Ζωοῖσι.] Ζῶσιν. Μετείην.] Συμπάρχοιμι.
59. Πασσάμεθα.] Ἐγευσάμεθα.
60. Βῶν.] Ἔβην, ἐπορεύθην. Ἐνίχανον.] Κατέλαβον.

NOTÆ.

Idem dicendum de hujus *Rhapsodiæ* Argumento Metrico, Κάπτ' ἔχει Αἰόλου, Λαιστρυγόνας, ἔργα τε Κίρκης, ut Ego quidem lego. Idem notandum infrà, ad v. 60. Βῶν εἰς Αἰόλου κλυτὰ δώματα.

42. Οἴκαδε νεσόμεθα κενεὰς) *Ultima* Ϝ νεσόμεθα producitur, in *Cæsurâ*, & vi Ϝ κ'. ἐκκλιτικῆ. De voce νέσομαι, vid. ad δ'. v. 701. *Var. Lect.*

47. Ἀσκὸν μὲ λῦσαν· ἄνεμοι) *Ultima* Ϝ λῦσαν producitur, in *Cæsurâ*, vi *Liquidæ*, & antè σιγμὴν, necnon ob *Acutum* sequentem. Vid. ad *Var. Lect.*

51. Ἀποφθίμην) Vid. de hac Voce, ad λ'. v. 329.

60. Αἰόλου) Vid. ad v. 36.

VARIÆ LECTIONES.

42. Νεσόμεθα) γρ. νεσόμεσθα κενὰς, νεσόμεθα, & νησόμεθα. Vid. Not. in *Textum*.
47. Λῦσαν) γρ. λύσασ'.
58. Σίτοιό τ' ἐπασσάμεθα) γρ. σίτοιό τε πασσάμεθα.
60. Αἰόλου) γρ. Αἰόλου, vid. suprà, v. 36.

Δαιτυ-

Δαινύμενον, παρά τ' ἀλόχῳ καὶ οἷσι τέκεσσιν.
Ἐλθόντες δ' ἐς δῶμα, παρὰ σταθμοῖσιν ἐπ' αὐδῇ
Ἐζόμεθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον, ἔκ τ' ἐρέοντο,
Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔκραε δαίμων;
Ἦ μέν σ' εὐδικέως ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
Πατρίδα σὴν, καὶ δῶμα, καὶ εἴ πῃ τοι φίλον ἐστίν.
Ὣς φάσαν· αὐτὰρ ἐγὼ μετεφώνεον, ἀχνύμενος κῆρ,
Ἄασάν μ' ἕταροί τε κακοὶ, πάρος τοῖσί τε ὕπνος
Σχέτλιος· ἀλλ' ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.
Ὣς ἐφάμην, μαλακοῖσι καταπλήθοντες ἐπέεσσιν·
Οἱ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἠμείβετο μύθῳ,
Ἔρρ' ἐν νήσῳ θᾶσσον, ἐλέσχιστε ζωόντων·
Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἀποπέμπειν
Ἄνδρα τ', ὃς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν.
Ἔρρ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις.
Ὣς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
Ἔνθεν ὃ γ' αὖτε πλέομεν, ἀκαχήμενοι ἦτορ.
Τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς,
Ἡμετέρῃ μαπίῃ· ἐπεὶ οὐκέτι φαίνετο πομπή.
Ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·

Convivantem juxta ſuam uxorem & ſuos liberos.
Ut venimus autem in domum ad fores in limine
Sedebamus: illi verò in animo obſtupeſcebant interrogabantque,
" Quomodo veniſti, Ulyſſes? quis tibi malus ingruit dæmon?
" Certè quidem te accuratè dimiſimus, ut pervenires
" In patriam terram & ædes, & ubicunque tibi gratum eſſet.
Sic dicebant; cæterùm ego alloquebar, triſtatus corde,
" Læſerunt me ſocii mali, & ad hæc ſomnus
" Infelix; ſed medemini, amici; poteſtas enim penes vos.
Sic loquutus ſum blandis demulcens verbis:
Illi verò muti facti ſunt; at Pater excipiebat ſermone,
" Abi ocyùs ex inſulâ, peſſime viventium;
" Neque enim mihi fas eſt excipere neque dimittere
" Virum illum, qui diis inviſus eſt beatis.
" Abi; quoniam certè diis inviſus huc veniſti.
Sic loquutus; dimiſit ex ædibus graviter ſuſpirantem.
Hinc itaque ulteriùs navigavimus, afflicti corde.
Fatigabatur autem virorum animus à moleſtâ remigatione,
Noſtrâ ſtoliditate; quoniam non ampliùs apparuit Reductio.
Per ſex tamen continuò navigavimus noctesque & dies:

Σ Χ Ο Λ Ι Α.

63. Ἐξόμεθα.] Ἐκαθεζόμεθα.
64. Ἔκραε.] Μανικῶς * ἐπίθητο.
65. Εὐδικέως.] Φιλοφρόνως.
67. Μετεφώνεον.] Ἐν αὐτῇ ἔλεγον.
68. Ἄασαν.] Ἔβλαψαν.
69. Ἀκέσασθε.] Ἰάσασθε.
72. *Ἔρρ'.] Μετὰ φθορᾶς ἄπιθι. Ἐλέσχιστε.] Ἐπονειδίστε.
74. Ἀπέχθηται.] Μισεῖται.
78. Εἰρεσίης.] Κωπηλασίας.
79. Μαπίῃ.] Μαλακίᾳ, φρενοβλαβείᾳ. Πομπή.] Παραπομπή.

N O T Æ.

64. Πῶς ἦλθες, Ὀδυσεῦ;) *Ultima* Σ ἦλθες producitur, ante Literam αὐτοδύναμον, in *Cæſurâ* &c.

66. Εἴ πῃ τοι φίλον ἐστὶν) Ità legendum, pro εἴπῃ τοι, probo ad η'. v. 320.

72. Ἔρρ', ἐν νήσῳ θᾶσσον) Huc refer *Joh. Tzetzæ* Chiliad. l. 9. v. 283.

75. Ἔρρ', ἐπειή ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις) *Florentina, Aldina, Lovaniana Reſcii, Romana & Baſileenſis Euſtathii, Hervagiana, Caſtelliana, Can-*

N O T Æ I N

64. *Ἐπίθη) Ità, pro corrupto ἐπίτη, ex *Aloyſii* MS.

V A R I Æ L E C T I O N E S.

65. Ἀφίκοιο) γρ. ἀφίκηαι.

66. Εἴπῃ τοι φίλον ἐστὶ) γρ. εἴπῃ τοι φίλον &c. Vid. Not. in *Textum*.

73. Οὐδ' ἀποπέμπειν) γρ. ἢ ἐλεαίρειν. *Julian.* Epiſt. 49. fol. 433. Edit. *Spanheim.*

74. Ἄνδρα τ', ὃς κε θεοῖσιν, ἀπέχθη) μακάρεσσι] γρ. Ἀνέρας, οἵ κε θεοῖσιν ἀπέχθωνται ἀθανάτοισιν, *Julian.*

75. Ἔρρ', ἐπειή ῥα) γρ. ἔρρ', ἐπεὶ ἄρα, ἔρρ' ἐπεὶ ἦρα & ἔρρε, ἐπεί ῥα, vid. ad *Textum*.

Ἐξδο-

Ἑβδομάτῃ δ' ἱκόμεθα Λάμου αἰπὺ πολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴ
Ἠπύει εἰσελάων, ὅδε τ' ἐξελάων ὑπακούει.
Ἔνθα κ' ἄϋπνος ἀνὴρ διπλῆς ἐξήρατο μισθῆς,
Τὸν μὲν, βουκολέων, τὸ δ', ἄργυφα μῆλα νομεύων·
Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.
Ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἤλθομεν, ὃν πέρι πέτρη
Ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν·
Ἀκταὶ δ' ὑπερβλῆτες ἐναντίαι ἀλλήλῃσιν
Εἰς ὅμαλὸν προὔχουσιν· ὑπαὶ δ' εἴσοδος ὀξύς.

Septimâ verò venimus Lami ad excelsam urbem
Telepylum Læstrygoniam, ubi pastorem pastor
Evocat impellens, alter verò exigens audit.
Ibi utique insomnis vir pastor duplicem capit mercedem,
Unam pascendis bobus, alteram pascendis nitidis pecoribus;
Propè enim noctisque & diei sunt viæ.
Ibi postquam ad portum inclytum venimus, quem circum petra
Excelsa erat, perpetuo utrinque;
Littoraque prominentia contraria sibi invicem
In ostia procurrunt; angustus autem introitus est.

ΣΧΟΛΙΑ.

81. Λάμου αἰπὺ πολίεθρον.] Ἀπὸ Λάμου βασιλεύσαντος Λαιστρυγόνων, Λάμου, Ποσειδῶνος παιδὸς, ἢ ὀνόματος Λαιστρυγόνος.

82. Τηλέπυλον.] Μεγάλην· τὰ γὰρ τοιαῦτα πολὺ διεχόντων αἱ πύλαι· τινὲς δὲ τὸ κύριον Τηλέπυλον ἐξενέγκασθαι· οἱ δὲ τηλέπυλον φασὶ, μακρόπυλον· ἢ τῷ Ἀφθήμῃ, ἀλλὰ τῷ πλάτει τῆς πύλης, ἢ τῷ μήκει. Λαιστρυγονίην.] Τῶν Λαιστρυγόνων. Λαιστρυγόνες δὲ οἱ τῶν Λάμου οἰκοῦντες. Ὅθι ποιμένα ποιμήν.] Ὅπου οἱ νομεῖς ἀλλήλους συμφθέγγονται· ἀφ' οὗ σύνεγγυς εἶναι τὰς νομάς· ἢ μᾶλλον ὁ Ἀφθήμων τὸ ἀκριβέστερον τῆς πυλῶν μίσγειν ἀκούει, καὶ ὅπου τῶν φωνῶν ἐξακούεται δέ τι εἰσελαύνοντος, καὶ ὃ ἐξελαύνοντος. Ποιμένα.] Καθαρευούσης ἔφησε ποιμένα καὶ τὸν βουκόλον.

83. Ἠπύει.] Φωνεῖ. Εἰσελάων.] Εἰσελαύνων. Ἐξελάων.] Ἐξελαύνων.

84. Ἐξήρατο.] Ἀπενέγκασθαι.

85. Ἄργυφα.] Λευκὰ, ἢ λαμπρά.

86. Ἐγγὺς δὲ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.]

NOTÆ.

82. Τηλέπυλον Λαιστρυγονίην) Quanquam ego Τηλέπυλον hîc, ut proprium accipio, quoniam nonnulli scrupulos hinc sibi faciunt, dicendum, Etiamsi Portæ urbis quam maximè à se invicem distarent, posse tamen *Pastores*, aut potius *Bubulcos*, sibi satis attendere: dum Unus enim redit in urbem, alius per eandem Portam exit, & nihil hîc aliud juxta literam velle *Homerum* puto, quam Urbem totam rei *Pastoritiæ* deditam. De cæteris adeas *Eustath.* fol. 383. lin. 2. &c. *Br. Schol.* etiam *Spondan.* in hunc locum fol. 135. *Cæl. Rhodigin.* l. 7. c. 10. fol. 339. *Lycophron.* v. 956. & *Scholia* in locum; *Hyginum* l. iv. Titulo *Æquinoctialis*, Quicunque ad ipsius caput *Draconis* habitant, ità longo die utuntur, ut eis nè tertia quidem horæ pars in unaquâque nocte obtingat. Itaque *Aratus* ait, Κείνη τὲ κεφαλὴ τῇ νήχεται, ἠχί τε ἄκραι Μίσγουσ' δύσιές τε, καὶ ἀντολαὶ ἀλλήλῃσιν. *Cicero* vertit, Quod Caput *Draconis* natat, ubi extremæ occidentes, & exortæ inter se misentur. Ἐγγὺς δὲ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι. Ἀεὶ νυκτιφοιτιαὶ καὶ ἡμεριναὶ νομαὶ ἐγγὺς εἰσὶ τῶν πόλεως. φασὶ δὲ τὸς Λαιστρυγόνας κατοικεῖσαι τὴν τῶν Λεοντίνων ἐπὶ Σικελίαν χώραν, ὃ δὴ χθονᾶς πολλὸν μόνοπτε, καὶ τὴν οἶσιν. ὥστε τὰ μὲν λύκοις τῇ ἡμέρᾳ νέμεσθαι, τὰ δὲ ψιλὰ τῇ νυκτὶ, καὶ ὅπως τὸν δυνάμενον ἀκριτεῖν δύο μισθὸς ἀποφέρεσθαι. Κρούτης δέ φησι καὶ τὸν δεύτερον αὐτὸν κατοικεῖσθαι κεφαλῇ πρὸς τὴν Ἄρκτον λέγει, Κείνη πὲ κεφαλὴ τῇ νήσει, ἠχὶ μὲν ἄκραι Μίσγουσ' δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν· ὥστε πλοίῳ μὲ εἶναι τὸν ἡμέρας, ἀλίγῳ δὲ τὸν νύκτας· ὡς ἀνάπλων ποιεῖ τοῖς Κιμμερίοις· εἴπερ ἂν δύνατον διαγρυπνεῖν, διπλοῦς κομίζεσθαι μισθούς.

88. Ἠλίβατος.] Ὑψηλή. Τετύχηκεν.] Ἐστὶν, ὑπάρχει. Διαμπερές.] Ἀντὶ τοῦ, ἀπήνικες.

89. Ἀκταὶ δ' ὑπερβλῆτες.] Αἱ προβεβλημέναι τὸ τῇ θαλάσσῃ πέτραι, καὶ προέχουσαι ἀπὸ τῶν αἰγιαλῶν, καὶ στένον ποιοῦσι τὸ εἴσπλουν.

90. Προὔχουσι.] Προέχουσιν, ἢ ἐπροβίβλωται. Ἀεσιὴ.] Λεπτὴ καὶ στενή.

TÆ.

put hic paulum sese subitoque recondit, Ortus ubi atque Obitus parte admiscentur in una. De hoc *Homerus* quoque in *Odyssea*, qui ità brevem Noctem esse dicit, ut Pastores cum alii exigant, alii reducant pecus, possint alius alium audire, cum unus propter Noctem pecus reducat, alter propter Lucem exigat.

84. Διπλῆς ἐξήρατο μισθῆς) *Ælian.* Animal. l. 14. c. 29. Διὸ καὶ ὁ Ὅμηρος εἰπεῖν μοι, ὅτι ἐδίπλου αἰροῦνται μισθὸν οἱδὲ οἱ ἄνδρες, τὸ μὲν ὅτε βοσκοῦσι, τὸ δὲ ὅτε τὰ γῆς· ὡς τὰς αὐτὰς εἶναι καὶ ναύτας καὶ γεωργούς.

86. Ἐγγὺς δὲ νυκτός τε καὶ ἤματος) *Crates* dicit *Lestrygonas* sub *Draconis* Capite positos, ut ad v. 82. ex *Hygino* & *Arato*. Huc refer *Hesiod.* Theogon. à v. 748. —ἔνθ' Νὺξ τε καὶ Ἡμέρα ἄσσον ἰοῦσαι &c. ad v. 758. *Crepusculum* fit, Nocte deficiente, Die oriente, vel contrà.

VARIÆ LECTIONES.

90. Προὔχουσι) καὶ προὔχουσαι, *H. Steph.*

Ἔνθ',

Ενθ' οἵγ' εἴσω πάντες ἔχον νέας ἀμφιελίσσας.
Αἱ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
Πλησίαι· ὑ μὲν γάρ πολ' ἀέξετο κῦμά γ' ὀρωρὸν,
Οὔτε μέγ', οὔτ' ὀλίγον· λευκὴ δ' ἦν ἀμφὶ γαλήνη.
Αὐτὰρ ἐγὼν οἷος πρόσθεν ἔξω νῆα μέλαιναν,
Αὐτῷ ἐπ' ἐσχατιῇ, πέτρης ἐκ πείσματα δήσας.
Ἔσην ἐς, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών·
Ἔνθα μὲν οὔτε βοῶν, οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
Καπνὸν δ' οἷον ὁρῶμεν ἀπὸ χθονὸς ἀΐσσοντα.
Δὴ τότ' ἐγὼν ἑτάρους προΐειν πεύθεσθαι ἰόντας,
Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
Οἳ δ' ἴσαν ἐκβάντες λείην ὁδὸν, ἧπερ ἅμαξαι
Ἄσυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.
Κούρῃ δ' ξύμβλητο πρὸ ἄστεος ὑδροχόῃσι,
Θυγατρὶ ἰφθίμῃ Λαμίδεω Λαιστρυγόνος Ἀντιφάταο.
Ἣ μὲν ἄρ' ἐς κρήνην καταβήσετο καλλιρέεθρον
Ἀρτακίην, ἔνθεν γὰρ ὕδωρ προφέρεσκον.
Οἱ δ' παριστάμενοι προσεφώνεον, ἔκ τ' ἐρέοντο,
Ὅστις τῆσδ' εἴη βασιλεὺς, καὶ οἷσιν ἀνάσσοι.

Ibi illi intus omnes tenebant naves utrinque agitabiles;
Quæ quidem intra portum concavum ligabantur
Propinquæ: nunquam enim attollitur fluctus in ipso,
Neq; magnus, neque parvus; candida enim erat circum tranquillitas.
Cæterùm ego solus tenui extra navem nigram,
Illic in extremâ parte, petræ funes alligans.
Stabamque, speculâ excelsâ conscensâ;
Ibi quidem neque boum neque virorum apparebant opera,
Fumum tantum videbamus à terrâ erumpentem.
Cæterùm tunc ego socios præmisi sciscitatum profectos,
Quinam viri essent supra terram panem vescentes;
Viris duobus electis, tertium præconem unà comitem tradens.
Illi iverunt egressi *in* planam viam, qua plaustra utique
Ad urbem ab excelsis montibus deducunt lignum.
Puellæ verò obvii facti sunt ante urbem aquam petenti,
Filiæ proceræ Læstrygonis Antiphatæ.
Hæc quidem ad fontem descendit limpidum
Artaciam, hinc enim aquam ad urbem ferebant.
Illi verò astantes alloquebantur interrogabantque,
Quisnam eorum esset rex, & quibus imperaret.

ΣΧΟΛΙΑ.

97. Σκοπιήν.] Ὑψηλὸν τόπον. Παιπαλόεσσαν.] Τραχεῖαν. Ἔνθεν καὶ τῇ συνηθείᾳ παιπάλιμον λέγομεν ἄνδρα τραχὺν, καὶ μὴ ἁπλῆ.
99. Ἀΐσσοντα.] Ἀνιόντα.
100. Προΐειν.] Προείπομεν.
103. Λείην.] Λείαν, ὁμαλήν.
104. Καταγίνεον.] Κατέφερον.
105. Ξύμβλητο.] * Συνήρχετο.
107. Καλλιρέεθρον.] Καλὰ ῥεύματα ἔχουσαν.
108. Ἀρτακίην,] Ὄνομα κρήνης. * εἶπεν δὲ τὸ ὄνομα * παρὰ τῆς Κίρκης μεμαθηκώς· λέγει γάρ, Οἶδα καὶ αὐτὴ Ἣ μέν σ' ἐν πάντῃ παθεῖν ἄλγεα· ἢ κατὰ τὸ σιωπώμενον, παρὰ τῶν φυγόντων, μαθόντων παρὰ τῆς κόρης, * ἐπύθετο.

NOTÆ.

100. Προΐειν) Olim hoc in loco προΐειεν, verùm quùm aliàs in omnibus Exemplaribus προΐειν legeretur, *viz.* ι'. v. 88. & μ'. v. 9. & *Eustathius* ità legat, hoc etiam in loco, ità scribo; nam à προΐημι venit, & προΐειεν, ad *Var. Lect.* relego.

NOTÆ IN SCHOLIA.

105. * Συνήρχετο) Ità pro corrupto, ἤρχετο, legendum.
108. * Εἶπεν δὲ τὸ ὄνομα παρὰ τῆς Κίρκης μεμαθηκὼς) Ità pro Corrupto εἶπον, &c. παρ' αὐτῆς μεμαθηκότες, & mox, * ἐπύθετο, pro ἐπύθοντο, nam *Ulysses* solus hic loquitur, & de eo solo hoc *Scholion*, quod alludit ad *Circæ* dictum, infrà, v. 457. Οἶδα καὶ αὐτὴ, &c. Per κόρης autem intellige θυγατρὸς Ἀντιφάτου.

VARIÆ LECTIONES.

100. Προΐειν) γρ. προΐειεν, *Br. Schol.* vid. N. in *Text.*
103. Ἅμαξαι) γρ. ἅμαξαι, ut *Iliad.* η'. v. 426.
107. Καταβήσετο) γρ. κατεβήσατο, *H. Steph.* vid. ad θ'. v. 417.

Ἣ δὲ

Ἡ ᾗ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψιεφὲς δῶ.
Οἳδ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τὴν δὲ γυναῖκα
Εὗρον, ὅσσον τ' ὄρεος κορυφὴν, περὶ δ' ἔσχεν αὐτήν.
Ἡ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλεε κλυτὸν Ἀντιφατῆα,
Ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον·
Αὐτίκ' ἕνα μάρψας ἑτάρων, ὤπλίσατο δόρπον·
Τὼ ᾗ δὺ' ἀίξαντε φυγῇ ἵκεσθον νῆας ἰκέσθην.
Αὐτὰρ ὁ τεῦχε βοὴν ἀγορὴ ἄτερθε· οἱ δ' ἀΐοντες
Φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλοι,
Μυρίοι, οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν.
Οἵ ῥ' ἀπὸ πέτρεάων ἀνδραχθέσι χερμαδίοισι
Βάλλον· ἄφαρ δ' ἦν κακὸς κόναβος νηῶν ὀλομένων,
Ἀνδρῶν ὀλλυμένων, νηῶν θ' ἅμα ἀγνυμενάων·
Ἰχθῦς δ' ὡς, περόνησι, ἀτερπέα δαῖτα φέρουσι.
Ὄφρ' οἱ τὸν ὄλεκον λιμένος πολυβενθέος ἐντὸς,
Τοφρὸν ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηρῷ,
Τῇ ἀπὸ πείσματ' ἔκοψα νεὸς κυανοπρῴροιο.
Αἶψα δ' ἐμοῖς ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
Ἐμβαλέειν κώπῃσι, ἵν' ὑπεκφύγοιμεν ἅπαντες.
Οἱ δ' ἅμα πάντες ἀνέρριψαν, δείσαντες ὄλεθρον.
Ἀσπασίως δ' ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
Νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο.
Ἔνθεν ᾗ ὥρτέω πλέομεν, ἀκαχήμενοι ἦτορ,
Ἀσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

Illa valdè statim patris ostendit excelsam domum.
Hi postquam ingressi sunt inclytam domum, ipsam quidem mulierem
Invenerunt, velut montis verticem, & abominati sunt illam.
Illa verò continuò è foro evocabat inclytum Antiphatem
Suum maritum, qui jam illis intendebat sævam mortem:
Statim uno correpto sociorum, apparavit cœnam:
Duo verò ruentes fugâ ad naves pervenerunt.
Caterum is clamorem excitavit per urbem, atque illi audientes
Ibant fortes Læstrygones aliundè alius,
Innumeri, non hominibus similes, sed Gigantibus;
Qui à petris ponderosis saxis
Jaciebant; statim autem malus strepitus per naves excitatus est,
Virorum pereuntium, naviumquè fractarum;
Tanquam pisces verò, transfigentes tristes epulas ferebant.
Dum illi hos perdebant profundum portum intrà,
Interea ego gladium acutum extrahens à fœmore,
Eo funes abscidi navis nigrâ-prorâ.
Statimque meos socios excitatos jussi
Incumbere remis; ut calamitatem subterfugeremus.
Hi simul omnes incumbunt timentes mortem.
Libenter autem in pontum altas effugit petras
Navis mea: cæterùm reliquæ densæ illic perierunt.
Hinc igitur ulteriùs navigavimus tristes corde,
Læti ex morte *evitatâ*, postquam dilectos amisimus socios.

ΣΧΟΛΙΑ.

111. Ἐπέφραδεν.] Ἐσήμανεν, ἔδειξεν.
113. Κατὰ οἶ' ἔσυγεν.] Κατεπλάγησαν.
119. Φοίτων.] Παρεχίνοντο.
121. Ἀνδραχθέσι.] Τοῖς δυναμένοις ἄνδρα καθαιρεῖν· ἢ μέγα βάρος παρέχουσι τοῖς βαστάζουσι.
122. Κόναβος.] Ἦχος.
123. Ἀγνυμενάων.] Συντριβομένων.
124. Ἰχθῦς δ' ὡς περόνησι.] Ἀντὶ τοῦ, νηχόμενοι κῆτη πηρῶντες, ἄσπερ ἰχθύες, ἢ ἀμφιπείρουσες, ὡς ἰχθύας· χρώμενοι καὶ σπαίρουσι. πείροντες δὲ, ἢ ἀντὶ τοῦ διείροντες. Φέρουσι.] Προσφέρουσι.
130. Ἀνέρριψαν.] Ἐκωπηλάτησαν.
131. Ἐπηρεφέας.] Ἤτοι ἄνωθεν ἐπηρεφεῖς, ἢ ἐπικεκλιμένας πέτρας.
132. Ἀολλέες.] Ὁμοῦ πᾶσαι.

NOTÆ.

120. Οὐκ ἀνδράσιν ἐοικότες, ἀλλὰ Γίγασιν) Hinc vox ἀνδραχθέας facta *Callimacho*, Hymn. *Cereris*, v. 35. Et Nos, *Esther*. v. 1087. Ὠμά τε καὶ Σηθία κατώλεσεν ἀνδραχθέας. De Gigantibus diximus ad ν. v. 59.

VARIÆ LECTIONES.

116. Ἕνα μάρψας) γρ. ἓν' ἀμμάρψας, rectissimè, pro ἀναμαρψας. *Ibid.* Δόρπον) γρ. δεῖπνον, *H. Steph.*
124. Περόνησι) γρ. σπαίρουσι, *Br. Schol.*

Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθά δ' ἔναιε
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεός, αὐδήεσσα,
Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο.
Ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο,
Μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
Ἔνθά δ' ἐπ' ἀκτῆς νηῒ κατηγάγομεθα σιωπῇ
Ναύλοχον ἐς λιμένα, καί πις θεὸς ἡγεμόνευεν.
Ἔνθα τότ' ἐκβάντες, δύο τ' ἤματα καὶ δύο νύκτας
Κείμεθ', ὁμῶ καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ,
Καρπαλίμως ἀπὸ νηὸς ἀνήϊον ἐς περιωπήν,
Εἴπως ἔργα ἴδοιμι βροτῶν, ἠδ' αὐδὴν τε πυθοίμην.
Ἔστην δ', σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,

Ææam autem ad insulam perveni-mus: ubi habitabat
Circe pulchricoma, veneranda dea, eloquens,
Germana soror prudentis Æætæ:
Ambo enim natæ sunt ex illustrante-homines Sole,
Et matre ex Perse, quam Oceanus genuit filiam.
Hic in littore nave devenimus clàm
Navium-capacem in portum, & Deus aliquis dux erat.
Ibi tum exeuntes, duos dies & duas noctes
Jacebamus, pariter & labore, & dolore animum macerantes.
Sed quando jam tertiam diem pulchricoma perfecit aurora,
Et tum ego meam hastam capiens & gladium acutum,
Celeriter ab nave recessi in speculam,
Sicubi opera viderem mortalium, vocemque audirem.
Stabam igitur, speculam in præruptam ubi conscendissem,

ΣΧΟΛΙΑ.

135. Αἰαίην.] *Ταύτην ἴσιοί φασι, τὸ νῦν Κίρκαιον ὠνομ. τῇ Ἰταλίᾳ.

136. Αὐδήεσσα.] Ἤτοι θεοδόητος, ἢ εἰς ἀφθογγίαν καὶ προσαγορεύσιν ἀνθρώπους ἐρχομένη· ἢ καθὸ ἐπίγειός ἐστιν.

137. Ὀλοόφρονος.] Τῇ σωτείρᾳ καὶ ὀλέκλησε φρενῶν. Αἰήτεω.] Κόλχων βασιλέως, πατρὸς Μηδείας, Κίρκης ἀδελφῆς.

138. Ἐκγεγάτην.] Ὑπάρχουσιν. Φαεσιμβρότου.] Τὸ φῶς τοῖς ἀνθρώποις φαίνον.

139. Πέρσης.] Πέρση, Ὠκεανῆς μὲν ἐστὶ θυγάτηρ, Ἠλίου δὲ γυνή. *Ἠλίου δὲ καὶ Πέρσης, τῆς Ὠκεανῆς, Αἰήτης καὶ Κίρκη. Ἡσίοδος δὲ καὶ τὴν Ἐκάτην Περσηΐδα λέγει.

140. Ἀκτῆς.] Παραθαλασσίου τόπου.

141. Ναύλοχον.] Τὸν εἰς φυλακὴν τῶν νεῶν ἐπιτήδειον τόπον· ἢ τὰς ναῦς κρύπτοντα, ἢ ὑποδεχόμενον.

146. Ἀνήϊον.] Ἀνῆλθον. Περιωπήν.] Τόπον ὑψηλὸν· ἀφ' οὗ ἐστι περισκέψασθαι ἐπιόντα καὶ ἀποκαπύοντα.

NOTÆ.

136. Θεὸς αὐδήεσσα) Cùm nulla subsit ratio, quare *Circe* θεὸς αὐδήεσσα potius dicatur, quàm quævis alia Cœlestium Dearum, quibus vocem certè *Homerus* minimè negat; quidnî alia Antiqua *Lectio* hic præferenda videatur, ἐδήεσσα, de quâ re fusius ad ε'. v. 334. Certè *Br. Schol.* & hìc eam *Lectionem* alludunt in ipso fine, Καθὸ ἐπίγειός ἐστιν.

137. Αὐτοκασιγνήτη Αἰήταο) *Æetes*, Rex *Colchorum*, filius *Solis* & *Perseidos*, vel *Persæ*, *Oceanina*; sororem habuit *Circen*, filiam *Medeam*, filium *Absyrtum*.

138. Ἐκγεγάτην) Non hoc *Contractum*, pro ἐκγεγαίτην, tum enim *Penultima* produceretur; verùm a *Simplici* ἔκγεγα, pro ἐκγέγαα. Fit enim γέγαα, ut γεγαὼς, γεγὼς, *Hesychio*. Sic μεμαὼς, μεμὼς, minimè per *Contractionem*. Γεγάτην autem legitur in *Tertiâ* Duali; quià γέγαον æquè dicitur, atque γεγάασι. Nam ut *Tertia* Dualis definit in ω, ubi *Tertia* Pluralis exeat in ασι, ωσι, ασι, vel αι· Sic è contrà semper definit in ην, ubi *Tertia* Pluralis exeat in ον, αν, εν, vel τ· quod *Observanti* patebit. Quòd autem γέγαον, æquè atque γεγάασι dicatur, id sine Exemplo non fit; nam ità Bœoticè πίφευκα, pro πεφεύγασι, *Lycophron*. v. 252. Ἔοργαν, *Homer. Batrachom.* v. 178. Ἐγνωκαν, *D. Johan.* c. 17. v. 8. Εἰρηκαν, *Apocalyps.* c. 19. v. 3.

NOTÆ IN SCHOLIA.

135. * Ταύτην, pro αὐτὴν, lego ex *Aloysii* MS. Hunc locum explicat *Theophrastus* περὶ φυτῶν, l. 5. c. 9. Τὸ δὲ Κιρκαῖον καλούμενον, εἶναι μὲν ἄκανθαν ὑψηλὴν, δασεῖαν δὲ σφόδρα, καὶ ἔχειν δρῦν ἐπὶ δάφνῃ πολλὴν, καὶ μυρρίνῃ· λέγειν δὲ τοὺς ἐγχωρίους, ὡς σπασθὲν ὑπὸ Κίρκης κατοικῆσαι, ἐπικτῆναι τε ὑπ' Ἐλπήνορος πίθον. — Καὶ στῆσαι μὲν ἓν, νῆσον εἶναι τὸ Κιρκαῖον· νῦν δὲ ὑπὸ πολεμίων τινῶν περισχεθῆναι, καὶ εἶναι νῆσόν τ' ἐν νήσῳ τὸ μέγιθος περὶ ὀγδήκοντα σταδίους. Vid. *Munck.* in *Hyginum*, p. 194.

139. * Ἠλίου δὲ) Has voculas, Sensui planè necessarias, ex *Aloysii* MSto addendas curavi. Huc refer *Spondan.* in locum, fol. 135. ubi ex *Hesiodo* & *Diodoro Siculo*, multa in hanc rem.

VARIÆ LECTIONES.

135. Ἔνθά δ'] κ. ἔνθα δ'.

136. Αὐδήεσσα) κ. ἐδήεσσα, *H. Steph.* Vid. Not. in *Textum*.

Καὶ

Καί μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης,
Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Μερμήριξα δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
Ἐλθεῖν, ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
Ὡδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης,
Δεῖπνον ἑταίροισιν δόμεναι, πρόμυθόν τε πυθέσθαι.
Ἀλλ' ὅτε δὴ κεδνὸν ἦα νεὸς ἀμφιελίσσης,
Καὶ τότε τίς με θεῶν ὀλοφύσατο μοῦνον ἐόντα,
Ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
Ἦκεν· ὁ μὲν ποταμόνδε κατήϊεν ἐκ νομοῦ ὕλης,
Πίσεται· δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο·
Τόνδ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
Πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε·
Καδδ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός·
Τῷδ' ἐγὼ ἐμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
Εἴασα· αὐτὰρ ἐγὼ σπασάμην ῥωπάς τε λύγους τε.
Πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐϋστρεφὲς ἀμφοτέρωθεν
Πλεξάμενος, συνέδησα πόδας δεινοῖο πελώρου.

Et mihi apparebat fumus à terrâ latâ,
Circes in ædibus, per arbores denſas & ſylvam.
Deliberabam itaque deinde in mente & in animo
Proficiſci, atque ſciſcitari; poſtquam vidi fuliginoſum fumum.
Sic verò mihi reputanti viſum eſt ſatiùs eſſe,
Primùm profectum ad navem celerem & littus maris
Prandium ſociis dare, præmittereque ad inquirendum.
Sed quando jam propè eram vadens ad navem utrinque agitatam,
Certe tum aliquis me deorum miſertus eſt ſolum exiſtentem
Qui mihi excelſis cornibus-cervum magnum in viam ipſam
Miſit; is quidem ad flumen deſcendebat ad paſcua ſylvæ
Potaturus, jamdudum enim ipſum ceperat vis Solis.
Hunc ego egredientem per ſpinam medio tergo
Percuſſi, ipſum verò penitùs haſtile ferreum tranſiit:
Decidit itaque in pulveres vociferans, & evolavit animus.
In hunc ego irruens, haſtam ferream ex vulnere
Extraxi, illam quidem illic reclinans in terrâ
Reliqui; cæterùm ego avulſi virgultaque viminaque;
Funeque ad ulnæ longitudinem benetorto undique
Complicato, colligavi pedes ingentis monſtri.

ΣΧΟΛΙΑ.

149. Ἐείσατο.] * Ἐφάνη.

150. Διὰ δρυμά.] Διὰ τῶν δρυμωδῶν, καὶ σωδένδρων τόπων.

152. Αἴθοπα καπνόν.] Τὸν ἐκ τῆς αἴθης, * ὅ ἐστι καύσεως, γινόμενον.

155. Πρόμυθον.] * Προπέμψαι.

156. Ἀμφιελίσσης.] Ἐκπίπτουσιν ἑλαυνομένης.

157. Ὀλοφύσατο.] Ἠλέησεν.

158. Ὑψίκερων.] Ὑψηλὰ κέρατα ἔχοντα.

159. Κατήϊεν.] Κατήρχετο.

160. Δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο.] Τὸν *ἔλαφον φησὶν ὑπὸ τῆς Ἡλίου ἐκκεκαῦσθαι, καὶ ὡς ἐπὶ τὸ ποταμὸν καλύπτεσθαι, ἵνα πιεῖν ἔνεστι.

* Vid. *Pſalm.* 42. v. 1.

NOTÆ.

160. Πίσεται) Ut πῶ, pro πίνω, *Priorem* haud rarò producit, ità πίω, pro πίνω, non ſemel; de quâ re Nos plura, ad π'. v. 143.

NOTÆ IN SCHOLIA.

149. * Ἐφάνη) Ità, pro Corrupto ἐφώνῃ, nihil hîc à MSto adjutus.

152. *Ὅ ἐστι καύσεως γινόμενον, ex *Aloyſii* MSto.

155. * Προπέμψαι) Ità pro προπέμψασθαι, quod πρόμυθον fit Modi *Infinit.* MS. προπέμψαι, malè τῷ ε'. admiſſo.

VARIÆ LECTIONES.

158. Ὑψίκερων) γρ. ὑψίκερον.

160. Πίσεται) γρ. πιόμενον.

Βλῶ ἐγὼ καταλοφάδια φέρων ἐπὶ νῆα μέλαιναν,
Ἐγχεῖ ἐρειδόμενος, ἐπεὶ οὔπως ἦεν ἐπ' ὤμῳ
Χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
Κὰδ δ' ἔβαλον πρυμνῇφι νεὸς· ἀνέγειρα δ' ἑταίρους
Μειλιχίοις ἐπέεσσι, παραστὰς ἄνδρα ἕκαστον,
Ὦ φίλοι, ἦ γάρ πως καταδυσόμεθ', ἀχνύμενοί περ,
Εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.
Ἀλλ' ἄγετ', ὄφρ' ἐν νηῒ θοῇ βρῶσίς τε, πόσις τὲ,
Μνησόμεθα βρώμης, μηδὲ πτυχόμεθα λιμῷ.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Ἐκ δὲ καλυψάμενοι πρῶθι θῖν' ἁλὸς ἀπρυγέτοιο
Θηήσαντ' ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
Χεῖρας νιψάμενοι τεύχοντ' ἐρικυδέα δαῖτα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἤμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
Ἠμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἠμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,

Descendi itaque in cervice gerens ad navem nigram,
Hastâ innixus, quoniam nullo pacto poteram in humero
Manu ferre alterâ; valdè enim magnum animal erat.
Dejeci autem ante navem, excitavique socios
Blandis verbis, astando viros singulos,
O Amici, nequaquam certè descendemus, quantumvis afflicti,
In Plutonis ædes, antequam fatalis dies advenerit.
Sed agitè, quamdiu est in navi celeri cibusque potusque,
Memores simus escæ; neque vexemur fame.
Sic dicebam; hi celeriter meis verbis parebant:
Egressi autem è latebris ad littus maris irrequieti
Admirabantur cervum; valdè enim magna fera erat.
Cæterùm postquam oblectati sunt videntes oculis,
Manibus lotis apparabant eximium convivium.
Sic tum quidem totum diem ad Solis occasum
Sedebamus, convivantes carnes multas & vinum dulce:
Quando autem Sol descendit & tenebræ advenerunt,
Certè tum dormivimus in littore maris.
Quando autem manè-genita apparuit roseis-digitis aurora,

ΣΧΟΛΙΑ.

169. Καταλοφάδια.] Κατὰ λόφυ ἑ αὐχένος, καὶ ἀραχήλυ.

170. Ἐρειδόμενος.] Ἐπερειδόμενος. Οὔπω εἶχεν.] Οὐκ ἐπεδέχετο ἴσχύν.

173. Παραστὰς.] Παρισὰς πλησίον.

174. Καταδυσόμεθα.] Καπιλδυσόμεθα, καπίλθωμεν. Ἀχνύμενοί πρ.] Καί πρ λυπούμενοι.

175. Εἰς Ἀΐδαο.] Εἰς ᾅδυ. Μόρσιμον ἦμαρ.] Τὴν εἱμαρμένην ἡμέραν.

177. Βρώμης.] Βρώσεως. Πτυχόμεθα.] Καταπονώμεθα.

179. Ἐκ δὲ καλυψάμενοι.] Ἐκκαλύψαντες, ἀπασκεπάσαντες.

182. Τεύχοντο.] Καπασκεύαζον. Ἐρικυδέα.] Τῶν ποιθῶν χαυριᾶν, ἢ μεγάλως * ἐνδόξον.

184. Ἄσπετα.] Πολλά.

NOTÆ.

169. Βῶν ἐγὼ καταλοφάδια φέρων) Olim καταλοφάδια, at *H. Steph.* καταλοφάδια legit rectius. Ita & *Seberus*, MS. *Aloysii*, Br. *Schol.* vid. supra ad ι'. v. 490. *Eustath.* fol. 389. lin. 31. Καταλοφάδια ᾗ, ἀντὶ ᾗ, κατὰ λόφυ, καὶ αὐχένα, καὶ τραχήλυ· λόφος ᾗ κυρίως, ἐπὶ ἀλόγων ζώων, τὸ μεταξὺ τῶν κεφαλῆς· ἔνθα πῶς ζυγνυμένοις ἐπιβάλλεται ὁ ζυγός. Et alias, Ὁ λόφος, ὁ ἄνω τένων, ἤτοι ὁ πρὸς τραχήλου· ὅθεν καὶ τὸ καταλοφάδια· καὶ παρὰ Σοφοκλεῖ, τὸ, — ὑπὸ ζυγὸν κῶπην εὐλόφως φέρειν· ὡς λόφυ ὄντος ᾗ καὶ τὸ τραχήλου.

182. *Ἔνδεξον) Ità pro ἔνδεξα scribo, nam ad δαῖτα refertur.

VARIÆ LECTIONES.

169. Καταλοφάδια) γρ. καταλοφάδια, vid. Not. in *Textum*.

170. Οὔπως ἦεν ἐπ' ὤμῳ) γρ. ὔπως ἦν ἐπὶ ὤμῳ, *H. Steph.* & ἔπως εἶχεν (an εἶχον) ἐπ' ὤμῳ, *Br. Schol.*

174. Οὐ γάρ πως) γρ. ὃ γάρ πω & πω, *H. Steph.* & σὺν ἄρ πω, vid. Not. in *Textum*.

175. Ἐπίλθῃ) γρ. ἐπιλθεῖν, *H. Steph.*

Καὶ

Καὶ τότ' ἐγὼν ἀγορὴν θέμην μετὰ πᾶσιν ἔειπον,
Κέκλυτέ μευ μύθων, κακὰ πὲρ πάσχοντες ἑταῖροι,
Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, ὅπη ζόφος, οὐδ' ὅπη ἠώς,
Οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
Οὐδ' ὅπη ἀνστείτην· ἀλλὰ φραζώμεθα θᾶσσον,
Εἴπης ἔτ' ἔστιν μῆτις· ἐγὼ δ' οὐκ οἴομαι εἶναι.
Εἶδον γάρ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
Νῆσον, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται·
Αὐτὴ δ' χθαμαλὴ κεῖται, καπνὸν δ' ἐνὶ μέσσῃ
Ἔδρακον ὀφθαλμοῖσι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ,
Μνησαμένοις ἔργων Λαιστρυγόνος Ἀντιφάταο,
Κύκλωπός τε βίης μεγαλήτορος ἀνδροφάγοιο.
Κλαῖον δὲ λιγέως, θαλερὸν χύτ' δάκρυ χέοντες·
Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.
Αὐτὰρ ἐγὼ δίχα πάντας ἐυκνήμιδας ἑταίρους

Et tum ego concione coactâ omnes alloquutus sum,
" Audite meos sermones, mala etsi passi, socii,
" O amici, non enim scimus, ubi Septentrio, neque ubi Meridies,
" Neque ubi sol hominibus lucem præstans vadit sub terram,
" Neque ubi resurgit; quare consilium ineamus celeriter,
" Si quid adhuc fuerit consilii; ego quidem non existimo esse.
" Vidi enim, speculam ubi ad excelsam ascendi,
" Insulam, quam pontus infinitus circumdat;
" Ipsa verò humilis jacet, fumumque in medio
" Vidi oculis, per arbores densas & sylvam.
Sic dicebam, his verò perculsum est amicum cor,
Recordatis facinorum Læstrygonis Antiphatæ.
Cyclopisque violentiæ, magnanimi, viros-devorantis.
Flebant itaque valdè uberes lacrymas profundentes:
Sed nullum erat emolumentum, *quod occurreret*, lugentibus.
Cæterùm ego bifariam omnes beneocreatos socios

Σ Χ Ο Λ Ι Α.

188. Μεῖα πᾶσιν.] Ἔνιοι, μοῦθον.

190. Οὐ γάρ τ' ἴδμεν ὅπη.] Οὐ φησὶν εἰδέναι, ὅπου δύσις, ἢ ὅπου ἀνατολή· ταῦτα δὲ λέγει οὐκ ἀπειρῶν, ἀλλὰ διὰ πεπαιδευμένων τοῖς παροῦσιν.

192. Ἀνστεῖτην.] Ἀναπτήν, ἀνίσχειν, ἀναφέρεσθαι.

195. Ἀπείριτος.] Πολύς. Ἐστεφάνωται.] Κύκλῳ ἐστεφάνωται.

196. Χθαμαλή.] Ταπεινή.

197. Ἔδρακον.] Ἐθεασάμην.

199. Μνησαμένοις.] Ὑπομνησθεῖσιν.

N O T Æ.

190. Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν.) Et hic, οὐκ ἄρ τ' ἴδμεν, ob eandem rationem legerem, & infrà, v. 202. De hoc autem loco videsis *Meric. Casaubon.* De Nuperâ *Homeri* Editione, §. 1. p. 44, &c. quod tamen paulò ante observârat *Spondanus*, in locum, fol. 137. qui & *Strabonem* laudat, quod *Casaubono* dissimulâsse vix erat ingenuum: licet ante utrumque *Eustathius* fol. 1654. lin. 11. *Basil.* Edit. fol. 391. lin. 8. digitum tenderet ad *Strabonem*, l. x.

192. Ἀνστεῖτην.) Pro ἀνατεῖτην, ab ἀνὰ & ἵσμαι, rectè itaque duplicatur τὸ ν'. Ità *Eustath.* fol. 391. lin. 2. Ἀνίσχειν, τοῦτο γάρ ἐστι τὸ ἀνστεῖτην, ἀντὶ τοῦ, ἀνατεῖχειν, ἀναπτῆναι, ἄρχειν, ἀνατέλλειν. Male itaque *Br. Schol. Florentin. Aldin. Lovanian. Suidas*, &c. quicunque ἀνστεῖτην hic legunt.

202. Ἀλλ' οὐ γάρ τις πρῆξις.) Et hic videtur legendum, Ἀλλ' οὐκ ἄρ τις. Vid. supra, ad v. 174. & v. 190. Πρῆξις) Ἄνυσις, *Hesych.*

NOTÆ IN SCHOLIA.

190. Οὐ γάρ τ' ἴδμεν.) Ad explicandum hoc *Scholion* & *Versionem*, paritèr nostram, De Quatuor Mundi plagis, eadem faciunt *Br. Schol.* ad ζ'. v. 1. & Not. in *Schol.* & locum ibi notatum *Strabonis*, Ἐπὶ μὲν δὴ δίχα τὰ τέσσαρα κλίματα τῆς οἰκουμένης τὸ Νότιον μέρος· & *Casaubon.* in dictum *Strabonis* locum. *Eustath.* fol. 391. lin. 10. Τῶν παλαιῶν δὲ, οὐκ ἀπειρίᾳ, διπεπαιδευμένα δὲ, τὰ Ὀδυσσέα ταῦτα λέγειν φασί. Vid. Not. in *Textum* & *Spondan.* in locum.

VARIÆ LECTIONES.

188. Μεῖα πᾶσιν) γρ. μετὰ μοῦθον, *Florent. Lovan. Aldin. Br. Schol. H. Steph.*

191. Εἶσ' ὑπὸ γαῖαν) γρ. εἶσιν ὑπὸ γῆν, *H. Steph.* non benè.

192. Ἀνστεῖτην) γρ. ἀνστῆτον, *Suidas*; vid. Not. in *Textum.*

193. Ἔστιν) γρ. ἔστι.

200. Ἀνδροφάγοιο) γρ. ἀνδροβόρου, & ἀνδροφόνοιο, *H. Steph.*

201. Καὶ δάκρυ χέοντες) γρ. καὶ δακρυχέοντες, *H. Steph.* Vid. infrà, ad v. 409.

202. Οὐ γάρ τις) γρ. οὐκ ἄρ τις, vid. suprà ad v. 174.

Hel-

Ἡείθμεον· ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασα·
Τῶν μὲν ἐγὼν ἦρχον, τῷ δ' Εὐρύλοχος θεοειδὴς.
Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα,
Ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
Βῆ δ' ἰέναι, ἅμα τῷ γε δύω καὶ εἴκοσ' ἑταῖροι
Κλαίοντες· κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπιθεν.
Εὗρον δ' ἐν βήσῃσι τετυγμένα δώματα Κίρκης
Ξεστοῖσι λάεσσι, θεὸς περικαλλέϊ χώρῳ.
Ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι, ἠδὲ λέοντες,
Τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν.
Οὐδ' οἵγ' ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα τοίγε
Οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.
Ὡς δ' ὅταν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
Σαίνωσ'· αἰεὶ γάρ τε φέρει μειλίσματα θυμῷ·

Numerabam; principemque utrisque præbui:
Alterorum ego dux eram, alterorum Eurylochus deo similis.
Sortes vero in galeâ ferreâ concussimus celeriter;
Et exiliit sors magnanimi Eurylochi.
Festinabat igitur ire; unaque cum eo duo & viginti socii
Flentes; & nos reliquerunt lugentes post eos.
Inveniebant itaque in convalle ædificatas ædes Circes
Politis lapidibus conspicuo in loco.
Circa ipsam verò lupi erant montani atque leones,
Quos illa cicuraverat, postquam mala pharmaca dedisset.
Neque illi irruerunt in viros, sed utique ipsi
Caudis longis adblandientes assurgebant:
Quemadmodum quoties dominum canes è convivio proficiscentem
Circumblandiuntur, semper enim adfert lenimenta furoris;

ΣΧΟΛΙΑ.

204. Ὄπασα.] Ἔδωκα.
206. Κυνέῃ.] Περικεφαλαίᾳ. Πάλλομεν.] Ἐσείομεν.
207. Ἔθορεν.] Ἐξεπήδησεν.
210. Ἐν βήσῃσιν.] Ἐν ταῖς περβάσεσι καὶ ὀρεσταῖς κοιλάσιν.
212. Ὀρέστεροι.] Ἄγριοι.
213. Καθέλξεν.] Πράους καὶ ἡμέρους ἐποίησεν.
215. Περισαίνοντες.] Κολακεύοντες.
216. Δαίτηθεν.] Ἀπὸ εὐωχίας.
217. Σαίνωσι.] Κολακεύουσι. Μειλίσματα.] Περὶ ἡδονὴν δωρήματα, ἢ κρέα τινὰ, ἢ τῷ ὀπτᾷ σκυλακίῳ, ὃν φυσδιχόμενοι οἱ κύνες ἐκτηγόρασι.

NOTÆ.

204. Ἡείθμεον· ἀρχὸν δ') Duæ posteriores ε ἠείθμεον Syllabæ, in *Scansione* sunt contrahendæ in unam, quasi ἠείθμειν scriberetur. De quâ re moneo, ad *Iliad.* σ'. v. 493.

205. Κλήρους δ' ἐν κυνέῃ) Hunc morem sortes in galeâ movendi tangit *Homerus*, *Iliad.* γ'. v. 316. ubi de *Paride* & *Menelao* congressuris; item *Iliad.* η'. v. 175. ubi de *Hectore* & *Ajace*, de quâ re etiam *Sophocles*, Ajac. v. 1301. Vid. *Spondan.* in locum fol. 122.

211. Ξεστοῖσι λάεσσι) In multis hactenus, ξεστοῖσι λάεσσιν, ut & mox, v. 215. Οὐρῇσι μακρῇσιν, ubi τὸ λ'. & τὸ μ'. possunt ob vim ectaticam sufficere, infrà tamen, v. 253. ξεστοῖσιν λάεσσιν & olim rectè scriptum, quod & haud rarò in Vetustissimis Codicibus; quare nunc in omnibus, ad vitandam *Tyronum* offensionem & Scriptoris incertitudinem, ità scribendum curavi. Vid. infrà, v. 450.

212. Ἀμφὶ δέ μιν λύκοι ἦσαν) Huc refer *Spondanum*, multis probantem tales fieri mutationes, à fol. 137. ad fol. 139. *inclusivè*. De λυκανθρωπίᾳ, *Camerarius*, Ds. de *Montaigne*, & alii. Vid. *Eustath.* fol. 392. lin. 39. & mox, lin. 43. Εἰπὲ δὴ ἐγκώμια λέοντες οἱ ῥηθέντες καὶ λύκοι, εἰπὲ δὲ ἄλλοθι πόθι μεταπεπλασμένοι, σωφρονοῦντες ὁ Ποιητὴς, ὡς μὴ ἀναγκαῖον ὂν παρεκπεσεῖν ἡμᾶς.

215. Οὐρῇσιν μακρῇσι) Vid. suprà, ad v. 211. Περισαίνοντες) Licet à σαίνω, in *Compositione* tamen, σ'. duplicatur, *Metri* causâ; ut in vocibus ἐύσσελμος, ὑποσσείω, ἐπισσείησιν, *Iliad.* δ'. v. 167. *&c.* ità in ἱππόβοτος, πιλοπόλιννος, παῤῥάλιος, & *Eustathius*, *Henricusque Stephanus* in hoc loco Duplicant σίγμα. Vid. ad π'. v. 4.

NOTÆ IN SCHOLIA.

217. Ad hujus *Scholii* explicationem, & quid sit ὀπτᾷ σκυλακίῳ, facit illud *Pollucis* Onomastic. l. 6. c. 14. Οἱ πάλαι ταῖς καλυμέναις ὀπτᾷ σκυλακίοις ἐχρῶντο, αἳ ἦσαν σὺ τῷ ἄρτῳ μαλακὸν καὶ στεατῶδες, εἰς ὃ ἐμπεψησάμενοι τοῖς κυσὶν αὐτὸ παρέβαλον· ὅθεν καὶ Λακεδαιμόνιοι κυνάδα τὸν ὀπτᾷ σκυλακίῳ καλοῦσιν· ὑπο-

VARIÆ LECTIONES.

204. Ἡείθμεον) γρ. ἠείθμειν, vid. Not. in *Textum*.

211. Ξεστοῖσι λάεσσι) γρ. ξεστοῖσι λάεσσι, vid. Not. in *Textum*.

215. Οὐρῇσιν μακρῇσι) γρ. οὐρῇσι μακρῇσι. *Ibid.* Περισαίνοντες) γρ. περισαίνοντες, vid. Not. in *Textum*.

Ὡς

Ὣς τὼς ἀμφὶ λύκοι κρατερώνυχες, ἠδὲ λέοντες
Σαίνον· τοὶ δ' ἔδδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.
Ἔσαν δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ,
Ἰφὸν ἐποιχομένης μέγαν, ἄμβροτον· οἷα θεάων
Λεπτά τε, καὶ χαρίεντα, καὶ ἀγλαὰ ἔργα πέλονται·
Τοῖσι δ' μύθων ἦρχε Πολίτης, ὄρχαμος ἀνδρῶν,
Ὅς μοι κήδιστος ἑτάρων ἦν, κεδνότατός τε,
Ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν,
Καλὸν ἀοιδιάῃ, δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν,
Ἦ θεὸς, ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.
Ὣς ἄρ' ἐφώνησεν· τοὶ δ' ἐφθέγγοντο καλεῦντες·
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ἀΐξε φαεινὰς,
Καὶ κάλει· οἵδ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
Εὐρύλοχος δ' ὑπέμεινεν, ὀϊσάμενος δόλον εἶναι.
Εἷσεν δ' εἰσαγαγοῦσα κτλ. κλισμούς τε, θρόνους τέ.
Ἐν δέ σφιν τυρόν τε, καὶ ἄλφιτα, καὶ μέλι χλωρὸν,
Οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δ' ὀϊτῳ
Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
Ῥάβδῳ πεπληγυῖα, κτλ. συφεοῖσιν ἐέργνυ.
Οἱ δ' συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, δέμας τὲ,

Sic circa hos lupi fortibus unguibus atque leones
Gestu-blandiebantur: hi verò timuerunt, ut viderunt gravia monstra.
Stabant nihilominùs in januis deæ pulchricomæ:
Circen autem intùs audiebant cantillantem voce pulchrâ,
Telam percurrentem ingentem, divinam, qualia dearum
Subtilia & gratiosa & splendida opera sunt,
Inter hos verba cœpit Polites princeps virorum,
Qui mihi chariſſimus sociorum erat, maximeque venerandus,
" O socii, intus sanè aliqua percurrens ingentem telam
" Pulchrè canit, pavimentum autem totum resonat,
" Aut dea, aut fœmina; quare clamemus ocyus.
Sic sanè dixit; illi verò clamabant vocantes.
Illa continuò egressa januas aperuit pulchras,
Et invitabat: illi unà omnes imprudenter sequebantur:
Eurylochus verò remansit, suspicatus fraudem esse.
Sedere itaque fecit introductos persediliaque, thronosque,
Ipsis interea caseumque & farinam & mel flavum,
Vino Pramnio immiscuit; commiscuitque pani
Venena nocentia, ut prorsus oblivisceerentur patriæ terræ.
Cæterùm postquam porrexitque & ebiberunt, statim deinde
virgulâ percutiens intra haras conclusit.
Illi suum habebant capita, vocesque, corporaque,

ΣΧΟΛΙΑ.

218. Κρατερώνυχες.] Ἰσχυρόποδες.
219. Αἰνά.] Δεινὰ, χαλεπά. Πέλωρα.] Τέρατα, θηρία.
225. Κήδιστος.] Συγγενικώτατος, φερτάτους ἄξιος. Κεδνότατος.] Τιμιώτατος, κηδεμονικώτατος.
227. Ἀοιδιάῃ.] Αἰδῇ. Δάπεδον.] Τὸ ἔδαφος. Ἀμφιμέμυκεν.] Ἠχεῖ, ἀντηχεῖ.
230. Ὤϊξεν.] Ἀνέῳξεν.
231. Αἰδρείῃσι.] Ἀπειρίαις, ἀνοίαις.
232. Ὀϊσάμενος δόλον.] Ἀπὸ τοῦ, μόνῳ ἔοικεν φιλοφρόνως αὐτὰς καλεῖν, καὶ ἀπὸ τῆς ἡμερότητος τῶν θηρίων.

NOTÆ.

234. Ἐν δέ σφιν τυρόν τε, καὶ ἄλφιτα) Habes hujusmodi κυκεῶνα, in *Nestoris* tentorio factum, *Iliad.* λ'. v. 629, &c. quod etiam τυρὸς pro *Placentâ* ponatur, diximus ad ω'. v. 69.

NOTÆ IN SCHOLIA.

ἀλλοῖ δὲ καὶ Ὁμηρος, Ὡς δ' ὅταν ἀμφὶ σάκεσφι, κλ. Vid. *Eustath. Hesych.* & *Suidam*, v. Ἀπομασδαλιᾶ, *Spondanum*, &c.

234. Μίλι χλωρόν.] Νέον.
235. Πραμνείῳ.] Ἔνιοι μὲν τὸν ἐκ Πραμνείας ἀμπέλου γινόμενον οἶνον λέγεται δὲ καὶ Πραμνεία ἄμπελος, ὡς καὶ Θασία· ἔνιοι δὲ πραμνείου τοῦ παντὸς τὸ μέγα, οἷον τοῦ ψυχροῦ εἰς σφαῖραν ἄγριον· οἱ δὲ, ὅτι τὸν οἶνον ἔνιοι καυστικὸν, ἔνιοι δὲ ἡδύν· πινὸς δὲ πραμνείσιοι καὶ παραμύσιμοι εἰς παλαίωσιν, καὶ μὴ μεταβάλλοντες. Ἐκύκα.] Ἔπλει, ἐπίφασιν, ἔμιγνυ, ἀνέδυεν.
236. Λαθοίατο.] Ἐπιλάθωνται.
238. Πεπληγυῖα.] Κρούσασα, πλήξασα. Συφεοῖσι.] Ταῖς τῶν χοίρων μάνδραις. Ἐέργνυ.] Συνέκλεισεν.

VARIÆ LECTIONES.

225. Ὅς μοι κήδιστος ἑτάρων ἦν) γρ. Ὅς μοι ἑταίρων ἦν κήδιστος.

Καὶ τείχας· αὐτὰρ νῆς ἦν ἔμπεδος, ὡς τὸ πάρος πέρ.
Ὣς οἱ μὲν κλαίοντες ἔερχαλο· τοῖσι δὲ Κίρκη
Πάρ ῥ' ἄκυλον, βάλανόν τ' ἔβαλεν, καρπόν τε κραneίης,
Ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν.
Εὐρύλοχος δ' ἂψ ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν,
Ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον.
Οὐδέ π ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ,
Κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
Δακρυόφιν πίμπλαντο, γόον δ' ὠΐετο θυμός.
Ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθ' ἐξερέοντες,
Καὶ τότε τῷ ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον,
Ἤϊομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ·
Εὕρομεν ἐν βήσῃσι τετυγμένα δώματα καλὰ
Ξεστοῖσι λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
Ἔνθά δέ τις μέγαν ἰστὸν ἐποιχομένην λίγ' ἄειδεν,
Ἢ θεὸς, ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,

Et ſetas; cæterùm mens erat firma, ut antea.
Sic hi quidem fientes concluſi ſunt: his autem Circe
Glandem juglandemque appoſuit, fructumque corni arboris,
Edere, perinde ac ſues humi cubantes ſemper edunt.
Eurylochus autem continuo venit celerem ad navem nigram,
Nuncium de ſociis relaturus, & amarum fatum.
Sed neque proloqui quibat verbum, cupidus licet,
Cor dolore ingenti perculſus; ipſius verò oculi
Lacrymis implebantur; luctumque arguebat animus.
Sed cum tandem omnes inſtabamus interroguntes,
Tum aliorum ſociorum commemoravit exitium,
Ivimus, ut juſſeras, per ſylvas, inclyte Ulyſſes,
" Invenimus in vallibus fabricatas ædes pulchras
" Politis lapidibus, conſpicuo in loco.
" Illic quidem magnam telam percurrens eleganter canebat,
" Seu dea, ſeu mulier: hi verò clamabant vocantes.
" Illa continuò egreſſa januam aperuit pulchram,

ΣΧΟΛΙΑ.

240. Αὐτὰρ νῆς ἦν.] Οὐχ ὁ σύμπας, ἀλλὰ ἡ καθ' τὸ φιλάνθρωπον μόνον· διὸ καὶ σαίνουσιν, ὥσπερ αἱ ἀλφῖνες, φιλάνορα ἦ ἐκ ἔλιπον βιοτὰν, καθὰ τ' Πίνδαρον. Ἔμπεδος.] Βέβαιος.

241. Εἴρχατο.] Συγκεκλεισμένοι ἦσαν.

242. Ἄκυλον.] Τὸν τ' πείτε καρπόν. Βάλανον.] Δρυὸς καρπόν. Καρπόν τε κραneίης.] Ὁ τ' κραneίας καρπὸς, πίτυλαξυς λέγει.

243. Χαμαιευνάδες.] Ἐπὶ βόθρε ὀρύσσουσι ἡ κοιμώμενοι.

245. Ἀδευκέα.] Ἀνιαρόν.

247. Κῆρ.] Τῷ ψυχῷ. Βεβολημένος.] Τετρωμένος.

248. Ὠΐετο.] Προσεδόκατο, διενοεῖτο.

249. Ἀγασσάμεθα.] * Ἐμιμψάμεθα. Ἀγαζόμεθα.] Ὀρκιζόμεθα.

251. Ἤϊομεν.] Ἐπορεύθημεν.

NOTÆ.

244. Εὐρύλοχος δ' ἂψ ἦλθε) Omninò hìc, pro αἶψ', legendum ἂψ, nam de *Eurylochi* Reditu loquitur; qui & ipſe poſteà fatetur, non ſe ſtatim rediiſſe, verùm diu ibidem præſtolatum eſſe, ut v. 260. δηρὸν ἧ καθήμενος ἐσκόπιαζον. Quare ἂψ in *Textu* lego, αἶψ', inter *Var. Lect.* aſſervandum pono.

246. Οὐδέ π ἐκφάσθαι δύνατο ἔπος) *Ultima* Ε *δύνατο* producitur, in *Cæſurâ*, τεχνικῶς, ad *Eurylochi* horrorem exprimendum, per *Hiatum* Carminis. Vid. *Chriſtophori Waſii* Senarium, in *Hiatu*.

252. Δώματα καλὰ) Malè in nonnullis, δώμαθ' Κίρκης. Non quod reverà non eſſet *Circæ* domus; at quod illius Nomen nondum potuerit *Eurylocho* innoteſcere, & paulò poſt, 254. Ἔνθά δέ τις, ἢ θεὸς ἠὲ γυνή. Vid. Not. *Fabri* & *Tollii*, ad *Longinum* περὶ ὕψους, §. 19. l. 4. p. 133.

NOTÆ IN SCHOLIA.

Spec. Euſtath. fol. 395. lin. 21. Φασὶ δὲ οἱ Παλαιοὶ, ἐ ὡς ἐκ ὁ σύμπας νῆς τοῖς τοιούτοις θεωρίζει, ἀλλ' ὁ καθ' μόνον τὸ φιλάνθρωπον· διὸ ἐ σαίνουσιν, ὥσπερ αἱ ἀλφῖνες, ἐξ ἀνθρώπων γεύόμενοι, Φιλάνορα ἐκ ἔλιπον βιοτὰν, καθὰ Πίνδαρον.

VARIÆ LECTIONES.

244. Ἂψ) γρ. αἶψ', vid. Not. in *Textum*.

246. Οὐδέ π) γρ. ἐδ' ἔπ, ἐδέπω. *Ibid.* Ἐκφάσθαι) γρ. ἐκφᾶσθαι, & ἔκφασθαι.

249. Ἀγασσάμεθα) γρ. ἀγαζόμεθα, *Br. Schol.*

251. Ἐκέλευες) γρ. ἐκέλευσας, *Suidas*, v. Ἤϊομεν.

252. Δώματα καλὰ) γρ δώμαθ' Κίρκης, vid. Not. in *Textum*.

Καὶ

Καὶ κάλεϕ· οἱ δ' ἅμα πάντες ἀϊδρείησιν ἕποντο·
Αὐτὰρ ἐγὼν ὑπέμϕην, ὄϊσάμην δόλον εἶναι.
Οἱ δ' ἅμ' ἀϊχθήσαν ἀολλέες, ἐδέ τις αὐτῶν
Ἐξεϕάνη· δηρὸν δὲ καθήμην ἐσκοπίαζον.
Ὡς ἔϕαν· αὐτὰρ ἐγὼ ϖερὶ μὲν ξίϕος ἀργυρόηλον
Ὤμοιϊν βαλόμην, μέγα, χάλκεον· ἀμϕὶ δὲ τόξα.
Τὸν δ' αἶψ' ἠνώγεα αὐτὸν ὁδὸν ἡγήσασθαι.
Αὐτὰρ ὅγ' ἀμϕοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων,
Καί μ' ὀλοϕυρόμενον ἔπεα ϖτερόεντα ϖροσηύδα,
Μή μ' ἄγε κεῖσ' ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ' αὐτοῦ·
Οἶδα γάρ, ὡς οὔτ' αὐτὸς ἐλεύσεαι, οὔτε τιν' ἄλλον
Ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοῖσδεσι θᾶσσον
Φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.
Ὡς ἔϕαν· αὐτὰρ ἐγώ μιν ἀμϕίϕρονα ϖροσέειπον,
Εὐρύλοχ', ἦτοι μὲν σὺ μεῖν' αὐτῦ τάδ' ὀΐω,
Ἔδων καὶ πίνων, κοίλῃ ϖαρὰ νηῒ μελαίνῃ·
Αὐτὰρ ἐγὼν εἶμι· κραιπνὴ δέ μοι ἔπλετ' ἀνάγκη.
Ὡς εἰπὼν ϖαρὰ νηὸς ἀνήϊον, ἠδὲ θαλάσσης.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλον, ἰὼν ἱερὰς ἀνὰ βήσας,
Κίρκης ἴξεσθαι ϖολυϕαρμάκου ἐς μέγα δῶμα,
Ἔνθα μοὶ Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν
Ἐρχομένῳ ϖρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικώς,
Πρῶτον ὑπηνήτῃ· τῦϖερ χαριεστάτη ἥβη.
Ἕν τ' ἄρα μοὶ ϕῦ χειρί, ἕπος τ' ἔϕατ', ἔκ τ' ὀνόμαζε,

" Et invitabat; Hi simul omnes illam imperitiâ sequebantur:
" Cæterùm ego subsiliti, existimans dolum esse.
" Illi igitur simul evanuerunt confertim, neque quisquam eorum
" Apparuit: diù autem desidens animadvertebam.
Sic ait, cæterùm ego quidem gladium argenteis clavis confixum
Humeris circumjeci ingentem, ferreum, arcumque similitér.
Illumque continuò jussi eandem viam monstrare.
Cæterùm ille utrâque prehensis procabatur genibus,
Et me lugens verbis alatis alloquebatur:
" Ne me duc illuc invitum, ò genarose, sed relinquas hîc:
" Novi enim, quòd neque ipse redibis, neque quenquam aliorum
" Abduces tuorum sociorum: sed cum hisce ocyus
" Fugiamus: adhuc enim forsan effugere poterimus malùm fatum.
Sic ait, cæterùm ego ipsum excipiens alloquebar,
" Euryloche, ideò quidem tu mane hic, hoc in loco,
" Edens & bibens, cavam apud navem nigram;
" Cæterùm ego vadam: ingens enim mihi adest necessitas.
Sic fatus ab nave ego ascendebam, atque mari:
Sed cùm jamjam, pergens sacras per valles,
Circes accedebam veneficæ ad magnam domum,
Ibi mihi Mercurius aureâ virgulâ obviam-venit
Incedenti ad domum, adolescenti viro simillis,
Primùm pubescenti; cujus gratiosissima est pubertas.
Manuique mihi inhæsit, verbumque dixit & proloquutus est,

ΣΧΟΛΙΑ.

259. Ἀϊσθήσαν.] Ἠφανίσθησαν.
260. Ἐσκοπίαζον.] Κατεσκόπευν.
266. Ἄγε.] Ἄπαγε. Λίπ.] Κατέλιπεν.
267. Ἐλεύσεαι.] Ἐλεύσῃ.
268. Ἄξεις.] Κομίσεις.
269. Ἀλύξαιμεν.] Ἐκφύγοιμεν.
272. Ἔδων.] Ἐδώδιμον.
273. Εἶμι.] Πορεύομαι. Κραπνή.] Ἰσχυρά.
275. Ἱερὰς ἀνὰ βήσας.] Τὰς ἁγιβήτους.
277. Χρυσόῤῥαπις.] Χρυσῆν ῥάβδον ἔχων. Ἀντεβόλησεν.] Συνέτυχεν.
278. Νεηνίῃ.] Νεωτέρῳ.
279. Πρῶτον ὑπηνήτῃ.] Ἄρτι * γενειῶντι. Ὑπηνήτης δέ ἐστι, τὸ ἐπάνω χείλους, ἀφ' ἧς πρῶτον γενειᾶται γνῆς, ὅ ἐστιν, ἡ πρώτη τοῦ γενείου ἔκφυσις. Ἥβη.] Ἀκμὴ, ἡλικία.

NOTÆ.

263. Τόνδ' αἶψ' ἠνώγεα) Et hìc suspicor legendum ἆψ, pro αἶψ', ob easdem rationes, quas suprà, ad v. 244. ut sit, Ἐγὼ ἤτοιν ἠνώγειν ἆψ ἡγήσασθαι αὐτῷ ὁδόν· Οὐ γὰρ αἶψ' ἠνώγει τοῦτο ποιεῖν· ἄπαλιστρος γὰρ πρότερον, ϵ ὡς εἰκὸς, ἐνεθυμεῖτο. Judicent *Docti*.

264. Ἐλλίσσετο) In hujusmodi vocibus Duplicabant *Liquidam* Veteres Codices, ut infrà, v. 481. ἐλλιλίσσουσα, & suprà, v. 215.

269. Φεύγωμεν) *Ultima* producitur, in *Cæsurâ*, vi *Finalis*, ante *Punctum*, & ob *Acutum* sequentem.

VARIÆ LECTIONES.

263. Τόνδ' ἆψ') γρ. τόνδ' αἶψ', vid. suprà, ad v. 244. *Ibid.* Ἠνώγεα) γρ. ἠνώγειν & ἠνώγαν.

264. Ἐλλίσσετο) γρ. ἐλίσσετο, vid. Not. in *Textum*.

Πῆ δ' αὖτως, δύστηνε, δι' ἄκεας ἔρχεαι οἶος,
Χώρου ἄϊδρις ἐών; ἕταροι δέ τοι οἶδ' ἐνὶ Κίρκης
Ἐρχαῖ', ὥστε σύες πυκινὺς κευθμῶνας ἔχοντες.
Ἦ τοὺς λυσόμενος δεῦρ' ἔρχεαι; οὐδέ σε φημὶ
Αὐτὸν νοστήσειν, μενέεις δ' σὺ, ἔνθα πὲρ ἄλλοι.
Ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι, ἠδὲ σαώσω·
Τῆ τόδε Φάρμακον ἐσθλὸν, ἔχων δ' ἐς δώματα Κίρκης
Ἔρχευ, ὅ κέν τοι κεφαλὸς ἀλαλκήσῃ κακὸν ἦμαρ.
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης·
Τεύξῃ τοὶ κυκεῶ, βαλέῃ δ' ἐνὶ Φάρμακα σίτῳ·
Ἀλλ' οὐδ' ὡς θέλξαι σὲ δυνήσετ'· ὐ γὰρ ἐάσει
Φάρμακον ἐσθλὸν, ὅ τοι δώσω· ἐρέω δ' ἕκαστα·
Ὁππότε κέν Κίρκη σ' ἐλάσῃ τανυσιμήκεϊ ῥάβδῳ,
Δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Κίρκῃ ἐπαΐξαι, ὥστε κταμένην μνησαίνων.
Ἡ δέ σ' ὑποδδείσασα κελήσετ' εὐνηθῆναι·
Ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι θεῦ εὐνὴν,
Ὄφρα κέ τοι λύσῃ θ' ἑτάρους, αὐτόν τε κομίσῃ·
Ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,

" Quorsum, ô infelix, per tesqua incedis solus,
" Locorum ignarus? socii autem tibi illi in Circes *ædibus*
" Clauduntur, ut sues densa latibula inhabitantes.
" An hos liberaturus huc venis? neque te puto
" Ipsum redituram esse: manebis verò tu, ubi utique alii.
" Sed agè jam te ex malis solvam, atque servabo;
" Accipe hoc remedium bonum, habensque ad ædes Circes;
" Vade, quod sane à capite avertet malum diem.
" Omnia etiam tibi dicam pernicioſa consilia Circes.
" Apparabit tibi cinnum, mittet verò venena in panem:
" Sed neque sic incantare te poterit; non enim permittet
" Remedium eximium, quod tibi dabo: dicam verò singula.
" Quando Circe te percutiet prælongâ virgâ,
" Tum sanè tu gladio acuto extracto à fœmore,
" In Circen irrue, perinde atque interficere cupiens.
" Illa te subtimescens invitabit ad concubitum;
" Ibi tu neutiquam deinde abnega dez cubile,
" Ut tibi solvatque socios, *te* que ipsum benignè excipiat:
" Sed jube ipsam beatorum magnum juramentum jurare,

ΣΧΟΛΙΑ.

281. Αὖτως.] Ἔνιοι, αὖτ' ὦ. Δι' ἄκεας.] Ἀκέας ἔχοντας τόπους, τυτθὶ πεφυκότας καὶ ὑλώδεις.
282. Ἄϊδρις.] Ἄπειρος.
283. Ἐρχαῖ'.] Συγκεκλεικέναι. Σύες.] Χοῖροι. Πυκινὺς.] Πυκνὰς, σωρευτικὰς. Κευθμῶνας.] Νῦν τὰς τόπους, ὅπου κρύπτουσι, καὶ συγκεκλεισμένοι εἰσίν.
286. Ἐκλύσομαι.] Ἐλευθερώσομαι, λυτρώσομαι. Σαώσω.] Σώσω.
288. Ἀλαλκήσῃ.] Βοηθήσῃ.
289. Ὀλοφώϊα.] Ὀλέθρια. Δήνεα.] Βουλεύματα.
290. Τεύξῃ.] Καθασκευάσῃ.] Κυκεῶ.] Κυκεῶνα καὶ δεῖπνον. Κυκεὼν ἡ λέγει τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ ὕδατος καὶ τυροῦ ἀναμεμιγμένον πόμα.
291. Θέλξαι.] Κακῶσαι, * τὸν νοῦν ἀλλοιῶσαι.
293. Ἐλάσῃ.] Τύψῃ, κρούσῃ.
296. Ὑποδδείσασα.] Φοβηθεῖσα.
297. Ἀπανήνασθαι.] Ἀπαρνήσασθαι, αὐτὶ τοῦ ἀπαρνήσῃ.
298. Κομίσῃ.] Κομιδῆς καὶ ἐπιμελείας ἀξιώσῃ.
299. Κέλεσθ.] Κελεῦσαι, αὐτὶ τοῦ κέλσῃ.

NOTÆ.

290. Τεύξῃ τοὶ κυκεῶ) Non *Dandi*, sed *Accusandi* casu, pro κυκεῶνα, per *Apocopen*; ut Ἀπόλλω, pro Ἀπόλλωνα· ἱδρῶ, *Iliad.* χ'. v. 2. pro ἱδρῶτα· ἰχῶ, pro ἰχῶρα. De Cinno, sive Κυκεῶνι, *Eustath. Etymolog. M. Br. Schol. Turneb.* Adversar. l. 12. c. 8. fol. 386.

291. Ἐάσῃ) Ità, pro ἐάσῃ, ob *Metrum*, ut aliàs.

296. Κελήσετ') A κέλω, κέλομαι, κελήσομαι· ut ἀ θέλω, μέλω, θελήσω, μελήσω. Alii legunt κεκλήσετ', ut *Seberus* in *Indice*, & καλήσετ' vel καλέσετ' aut καλέσετ'.

NOTÆ IN SCHOLIA.

291. * Τὸν νῦν ἀλλοιῶσαι) Ità, pro τὸ νῦν ἀλλοιῶσαι, ex *Aloysii* MSto.

VARIÆ LECTIONES.

281. Πῆ δ' αὖτως, δύστηνε) γρ. πῆ δ' αὖτ', ὦ δύστηνε, *Br. Schol. H. Steph.*

287. Τῆ — ἔχων δ' ἐς) γρ. τῆ — ἔχων ἐς, *Eustath.* fol. 396. lin. 43.

288. Ἀλαλκήσῃ) γρ. ἀλάλκησιν, *Aldin.* & ἀπαλάλκησιν, *H. Steph.* expositio potius, quam *Var. Lect.*

291. Ἐάσῃ) γρ. ἐάσῃ, vid. Not. in *Textum*.

296. Κελήσεται) γρ. κεκλήσεται, &c. vid. in *Textum*.

298. Κομίσῃ) γρ. κομισῃ, vid. supra, ad v. 291.

Μὴ

Μή τί τοι αὐτῷ πῆμα κακὸν βεβλυσέμεν ἄλλο,
Μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείη.
Ὡς ἄρα φωνήσας πόρε φάρμακον Ἀργεϊφόντης,
Ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτῆς ἔδειξεν.
Ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·
Μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
Ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Νῆσον ἀν' ὑλήεσσαν· ἐγὼ δ' ἐς δώματα Κίρκης
Ἤια· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Ἔστην δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Ἔνθα στὰς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
Ἣ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
Καὶ κάλει· αὐτὰρ ἐγὼν ἑπόμην, ἀκαχήμενος ἦτορ.
Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δ' ἰκρία ποσὶν ἦεν.

" Nè ullum tibiipſi detrimentum malum paret aliud,
" Nè te nudatum imbellem & invirilem fac.at,
Sic utique loquutus præbuit remedium Mercurius,
Ex terrâ evulſum, & mihi naturam ejus commonſtravit.
Radice quidem nigrum erat, lacti autem ſimile flore;
Et Moly ipſum vocant Dii; difficile vero effoſſu
Viris utique mortalibus; dii autem omnia poſſunt.
Mercurius quidem tum diſceſſit ad magnum Olympum,
Inſulam per ſylvoſam; ego autem ad domum Circes
Ibam; multaque mihi cor cogitabat eunti.
Conſtiti itaque in portis dex pulchricomæ;
Ibi ſtans vocavi; dea autem meam exaudivit vocem.
Illa ſtatim egreſſa januas aperuit ſplendidas,
Et invitabat; cæterùm ego ſequutus fum, triſtatus corde.
Collocavit igitur me introductum in throno argenteis-clavis,
Pulchro, fabrefacto; ſcabellum verò ſub pedibus erat.

ΣΧΟΛΙΑ.

301. Ἀπογυμνωθέντα.] Τὸ ξίφος ἀποθέμενον. Ἀνήνορα.] Ἄνανδρον. Θείη.] Ποιήσῃ.
303. Ἐρύσας.] Ἑλκύσας. Φύσιν.] Νῦν τὸ εἶδος.
305. Μῶλυ.] Βοτάνης εἶδος, παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα· φασὶ δὲ, τοῦτο ἑλκόμενον τῆς ῥίζης, τῇ τέχνῃ βάπτειν ἐπιφέρειν τὴν ἀπατῶσαν. Χαλεπὸν.] Μοχθηρὸν, δυσχερές.
309. Πόρφυρε.] Διενοεῖτο.

NOTÆ.

305. Μῶλυ δέ μιν καλέουσι θεοί) De herba *Moly*, quòd *Eruditionem* & *Doctrinam* ſignificet, vide *Euſtath.* fol. 397. lin. 8. Ἡ δὲ Ἀλληγορία οὐ τύτοις, Ἑρμῆν μὲ οἶδε συνήθως, τὸν λόγον· Μῶλυ δὲ, τὴν παιδείαν, ὡς οὐ μώλυ, τυτέστι κακοπαθείας, ἀφειμενομένων· ἔστι Μώλυ ἡ μὲ ῥίζα μέλαινα, διὰ τὸ οἷον σκοτεινὸν καὶ δυσεύρετον τῆς τέχνης τὸν εὐαρχομένων τὰ παιδεία, καὶ διὰ τῦτο δυσεξάλυκτον, καὶ οἱονεὶ ἡδύ κλ. Ità *Theocritus*, Idyll. 9. v. 35. ——— ἐμοὶ Μῶσαι φίλαι· ἧς καὶ ὀρῶσαι Γαλῆται, τὰς οὔτε ποτὶ δαλήσασθε Κίρκη, quod nec *Euſtathium* fugit, Ὅτι δὲ εἰς ἀλογίαν πνὰ ἡ Κίρκη ἀλληγορεῖται, δηλοῖ φανερῶς καὶ ὁ γεφύρας, ὅτι δὲς ἐ σωσόντων αἱ Μῶσαι, τύτες ποτὶ δηλήσασθε Κίρκη. Quin *Eloquentiam*, per *Moly* denotatam credas, παρὰ λόγιε Ἑρμῆ nempè traditam. Tum ſanè facile referas ad *Hebraicum* MALAL, *Verba-fecit, locutus eſt.* Hæc Deorum Lingua: Et *Homerum* Vocis *Hebræa*, Rituumque, expertiſſimum agnoſcunt Plurimi. Et huic ſententiæ favet *Philoſtratus* in *Heroicis*, fol. 637. Ὀδυσεῖ μὲ γὰρ, ὁπότε πόρρω τῆς τε νεὼς ἤλυθεν, εὑτυχὼν ὁ Ἑρμῆς, ἤ πις τῶν παρὰ τῦ Ἑρμῆ σοφῶν εἰς κοινωνίαν λόγυ τὸν ἀπορρήτων ἀφίκετο· τυτὶ γὰρ ἡμῖν αἰσθητὴν τὸ Μῶλυ. Vid. *Photii* Biblioth. fol. 482. *Duport.* Gnomolog. *Homeric. Natal. Comit.* Mythолog. l. 6. c. 6. p. 572. *Anthолog.* fol. 103. Τὴν Κίρκην φησὶ, καθὼς εἴρηκεν Ὅμηρος, &c. *Caius*, De Antiqu. *Cantabr.* Academ. l. 1. p. 198. *Mel* recuſat, propter *Apes*, & *Moly* florem lacteum, propter Radicem nigram; hoc eſt, Animi tranquillitatem, Virtutis abſolutæ præmium, propter *Laboris* levem moleſtiam; ut *Homerus* innuit. *Plinius Cynocephaleam* putat, vel Oſiritin, l. 30. quem vid. etiam, l. 25. c. 4. Item *Ptolem. Hephaſtion*, l. 4. collat. cum *Scholiis* Lycophron. v. 679. —ἀκμὰ νιν βλάβης Μῶλυ κραιάσῃ ῥίζα. Vid. in Not. ad *Scholia*. *Maximus Tyrius*, §. 19. quid ſit Μῶλυ, explicat.

SCHOLIA.

305. Μῶλυ) Hoc *Scholion* etiam alludit & laudat *Euſtath.* fol. 397. lin. 30. Φασὶ δὲ οἱ Παλαιοὶ καὶ Μῶλυ λέγεσθαι, παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα. *Ptolemæus Hephaſtion*, l. 4. Περὶ δὲ παρ' Ὁμήρῳ Μώλυος, τῦ βοτάνης, ἣν ὁ δὲ αἱμαίου, δὲ ἀναιρεθέντος, ἐν τῇ Κίρκης νήσῳ, γίγαντος, λέγυσι φῦναι ἢ καὶ ἄνθος ἔχειν λευκόν· ὅτι ὁ συμμαχῶν τῇ Κίρκῃ καὶ ἀνελῶν τὸν γίγαντα, ὁ Ἥλιος ἦν, μῶλος δὲ, ἡ μάχη· ἐξ ἧς καὶ ἡ βοτάνη. Vid. Not. in *Textum*.

Τεῦξε δέ μοι κυκεῶ χρυσέῳ δέπα, ὄφρα πίοιμι·
Ἐν δέ τε Φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξεν,
Ῥάβδῳ πεπληγυῖα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξαι ἑταίρων.
Ὡς φάτ'· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Κίρκη ἐπήϊξα, ὥστε κεχάμψαι μενεαίνων.
Ἡ δ' ὑπέδραμε, καὶ λάβε γούνων,
Καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Θαυμά μ' ἔχει, ὡς οὔπω τάδε Φάρμακ' ἐπέλαθες.
Οὐδέ γὰρ ὅδε τις ἄλλος ἀνὴρ τάδε Φάρμακ' ἀνέτλη,
Ὅς κε πίῃ, καὶ πρῶτον ἀμείψῃ ἕρκος ὀδόντων.
Σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
Ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
Φάσκεν ἐλεύσεσθαι χρυσόῤῥαπις Ἀργειφόντης,
Ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηὶ μελαίνῃ;
Ἀλλ' ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶϊ δ' ἔπειτα

Adornavitque mihi cinnum aureo poculo, ut biberem,
Intuſque pharmacum miſit, mala meditans in animo.
Cæterùm poſtquam dedit & ebibi, neque me domuit,
Virgulâ feriens, verbumque dixit & proloquuta eſt,
" Abi nunc in haram, cum aliis cuba ſociis.
Sic ait, ego verò gladio acuto ſtricto à fœmore
In Circen irrui, tanquam occidere moliens:
Illa verò magnum exclamans ſubtercurrit & prendit genua,
Et mihi plorabunda verba volatilia dixit,
" Quis? cujas es hominum? ubi tibi urbs atque parentes?
" Stupor me tenet, quod nè bibens hæc venena mutatus es.
" Minimè enim quiſque alius vir hæc venena ſuſtinuit,
" Quicunque hauſerit, & primùm tranſmiſerit ſeptum dentium.
" Tibi verò quædam in pectoribus impermulcibilis mens eſt.
" Nimirum tu Ulyſſes es verſutus, quem mihi ſemper
" Prædixit venturum aureâ-virgâ utens Mercurius,
" Ex Trojâ reverſum celeri cum nave nigrâ?
" Sed agè nunc in vaginam gladium pone: & nos deinde

ΣΧΟΛΙΑ.

318. Ἔθελξεν.] Ἠλλοίωσεν.

320. Συφεόνδε.] Εἰς τὸν τῶν χοίρων μάνδραν. Λέξαι.] Κοιμηθῆναι, ἢ ἀρεσθῆναι.

322. Ἐπήϊξα.] Ἐφώρμησα.

323. Μέζα ἰάχουσα.] Διὰ τὸ φοβεῖσθαι τὸν θάνατον, ἢ διὰ πόθον.

326. Ἐθέλχθης.] Ἠλλοιώθης.

327. Ἀνέτλη.] Ὑπέμεινεν.

328. Ἀμείψῃ.] Παρέλθῃ.

329. Ἀκήλητος.] * Ἀθελκτος, ἀκατάσχετος, ἀπαραπότητος.

331. Φάσκεν.] Ἔλεγεν.

333. Θέο.] Ἀπόθες, ἔμβαλε.

NOTÆ.

316. Τεῦξε δέ μοι κυκεῶ) Qui κυκεῖ ſcribunt, malè ad χρυσέῳ referunt, quod cum δέπαϊ congruit, pro quo δέπα', vel δέπᾳ, ut hìc ſcribi poſſit, quomodò, Odyſſ. λ'. v. 135. γήρᾳ, & ψ'. v. 283. poteſt & δέπαϊ, ſine *Diæreſi*, aut *Subjunctione*, ἀρχαϊκῶς legi. Vid ſuprà, ad v. 290. De voce κυκεῶ.

320. Λέξαι) Olim in *Euſtath.* fol. 399. lin. 1. παρεκβολαῖς, & in *Textu*, λέξαι, ut & in *Florentinâ*; à quibus malè deſciverunt *Lovaniana Reſcii*, *Aldina*, & *H. Stephanus*, λέξον legentes. *Schol. Aldina*, λέξω) κοιμηθῶ, ἢ ἀρεσθῆναι, quæ verto, in λέξον) κοιμηθῆναι, ἢ ἀρεσθῆναι, quod iſtius ſint Modi. Λέξαι

NOTÆ IN SCHOLIA.

320. Λέξο) Vid. Not. in *Textum*.

329. * Ἀθελκτος) Ita, pro *Corrupto* ἀθελκτος, ex *Aloyſii* MSto.

VARIÆ LECTIONES.

316. Δέπα') χρ. δέπαϊ, δέπᾳ, δέπαι, vid Not. in *Textum*.

320. Λέξαι) χρ. λέξον, λέξο, *Br. Schol.* &c. vid. ad *Textum*.

Εὐνῆς ἡμετέρης ὑπιδήσομεν, ὄφρα μιγέντε
Εὐνῇ καὶ φιλότητι, πεποίθομεν ἀλλήλοισιν.
Ὣς ἔφαθ', αὐτὰρ ἐγὼ μὲν ἀμειβόμενος προσέειπον,
Ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοὶ ἤπιον εἶναι;
Ἦ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους·
Αὐτὸν δ' ἐνθάδ' ἔχουσα, δολοφρονέουσα κελεύεις
Ἐς θάλαμόν τ' ἰέναι, καὶ σῆς ὑπιδύμεναι εὐνῆς,
Ὄφρα με γυμνωθέντα, κακὸν καὶ ἀνήνορα θείης;
Οὐδ' ἂν ἔγωγ' ἐθέλοιμι τεῆς ὑπιδύμεναι εὐνῆς,
Εἰ μή μοι τλαίης γε, θεὰ, μέγαν ὅρκον ὀμόσσαι,
Μήτι μοὶ αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀπώμνυεν, ὡς ἐκέλευον.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τ' ὅρκον,
Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβαν εὐπλοκάμοιο.
Ἀμφίπολοι δ' ἄρα κεδνὰι ἐνὶ μεγάροισι πένοντο
Τέσσαρες, αἵ οἱ δῶμα κάτα δρήστειραι ἔασι.
Γίνονται δ' ἄρα ταί γ' ἔκ τε κρηνέων, ἀπό τ' ἀλσέων,
Ἔκ θ' ἱερῶν ποταμῶν, οἵτ' εἰς ἅλαδε προρέουσι.
Τάων ἡ μὲν ἔβαλλε θρόνοις ἔνι ῥήγεα καλὰ,

" Lectulum noſtrum conſcendamus, ut commixti
" In lecto & amicitiâ confidamus invicem.
Sic ait, cæterùm ego ipſam excipiens alloquebar,
" O Circe, quo pacto me jubes tibi manſuetum eſſe,
" Quæ mihi ſues quidem feciſti in domibus ſocios;
" Ipſum autem hîc detinens dolos agitans jubes
" In thalamumque ire, & tuum conſcendere cubile,
" Ut me nudatum, inutilem & effæminatum facias?
" Non ſanè ego volo tuum conſcendere lectum,
" Niſi mihi ſuſtineas, dea, magnum juramentum jurare,
" Ne ullum mihi detrimentum malum machineris aliud.
Sic dicebam; illa continuò juravit, ut juſſi.
Cæterùm poſtquam juravit & perfecit jusjurandum,
Tum ego Circes conſcendi pulchrum lectum.
Ancillæ autem interea quidem intra domum ſategebant
Quatuor, quæ ei domi adminiſtræ erant.
Natæ verò hæ erant ex fontibus & à ſylvis,
Et ex ſacris fluminibus, quæ ad mare profluunt:
Harum una quidem injecit thronis ſtragula pulchra,

ΣΧΟΛΙΑ.

335. Πεποίθομεν.] Πιστεύσαμεν, θαῤῥήσαμεν.
337. Κέλῃ.] Κελεύεις.
340. Ἰέναι.] Εἰσιέναι.
341. Γυμνωθέντα.] Τὸ ξίφος ἀποθέμενον. Ἀνήνορα.] Ἄνανδρον. Θείης.] Ποιήσῃς.
348. Πένοντο.] Ἐνήργουν.
349. Δρήστειραι.] Ὑπηρέτιδες, διάκονοι.
350. Γίνονται δ' ἄρα ταί γ'.] Ὑφίστανται νύμφαι πηγὰς ἐξ ὕδατος· τινὲς δὲ, ὑπερβατόν, Ἡ δὲ πρώτη ὕδωρ ἐφόρει ἔκ τε κρηνῶν. οἱ δὲ ἀλληγορῦσι, Κίρκην μὲ λέγοντες, τὴν σειρὴν, τέσσαρας δὲ θεραπαινίδας, τὰς ὥρας· Ἔκ τε κρηνέων, ἀπό τ' ἀλσέων.] Ἐνθα αἱ Ναΐδες νύμφαι, καὶ αἱ Δρυάδες.
352. Ἔβαλλεν.] Ἐπιτίθει.

NOTÆ.

335. Εὐνῇ καὶ φιλότητι πεποίθομεν) Vid. ſuprà, ad v. 328.
337. Ὦ Κίρκη, πῶς γάρ με) Vid. ſuprà, ad v. 202.
347. Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβαν εὐπλοκάμοιο) Nequis *Ulyſſem* temerè à Poetâ factum putet, nunc Continentem, nunc Incontinentem, Notandum, *Circen* filiam *Solis*, cæleſtem Influxum innuere, qui *Græcos* reliquos ad Voluptates incitaret, quibus & illi ultrò ſuccumbebant. At huic *Ulyſſes* ſe oppoſuit ſtrenuè, nec eodem ſe poculo faſcinari paſſus eſt. Hunc igitur ſuis amoribus excipit; quòd Sapiens Cæleſti Influxui Dominetur & recta innuenti etiam lubens obſequatur, juxtà illud, Sapiens dominabitur Aſtris.
349. Ἀμφίπολοι δ' ἄρα κεδναὶ ἐνὶ μεγάροισι πένοντο τέσσαρες) *Apertè* hìc ſe *Mythologum* prodit eſſe *Homerus*. *Circe*, Annum ſonat, quo nempe ſpatio apud eam *Ulyſſes* eſt detentus: Famularum *Prima*, Ver; *Secunda*, Æſtatem; *Tertia*, Autumnum; *Quarta*, Hyemem ſignificat; de quâ re *Euſtathius* adeundus, fol. 400. lin. 43. Τινὲς δὲ γε τῶν Παλαιῶν, ἀσυμβιβάστως μὲ τοῦ πλάτους ἀλληγορίας, ὅμως ὑπενόησαν, Ἐνιαυτὸν μὲν, Κίρκην· τὰς δὲ ἐντεῦθεν τέσσαρας αὐτῆς ἀμφιπόλους, τὰς Τέσσαρας Ὥρας, κλ. Vid. *Brevia Scholia*, ad v. 350. item ſuprà, ad v. 1. & v. 5.

VARIÆ LECTIONES.

337. Πῶς γάρ με) γρ. πῶς κ' ἄρ με, vid. ad *Textum*.
352. Θρόνοις ἔνι) γρ. θρόνοις ἐνί.

Πορφύ-

Πορφύρεα καθύπερθε, ὑπένερθε δὲ λῖθ' ὑπέβαλλεν·
Ἡ δ' ἑτέρη παρέθηκε θρόνων ἐπὶ παντὶ τραπέζας
Ἀργυρέας, ἐπὶ δὲ σφι πίθη χρύσεα κάνεα·
Ἡ δὲ τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκίρνα
Ἡδὺν ἐν ἀργυρέῳ, νέμε δὲ χρύσεα κύπελλα·
Ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει, καὶ πῦρ ἀνέκαιε
Πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
Αὐτὰρ ἐπεὶ ζέσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Ἐς ῥ' ἀσάμινθον ἔσασα, λό' ἐκ τρίποδος μεγάλοιο,
Θυμῆρες κεράσασα κατ' κρατός τε καὶ ὤμων,
Ὄφρα μοὶ ἐκ καμάτου θυμοφθόρον εἵλετο γυῖων,
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν, ἠδὲ χιτῶνα·
Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρηνυς ποσὶν ἦεν.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθ'· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Ἐσθέμεναι δ' ἐκέλευεν· ἐμοὶ δ' οὐκ ἤνδανε θυμῷ·
Ἀλλ' ἦμαι ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός·
Κίρκη δ' ὡς ἐνόησεν ἐμ' ἥμενον, οὐδ' ἐπὶ σίτῳ
Χεῖρας ἰάλλοντα, φυγερὸν δέ με πένθος ἔχοντα,
Αὐχι παριστάμενη ἔπεα πτερόεντα προσηύδα,
Τίφθ' οὕτως, Ὀδυσεῦ, καθ' ἄρ' ἕζεαι ἶσος ἀναύδῳ,
Θυμὸν ἔδων; βρώμης δ' οὐκ ἅπτεαι, οὐδὲ ποτῆτος;
Ἦ πού πού δόλον ἄλλον ὀΐεαι; οὐδ' ἔπι σε χρὴ

Purpurea supernè, infernè lintea tenuia subjecit;
Altera verò ante thoros extendit mensas
Argenteas, & iis imposuit aureas lances.
Tertia quoque in cratere mellifluum vinum miscebat
Dulce argenteo, distribuitque aurata pocula.
Quarta verò aquam ferebat, & succendit ignem
Magnum sub tripode magno, calefiebatque aqua.
Cæterùm postquam efferbuit aqua in splendido aheno,
In labrum me collocatum lavit ex tripode magno,
Suaviter fusa *agnâ* per caputque & humeros,
Donec mihi laborem animum rodentem demeret membris.
Porro postquam lavit & unxit pingui oleo,
Chlænam mihi pulchram circum induit, atque tunicam;
Collocavitque me introductum ad thronum argenteum
Pulchrum, fabrefactum; scabellum verò sub pedibus erat.
Aquam præterea ancilla gutturnio perfundebat ferens,
Pulchro, aurato super argenteo lebete,
Ad lavandum, juxtaque politam extendit mensam;
Panem verò veneranda proma apposuit ferens,
Eduliis multis appositis, gratificata ex præsentibus,
Edereque jussit; meo autem non placuit animo;
Sed sedebam alia cogitans, malaque præsagiebat animus:
Circe verò ut vidit me sedentem, neque ad cibum
Manum extendentem, gravemque me dolorem habentem,
Propè astans verba volatilia dixit,
" Quid sic, Ulysses, sedes similis muto
" Animum macerans? cibumque non attingis, neque potum?
" An aliquem dolum alium times?
Non amplius te oportet

Σ Χ Ο Λ Ι Α.

353. Λῖθ'.] Ἀπλᾶ περιβόλαια.
354. Ἐπίταινε.] Ἔτεινεν, εἶλκεν.
355. Κάνεα.] Κανίσκια.
357. Νέμε.] Διεδίδου.
359. Ἰαίνετο.] Ἐθερμαίνετο.
360. Ἤνοπι.] Διαυγεῖ, ἐν ᾧ ἐστιν ἰδεῖν αὐτόν.
361. Ἀσάμινθον.] Τὸν πύελον, ἤτοι λουτῆρα, παρὰ τὸν ἄσιν μινύθειν. Ἔσασα.] Καθίσασα, ἐμβιβάσασα.
Λόε.] Ἔλουε.
362. Θυμῆρες.] Καθάρμιον, ἡδύ.
363. Θυμοφθόρον.] Τὸν ψυχὴν ἀφθείροντα.
374. Ἀλλοφρονέων.] Ἄλλα σὺν οἰῶν, ἄλλα διανοούμενος. Ὄσσετο.] Προσεώρα.
376. Ἰάλλοντα.] Ἐπιβάλλοντα.
378. Κατ' ἄρ' ἕζεαι.] Καθήζῃ. Ἀναύδῳ.] Ἀφώνῳ.
379. Ποτῆτος.] Ποτοῦ.

N O T Æ.

362. Θυμῆρες) Vid. ad *Euripid.* Ion. v. 1154. & ad *Iliad.* ι'. v. 336.

Δεῦτ'

Δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρὶ ἐρὸν ὅρκον.
Ὣς ἔφαν· αὐτὰρ ἐγὼ μιν ἀμοιβόμενος προσέειπον,
Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
Πρὶν τλαίη πάσασθαι ἐδητύος, ἠδὲ ποτῆτος,
Πρὶν λύσαθ' ἑτάρους καὶ ἐνὶ ὀφθαλμοῖσιν ἰδέσθαι;
Ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν, φαγέμεν τε κελεύεις,
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω ἑτέρους ἑταίρους.
Ὣς ἐφάμην· Κίρκη δ' ἰοῦσ' ἀπὸ μεγάροιο βεβήκει,
Ῥάβδον ἔχουσ' ἐν χερί, θύρας δ' ἀνέῳξε συφειοῦ·
Ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
Οἱ μὲν ἔπειτ' ἔσταν ἀντίοι· ἡ δὲ διὰ αὐτῶν
Ἐρχομένη προσάλφεν ἑκάστῳ φάρμακον ἄλλο.
Τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσε
Φάρμακον ὀλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
Ἄνδρες δ' αἶψ' ἐγένοντο νεώτεροι, ἢ πάρος ἦσαν,
Καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι·
Ἔγνωσαν δέ με κεῖνοι, ἔφυν τ' ἐν χερσὶν ἕκαστος.
Πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
Σμερδαλέον κονάβιζε· θεὰ δ' ἐλέαιρε καὶ αὐτή.
Ἡ δέ μοι ἄγχι στᾶσα προσηύδα δῖα θεάων,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ δῖαν θάλασσαν·
Νῆα μὲν ἀρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
Κτήματα δ' ἐν σπήεσι πελάσσατε, ὅπλα τε πάντα·

" Timere: jam enim juravi forte juramentum.
Sic ait, cæterùm ego ipsam excipiens dixi,
" O Circe, quis etenim vir, qui æquus & justus sit,
" Prius audeat gustare cibum, atque potum,
" Antequam redemerit socios & in oculis viderit?
" Sed si jam benigna bibere, edereque jubes,
" Solve; ut palàm videam dilectos socios.
Sic dicebam. Circe itaque ex ædibus ibat,
Virgam tenens in manu, januasque aperuit haræ, &
Exegit porcis similes novennibus.
Illi quidem tum stabant contrarii: hæc verò per eos
Incedens adunxit unicuique pharmacum aliud.
Horum igitur è membris pili defluebant, quos antè produxerat
Pharmacum pernicioſum, quod ipsis dederat honoranda Circe.
Virique iterum reddebantur florentiores, quam antea fuerunt,
Et multò pulchriores & majores aspectu:
Agnoverunt verò me illi, inque hæserunt in manibus singuli.
Omnibus itaque jucundus ortus est luctus, perque domum
Horrendum resonabat, dea vero misserta est & ipsa.
Illa igitur prope me stans loquuta est diva dearum,
" Generose Laertiade, multiscie Ulysses,
" Vade nunc ad navem celerem & ad littus maris,
" Navem quidem omnium primùm subducite ad continentem:
" Facultates verò in speluncis abscondite, armaque omnia:

ΣΧΟΛΙΑ.

381. Δειδίμεν.] Φοβεῖσθαι.
383. Ἐναίσιμος.] Δίκαιος.
384. Πάσασθαι.] Γεύσασθαι.
386. Πρόφρασσα.] Πρόθυμος.
389. Συφειῶ.] Τῶ συφεῶν.
390. Σιάλοισιν.] Εὐτραφέσιν. Ἐννεώροισιν.] * Ἐνιοι ἐτῶν ἕξιν.
393. Ἔφυσε.] Ἐποίησε φυὴν καλήν.

NOTÆ.

389. Συφειῶ) *Eustath.* fol. 403. lin. 34. Πλεονασμὸν ἔπαθεν, ὁποῖον καὶ τὸ, ἀδελφεὸς, ἀδελφειός.
390. Ἐννεώροισιν) *Eustath.* fol. 403. lin. 35. Ἐννεώροι δὲ σύες, ἤτοι σύναιτοι· ἢ ἐξ ἄλλως ἴσως, οἱ σύνεδρον ἔχοντες, ἤγουν ἐτῶν δύο καὶ ἑνὸς μηνός· χρεῖττον δὲ, τὸ πρῶτον, σύνεδρον, συνίζησιν ἔπαθε, καὶ ἐ. καὶ ώ. εἰς ἓν πόδα μακρόν.

VARIÆ LECTIONES.

393. Ἔφυσε) γρ. ἔφυτε.
395. Αἶψ) γρ. ἆψ. ut supra, v. 263.
397. Μὲ κεῖνοι) γρ. μ' ὀκεῖνοι, *H. Steph.*
399. Κονάβιζε) γρ. κανάχιζε, *Eustath.* fol. 404. lin. 1.

Αὐτὸς

Αὐτὸς δ' ἀψ ἰέναι, ἠ ἄγειν ἑτάρους ἑτάρους.
Ὡς ἔφαν· αὐτὰρ ἔμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ·
Βὴν δ' ἰέναι ἐπὶ νῆα θοὴν ἠ δῖαν ἁλάασθαι.
Εὗρον ἔπειθ' ἐπὶ νηὶ θοῇ ἑτάρους ἑτάρους
Οἰκτρὰ ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
Ὡς δ' ὅταν ἀγραυλοι πόριες περὶ βοῦς ἀγελαίας
Ἐλθοῦσαι ἐς κόπρον, ἐπλὴ βοτάνης κορέσσῃ,
Πᾶσαι ἅμα σκαίρουσιν ὀχαντίαι· οὐδέπι σηκοὶ
Ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφὶ θέουσι
Μητέρας· ὡς ἐμὲ κεῖνοι, ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
Δακρυόεντες ἔχυντο· δόκησε δ' ἄρα σφίσι θυμὸς
Ὡς ἔμπη, ὡς εἰ πατρίδ' ἱκοίατο ἠ πόλιν αὐτήν
Τρηχείης Ἰθάκης, ἵνα τ' ἐτράφεν, ἠδ' ἐγένοντο.
Καί μ' ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων,

Ipseque tandem revertere & adducat dilectos socios.
Sic ait, cæterùm mihi persuasus est animus generosus;
Festinabam igitur ire ad navem celerem & littus maris.
Inveni deinde juxta navem celerem dilectos socios,
Miserabiliter lugentes, tenellas lacrymas profundentes.
Ut cum in agro-degentes buculæ circa vaccas armentarias
Venientes ad mandram, postquam herbâ saturæ sunt,
Omnes simul ludunt oppositæ, neque ipsa stabula
Detinent, sed indefinenter mugientes circum currunt
Matres; sic *circum* me illi, postquam viderunt oculis,
Lacrymantes fundebantur; videbaturque ipsorum animus
Sic esse, veluti in patriam veniissent & urbem suam
Asperæ Ithacæ, ubi & nutriti sunt, atque nati.
Et me lugentes verbis volatilibus alloquebantur,

ΣΧΟΛΙΑ.

405. Ἰέναι.] Νῦν, ἀντὶ τοῦ ὑποτρέφειν.
409. Οἰκτρὰ ὀλοφυρομένους.] Οἰκτρῶς ὀδυρομένους.
410. Ἀγραυλοι.] Ἐν ἀγροῖς αὐλιζόμενοι. Πόριες.] Νέαι βόες, μόχοι. * Ἀγελαίας.] Νομαίας, ἀζεύκτους.
411. Κόπρον.] Τῷ φαίσει τῶν βοῶν. Βοτάνης.] Τῆς νομῆς. Κορέσσωνται.] Κορεσθῶσι.
412. Σκαίρουσι.] Σκιρτῶσι, σκιρτῶσι. Ὀχαντίαι.] Ἀπιναυλίαι. Σηκοί.] Ἐπαύλεις.
413. Ἴσχουσι.] Κατέχουσι. Ἀδινόν.] Οἰκτρῶς. Μυκώμεναι.] Βοῶσαι. Μυκηθμὸς δὲ ἡ φωνὴ τῶν βοῶν. Ἀμφιθέουσι.] Περιτρέχουσιν.
415. Ἔχυντο.] Ἐπίδακρυον. Δόκησεν.] Ὑπέλαβεν.
416. Ὡς ἔμπη.] Οὕτως εἶναι. Ἔμπη.] Εἶναι.
417. Ἵνα.] Ὅπου. Ἔτραφεν.] Ἐτροφήσαν. Ἐγένοντο.] Ἐχρυσώθησαν.

NOTÆ.

405. Αὐτὸς δ' ἀψ ἰέναι) Hic iterum ἀψ legendum moneo, & αὖψ' ad *Var. Lect.* relegandum, ut suprà, v. 244. & v. 263.

410. Πόριες) *Florentina* Editio, ità legit, pro πόρπις, & ità MSS. *Scholia* ad illius oram adscripta, Codicem *Etonensem* volo; ità *Aldina* Editio *Scholiorum*, & *Parisiensis*; ita *Hervagiana* in *Textu* & in *Scholiis*; ità *Aldina* & *Roscii Lovaniana*, in *Textu*; ita *Seberus*, *Scapula*, & *Eustathius*, hoc certè in loco, videtur hanc Lectionem agnoscere: probat enim πόριες pro πόρπις vel πόρδακις, dici; &, hoc in loco ut dicatur, *Versûs* ratio postulat. *Euripid.* Bacch. v. 736. Καὶ τλῶ μ' ἂν προσεῖδες εὔθηλον πόριν, in quem locum, vid. quæ nos. *H. Steph.* primus πόρδακις hìc legit, nè *Lectione* τῶν πόριες notatâ; hunc secuti Moderni omnes; non sine Ignaviæ notâ: at Nos meliori auctoritate moti, πόριες hìc scribimus, & πόρδακις ad *Var. Lect.* remittimus.

413. Ἀμφὶ θέουσι) Disjunctim potius lego, quoniam Vox ἀμφὶ referenda est non tantum ad μητέρας, verùm etiam ad ἀμὸς proximè sequens.

417. Ἵνα τ' ἐτράφεν) De ἵνα, pro ὅπου, dicimus aliàs, *Pindar.* Prælect. fol. 180. Vox ἐτράφεν, pro ἐτράφησαν, παροξυτόνως scribenda; ut Scholiastes *Theocriti*, ad Idyll. 7. v. 60. ex *Callimacho* Grammatico, quomodò κόσμηθεν, pro ἐκοσμήθησαν, Æolicè, aut Bœoticè. Vid. *Etymolog.* M. v. Κοσμῆσαι.

NOTÆ IN SCHOLIA.

410. * Ἀγελαίας) Hoc *Scholion* laudat *Eustathius*, ὡς τῶν Παλαιῶν, fol. 404. lin. 8.

VARIÆ LECTIONES.

405. Ἀψ) γρ. αὖψ', vid. in *Textum*.
409. Καθ' δάκρυ χέοντας) γρ. καθαδακρυχέοντας, vid. ad v. 201, & λ'. v. 5.
410. Πόριες) γρ. πόρπις, vid. Not. ad *Textum*.
412. Σκαίρουσιν) γρ. σπαίρουσιν, *Eustath.* fol. 404. lin. 9.
413. Ἀμφὶ θέουσι) γρ. ἀμφιθέουσι, vid. Not. in *Textum*.
416. Αὐτῶν) γρ. αὐτῆν, in *Prioribus*, non æquè bene.
417. Ἐτράφεν) γρ. ἔτραφεν, & τέτραφεν. Vid. in *Textum*.

Σοὶ

Σοὶ μὲν νοστήσαντι, διοτρεφὲς, ὧς ἐχάρημεν,
Ὡς εἴτ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
Ἀλλ' ἄγε, τὴν ἄλλων ἑτάρων καταλέξον ὄλεθρον.
Ὡς ἔφαν· αὐτὰρ ἐγὼ τοισὶν μαλακοῖς ἐπέεσσιν,
Νῆα μὲν ἀρ πάμπρωτον ἐρύσσομεν ἠπειρόνδε,
Κτήματά τ' ἐν σπήεσι πελάσσομεν, ὅπλα τὲ πάντα·
Αὐτοὶ δ' ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι,
Ὄφρα ἴδηθ' ἑτάρους, ἱεροῖς ἐν δώμασι Κίρκης
Πίνοντας κ' ἔδοντας· ἐπὴν ἀφενὸς γὰρ ἔχουσιν.
Ὡς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Εὐρύλοχος δέ μοι οἷος ἐρύκανε πάντας ἑταίρους,
Καί σφεας φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Ἆ δειλοὶ, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τοῦτον,
Κίρκης ἐς μέγαρον καταβήμεναι; ἤ κεν ἅπαντας
Ἢ σῦς, ἠὲ λύκους ποιήσει, ἠὲ λέοντας·
Οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν κ' ἀνάγκῃ.
Ὥσπερ Κύκλωψ ἔρξε, ὅτε οἱ μέσαυλον ἵκοντο
Ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
Τοῦτο γὰρ κ' οὗτοι ἀταθαλίῃσιν ὄλοντο.
Ὡς ἔφαν· αὐτὰρ ἔγωγε μὺ Φρεσὶ μερμήριξα,
Σπασσάμενος ταναΰηκες ἄορ παχέος περὶ μηροῦ,
Τῷ οἱ ἀποτμήξας κεφαλὴν θεμέθλοις πελάσσαι,

"Tibi quidem redeunti, generose, sic gratulamur.
"Perinde atque si in Ithacam veniſſemus patriam terram:
"Sed agè, aliorum ſociorum narra interitum.
Sic dicebant; cæterùm ego alloquebar blandis verbis,
"Navem quidem omnium primùm ſubducamus in littus,
"Bonaque in ſpeluncis recondamus, armamentaque omnia;
"Voſque accelerate me unà univerſi ſequi;
"Ut videatis ſocios ſacris in ædibus Circes,
"Bibentes & comedentes; copioſum enim victum habent.
Sic dicebam; illi celeritèr meis verbis credebant:
Eurylochus verò ſolus mihi detinebat omnes ſocios,
Et ipſos alloquutus verba levia proloquutus eſt,
"Ah miſeri, quò ibimus? quid mala deſideratis iſta,
"Circes ad ædes deſcendere? quæ omnes
"Aut ſues, aut lupos reddet, aut leones;
"Qui ei magnam domum cuſtodiamus etiam neceſſitate.
"Sic ſane Cyclops fecit, quando ejus ad ſtabulum venerunt
"Noſtri ſocii, cumque his audax ſequutus eſt Ulyſſes:
"Hujus enim etiam illi pervicaciâ perierunt.
Sic ait; cæterùm ego in mente deliberabam,
Extracto gladio oblongo à fœmore,
Cum illo abſciſſum illius caput ad ſolum dejicere,

ΣΧΟΛΙΑ.

420. Ἀφικοίμεθα.] Παραγγυοίμεθα.
424. Πελάσσομεν.] Ἀποθώμεθα.
427. Ἐπιζαφελῶς.] Δασυλέως.
429. Ἐρύκανε.] Κατέχων, σκώλυεν.
431. Ἆ δειλοί.] Ἄθλιοι. * Πόσε.] Ἐς τίνα τόπον; Ἱμείρετε.] Ἐπιθυμεῖτε.
432. Καταβῆναι.] Καταβῆναι * ὑπερωϊόθεν.
434. Φυλάσσοιμεν.] Τηροῖμεν.
435. Μέσαυλον.] Τὴν ἔπαυλιν.
436. Θρασύς.] Τολμηρός.
439. Σπασσάμενος.] Ἐπισπασάμενος.
440. Οὐδάσδε πελάσσαι.] Εἰς τὸ ἔδαφος ῥίψαι.

NOTÆ.

423. Νῆα μὲν ἀρ πάμπρωτον ἐρύσσομεν) Pro ἐρύσσωμεν, ut v. 424. Πελάσσομεν, pro πελάσσωμεν. De quâ re, vid. ſupra ad v. 328. 335, &c.
429. Ἐρύκανε) Suſpicor & hìc legendum ἐρύκακε, rectiſſimâ voce *Homericâ*; cùm hæc vox ἐρυκάνω nuſquam aliàs occurrat, ἐρυκανάω, ſemel quidem; quod moneo tantúm. Omnia enim *Exemplaria* ἐρύκανε præferunt.

NOTÆ IN SCHOLIA.

431. * Πόσε) Addo, ex *Lexicis*.
432. Καταβῆναι, * ὑπερωϊόθεν, monſtrum vocabuli, ὑπερωϊόθεν lego, at ad v. 558. ubi locum habet, pono; hinc, ubi locum non habet, moveo.

VARIÆ LECTIONES.

429. Ἐρύκανε) γρ. ἐρύκακε, vid. Not. in *Textum*.
433. Ἢ λύκους) γρ. ἢ ἐλάφους, *Euſtath.* fol. 405. lin. 19. & lin. 34.
439. Σπασσάμενος) γρ. ἀπασάμενος.
440. Ἀποτμήξας) γρ. ἀποπλήξας, *Euſtath.* fol. 405. lin. 42. &c.

Καὶ πηΐ περ ἐόντε μάλα φχεδόν· ἀλλά μ' ἑταῖροι
Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος,
Διογενὲς, τῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
Αὐτῦ παρ νηΐ τε μένειν καὶ νῆα ἐρυσθαι.
Ἡμῖν δ' ἡγεμόνευε ἱερὰ πρὸς δώματα Κίρκης.
Ὣς φάμενοι, βῶμοὶ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης.
Οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηῒ λέλειπτο,
Ἀλλ' ἕπετ'· ἔδδεισεν γὰρ ἐμοὶ ἔκπαγλον ὀνείδει.
Τόφρα δὴ τοὶ ἄλλοι ἑταῖροι ἐν δώμασι Κίρκη
Ἐνδυκέως λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ·
Ἀμφὶ δ' ἄρα χλαίνας ἕλας βάλεν, ἠδὲ χιτῶνας·
Δαινυμένοις δ' ἄρα πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
Οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον, φράσσαντό τε πάντα,
Κλαῖον ὀδυρόμενοι, πρὶν δὴ περιχίζετο δῶμα.
Ἡ δέ μεν ἄγχι στᾶσα προσηύδα δῖα θεάων,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
Ἡμὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντα,
Ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσῳ.
Ἀλλ' ἄγετ', ἐδίετε βρῶμον, καὶ πίνετε οἶνον,
Εἰσόκεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
Οἷον ὅτε πρῶτιστον ἐλείπετε πατρίδα γαῖαν

Etiamsi valdè consanguinitate me attingeret: sed me socii
Mollibus verbis continuerunt aliunde alius,
" O generose, hunc quidem linquamus, siquidem tu jubes,
" Hic juxta navem manere & navem custodire:
" Nobis autem dux tu esto sacram ad domum Circes.
Sic loquuti, ab nave discedebant atque mari:
Neque quidem Eurylochus cavam apud navem relinquebatur,
Sed sequebatur; timuit enim meas asperas minas.
Interea verò alios socios in ædibus Circe
Studiosè laveratque, unxeratque pingui oleo:
Circumque pulchras chlænas induerat atque tunicas:
Epulantes igitur pulchrè omnes invenimus in ædibus.
Hi verò postquam invicem conspexerunt, reputabantque omnia,
Flebant lugentes, undiquaque autem resonabat domus.
Illa verò propè me stans alloquebatur diva dearum,
" Generose Laertiade, versute Ulysses,
" Nè amplius nunc uberem luctum excitetis: scio etiam ipsa
" Et quos in ponto passi estis dolores piscoso,
" Et quæcunque hostiles viri nocuerunt in terrâ.
" Sed agite, comedite cibum & bibite vinum,
" Donec denuò animum intra præcordia receperitis,
" Qualem quando primùm relinquebatis patriam terram

ΣΧΟΛΙΑ.

441. Πηΐ.] Συγγενεῖ. * Κιμώνιλω γὰρ ἐγεγαμήκει τῶν Ὀδυσσέως ἀδελφῶν.
444. Ἔρυσθ.] Φυλάσσειν.
445. Ἡγεμόνευ'.] Ἡγοῦ.
446. Ἀνήϊον.] Ἀνήρχοντο.
448. Ἔκπαγλον.] Ἔξοχον, μεγαλῶν. Ἐνιπλύ.] Ὕβριν, κακολογίαν, ἐπίπληξιν, ἀπειλήν.
450. Ἐνδυκέως.] Ἐπιμελῶς.
451. Οὔλας.] Ἐνιοι, καλάς.
453. Φράσσαντό.] Ἐπέγνωσαν.
454. Περὶ δὲ περιχίζετο.] Περιήχει.
457. Θαλερὸν.] Ἀκμαῖον, νέον. Ὄρνυτε.] Διεγείρετε.
458. Ἰχθυόεντα.] Ἰχθῦς ἔχοντα.
459. Ἀνάρσιοι.] Πολέμιοι. Ἐδηλήσαντο.] Ἔβλαψαν.

NOTÆ.

444. Αὐτῦ παρ νηΐ τε μένειν) *Ultima* Ε νηΐ producitur, ut i. v. 194.
450. Ἔχεισεν λίπ' ἐλαίῳ) Ità scribo, pro ἔχειτ, nec sine Veterum exemplo, ut suprà, v. 211.

NOTÆ IN SCHOLIA.

441. *Κπμφλω) Ità ex *Aloysii* MS. & *Eustathio* restituo, pro κλυμφλω, quod in *Aldin. Hervagian. Lugdun.* &c. malè obtinuerat.

VARIÆ LECTIONES.

443. Ἐάσομεν) γρ. ἐάσομεν, vid. suprà, ad v. 291.
449. Τόφρα δὴ) γρ. τοφρόδη.
450. Ἔχεισεν λίπ') γρ. ἔχεισε λίπ', vid. Not. in *Textum*.
451. Οὔλας) γρ. καλὰς, *H. Steph.* & *Br. Schol.*
452. Δ' ἄρα) γρ. δ' ἦν, *Florentin. Hen. Stephanus*
Ibid. Πάντας) γρ. τόσσα, & τόσσα, *Eustath.*
457. Θαλερὸν γόον) γρ. συγερὸν γόον, *Aristoph.* apud *Eustath.* fol. 405. lin. 53. Nec *H. Steph.* vidit.
459. Χέρσῳ) γρ. χέρσῳ.
460. Πίνετε) γρ. πίεσθε, *Eustath.* fol. 406. lin. 3.

Τρηχείης

Τρηχείης Ἰθάκης· νῦν δ' ἀσκελέες γ' ἄθυμοι,
Αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· ἠδὲ ποθ' ὑμῖν
Θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ μάλα πολλὰ πέποσθε.
Ὡς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγλαΐωρ.
Ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἀλλ' ὅτε δὴ ῥ' ἐνιαυτὸς ἔλυε, φέρε δ' ἔτραπον ὧραι,
Μηνῶν φθινόντων, φέρε δ' ἤματα μακρὰ τελέσθη,
Καὶ τότε μ' ἐκκαλέσαντες ἔφαν ἐρίηρες ἑταῖροι,
Δαιμόνι', ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
Εἴ τοι θέσφατόν ἐστι σαωθῆναι, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὡς ἔφαν· αὐτὰρ ἐμοιγ' ἐπεπείθετο θυμὸς ἀγλαΐωρ.
Ὡς τότε μὲν δὴ πᾶσαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
Οἱ μὲν κοιμήσαντο κατ' μέγαρα σκιόεντα.
Αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς θείκαλλέος εὐνῆς,
Γούνων ἐλιλαίσθουσα· θεὰ δέ μευ ἔκλυεν αὐδῆς·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων,
Ὦ Κίρκη, τέλεσόν μοι ὑποσχεσίην, ἣν περ ὑπέσχες,
Οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔμπης ἤδη,

" Asperæ Ithacæ: nunc verò defatigati & tristes estis,
" Semper erroris duri memores: neque unquam vobis
" Animus est in lætitiâ, quandoquidem valde multa passi estis.
Sic ait; nobis autem continuò paruit animus generosus.
Hîc quidem diebus omnibus plenum in annum
Sedebamus, convivantes carnes immensas, & suave vinum:
Sed quando jam annus erat, & circumvertebantur horæ,
Mensibus desinentibus, circumque dies longi exacti sunt;
Et tum me evocatum alloquuti sunt dilecti socii,
" Infelix, nunc tandem memor esto patriæ terræ,
" Si tibi fatale est servari, atque pervenire
" Domum ad excelsam, & tuam in patriam terram.
Sic dicebant; cæterum mihi persuasus est animus generosus.
Sic tum quidem toto die ad solis occasum
Sedebamus, convivantes carnes immensas & suave vinum:
Quando verò sol occidit, & crepusculum advenit,
Illi quidem dormierunt per ædes obscuras.
Cæterùm ego Circes conscensò splendido lecto
Ad genua supplex rogavi; dea verò meam audivit vocem,
Et ipsam compellando verba volatilia dixi,
" O Circe, perfice mihi promissionem, quam promisisti,
" Domum ut mitteres; at animus mihi impellitur jam,

ΣΧΟΛΙΑ.

463. Ἀσκελέες.] Ἄγαν κεκοπακληκότες, σκληροί, σκληδυόμενοι, καὶ νενεκρωμένοι· ἢ ἄγαν κεκμηκότες. Ἄθυμοι.] Κεκμακωμένοι τῷ ψυχῷ, οἷον ἄψυχοι.

464. Ἄλης.] Πλάνης.

465. Πέποσθε.] Κέκμηκθε, πεπόνθατε.

468. Δαινύμενοι.] Εὐωχούμενοι.

469. Περὶ δ' ἔτραπον ὧραι.] Περιῆλθον ἢ πάλιν οἱ καιροὶ ἐπὶ τῷ ὥραν.

471. Ἐκκαλέσαντες.] Ἔξω καλέσαντες.

472. Μιμνήσκεο.] Ὑπομνήσθητι.

473. Σαωθῆναι.] Σωθῆναι.

481. Γούνων ἐλιλαίσθουσα.] Τῶν γονάτων ἁψάμενος παρεκάλεσα.

483. Ἣν ὡς ὑπέσχες.] Ἣν περ ὑπεσχέθης.

484. Ἔεσυ).] Ἐφορμᾷ.

NOTÆ.

465. Πέποσθε) *Eustath.* fol. 403. lin. 48. Οἱ μὲν ἐκ τοῦ πήθω, τὸ πανθαίνω, παρέγυσιν, ἀκολουθοῦντες Ἡρωδιανῷ· λέγοντες, ὅτι καθ' ὁμοιότητα τοῦ λαγχάνω· ἔστι παρακείμενον τρίτης τοῦ ἠ. εἰς ὁ. λέλοχα, καὶ πεσλήφθη τοῦ γ. λέλοσα, ὥστε καὶ ἐν τούτοις μὴ ταῦτα ῥηθήσεται· ἔστω δὲ πήθω, πέποθα· ἔστι παθητικὸν, σημαῖνον πεσληφθῆναι. Vid. *Etymolog.* M. v. Eadem Vox, *Iliad.* γ'. v. 99.

VARIÆ LECTIONES.

464. Αἰὲν ἄλης) γρ. αἰεὶ ἄλης, non æquè benè, ante *Vocalem.*

465. Πέποσθε) γρ. πέπασθε, vid. Not. in *Textum.*

467. Ἔνθα μὲν) γρ. ἔνθα καὶ, *H. Steph.*

470. Μηνῶν φθινόντων) Deest hic Versus, in nonnullis, teste *H. Steph.* Agnoscit *Florent. Aldin. Lovan.*

481. Ἐλιλαίσθουσα) γρ. ἐλιλίσθουσα. Vid. suprà, v. 264.

Ἠδ' ἄλλων ἑτάρων, οἵ μοι φθινύθουσι φίλον κῆρ,
Ἀμφ' ἐμὶ ὀδυρόμενοι, ὅτε κε σύγε νόσφι γένηαι.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν ἀέκοντες ἐμῷ ἔνι μίμνετε οἴκῳ.
Ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι, καὶ ἱκέσθαι
Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
Ψυχῆς χρησομένους Θηβαίου Τειρεσίαο,
Μάντηος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι·
Τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια,
Οἴῳ πεπνύσθαι· τοὶ δ', σκιαὶ ἀΐσσουσιν.
Ὣς ἔφαθ'· αὐτὰρ ἔμοιγε καλεκλάσθη φίλον ἦτορ·
Κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ τι θυμὸς
Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην,
Καὶ τότε δή μιν ἔπειτα ἀμειβόμενον προσέειπον,
Ὦ Κίρκη, τίς γὰρ ταύτῃ ὁδὸν ἡγεμονεύσει;
Εἰς Ἄϊδος δ' οὔπω τις ἀφίκετο νηὶ μελαίνῃ.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων,
Διογενὲς Λαερτιάδη, Πολυμήχαν' Ὀδυσσεῦ,
Μή τί τοι ἡγεμόνος γε ποθὴ τῇδε νηὶ μελέσθω·
Ἱστὸν δὲ στήσας, ἀνὰ δ' ἱστία λευκὰ πετάσας,

" Atque aliorum sociorum, qui mihi afflignnt charum cor,
" Circa me lugentes; quando tu seorsum abes.
Sic dicebam; illa continuo respondebat diva dearum,
" O generose Laertiade, versute Ulysses,
" Nè amplius nunc inviti meâ manete in domo.
" Sed aliam oportet primùm viam perficere, & pervenire
" Ad Plutonis domum, & severæ Proserpinæ,
" Animam consulturos Thebani Tiresiæ,
" Vatis cæci, cujus Prudentia stabilis & confirmata erat.
" Huic etiam mortuo mentem tribuit Proserpina,
" Solus ut saperet; reliqui vero umbræ circumvolitant.
Sic ait; cæterùm mihi fractum est amicum cor:
Flebam autem in lectulo desidens, neque omninò animus
Voluit ampliùs vivere, & videre lumen solis.
Cæterùm postquam flénsque provolutusque satur eram,
Et tum jam ipsam verbis excipiens alloquebar,
" O Circe, quisnam hanc viam demonstrabit?
" Ad Plutonem sanè nemo unquam pervenit nave nigrâ.
Sic dixi; illa continuò respondit diva dearum,
" Generose Laërtiade, prudens Ulysses,
" Minimè tibi ducis desiderium pro nave curæ sit:
" Malum verò erigens, velisque albis extensis,

ΣΧΟΛΙΑ.

492. Ψυχῆ χρησομένους.] Διατί ἓν οὖν αὐτὸν μαντεύεται; ὅτι οὐκ ἂν ἐπίστευσεν Ὀδυσεὺς, ἐρώσης αὐτῆς· ἢ καὶ ἵνα μὴ σεμνῆναι, καὶ τὸ πορθμεῖον, ὡς γήτνιῶσαι, μηνύσῃ· ὥστε ἓν ἐστὶ, ὁ Τειρεσίας εἶπεν, εἰδὼς ἐρῶσαν τὴν Κίρκην· ὥστε ὃ τῶ λοιπῶν ἐπιτρέψῃ τῷ μάντει. Χρησομένους.] Μαντευσομένους.

494. Τῷ καὶ τεθνειῶτι.] Διότι ἐμαίνετο δύο δεφίνους ἐν τῷ Κιθαιρῶνι μιγνυμένους, ὃ παρατηρήσας τὴν δεφίναιναν ἀνεῖλεν· καὶ ὕστις ἐγένετο γυνὴ, καὶ πάλιν τὸ ἄρσενα, καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. Ζεὺς δὲ καὶ Ἥρα,

ἐπὶ ἑκατέρων μετέχειν, κελεύει αὐτὸν εἰπεῖν, τίς μᾶλλον ἥδεται ἐν συνουσίᾳ, ὁ ἀνὴρ, ἢ ἡ γυνή; ὁ δὲ εἶπεν, ὅτι μοίρων δέκα μοιρῶν τέρπεται ἀνήρ· τὰς δὲκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα. διὸ ἡ μὲν Ἥρα ὀργισθεῖσα, ἐπήρωσεν αὐτόν· ὁ δὲ Ζεὺς τὴν μαντικὴν ἔδωκεν.

495. Πεπνύσθαι.] Συνετῷ καὶ ἔμφρονι εἶναι. Ἀΐσσουσι.] Κινοῦνται.

505. Ποθή.] Ἐπιζήτησις. Μελέσθω.] Ἐν φροντίδι ἔστω.

NOTÆ.

493. Μάντηος ἀλαοῦ) Vox ἀλαὸς, hoc in loco, *Duas* Priores habet *longas*, Primam, ob λ'. *ecthaticum*, *Secundam*, ob *Hiatum*, per quem πυκνικῶς στρεπτὸς τις innuitur; aliàs utrasque breves. *Historiam* Tiresiæ *vid.* ad *Schol.* v. 494. *Ovid.* Metam. l. 3. §. 4. *Tzetzem* ad *Lycoph.* v. 683. *Eust.* in hunc locum & *Apollodor.*

NOTÆ IN SCHOLIA.

494. Τῷ καὶ τεθνειῶτι) Hoc *Scholion* lucem fert ex *Eustath.* fol. 407. lin. 22. ex *Apollodoro*, l. 3. §. 7.

VARIÆ LECTIONES.

486. Ἀμφ' ἔμ') γρ. ἀμφί μ'.

499. Κυλινδόμενός τε κορέσθην) γρ. κυλινδόμενός τ' ἐκορέσθην.

502. Ἄϊδος δ') γρ. ἄϊδόσδ'.

Ha 3

Ἦξ· τῷ δέ κέ τοι πνοιὴ Βορέαο φέρησιν.
Ἀλλ' ὁπότ' ἂν δὴ νηῒ δι' ὠκεανοῖο περήσῃς,
Ἔνθ' ἀκτή τε λάχεα καὶ ἄλσεα Περσεφονείης,
Μακραί τ' αἰγείροι, καὶ ἰτέαι ὠλεσίκαρποι,
Νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' ὠκεανῷ βαθυδίνῃ,
Αὐτὰς δ' εἰς Ἀΐδεω ἰέναι δόμον ὑφόεντα.
Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι,
Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
Πέτρη τε, ξυνέσις τε δύω ποταμῶν ἐριδούπων.
Ἔνθα δ' ἔπειθ', ἥρως, χαλκοβαρὲς πέλας, ὥς σε κελεύω,

" Sede; illam verò tibi flatus Boreæ ferat.
" Sed cum jam navi per Oceanum transmiseris,
" Ubi littus breve & nemora Proserpinæ,
" Longæque alni, & salices frugiperdæ:
" Navem quidem illic siste in Oceano profundis vorticibus,
" Ipse autem in Plutonis eas domum obscuram.
" Hic quidem in Acherontem Pyriphlegethonque confluunt,
" Cocytusque, qui utique Stygis aquæ est fluxus,
" Petraque est & concursus duorum fluviorum valdè sonantium.
" Hic deinde, heros, accedens propè, ut te jubeo,

ΣΧΟΛΙΑ.

507. Φέρῃσιν.] Ἀποφέροι.

509. Ἀκτή.] Ἡ ἀφηρημένη καὶ ἐξέχουσα εἰς θάλασσαν ἄκρα. Λάχεια.] Ἐλαχίσῃ. Ἄλσεα.] Ἱερὰ καὶ σύνδενδρα χωρία.

510. Ὠλεσίκαρποι.] Ἐπειδὴ τὸ ἄνθος ἀποβάλλουσιν· ἢ ἐπὶ οἱ πίονες ἄνθος ἰτέας, ἄγονοι ἀφαμάρτουσιν. Ὠλεσίκαρποι.] Ἀποβάλλει γὰρ τὸ ἄνθος· οἰκείως δὲ ἀγόνοις φυτοῖς ἔχρησαν. * ἱκανὰ γὰρ νεκροῖς τὰ ἄκαρπα. φησὶ δὲ Θεόφραστος ἐν φυλικοῖς, τὰ * χυλὸν τὰ ἰτέας πόμφολυγα ἀφανίζειν τῷ γλισχρῷ τὰ ἀνθρώπων.

511. Κέλσῃ.] Νεωλκήσῃ, ὁρμήσῃ. Βαθυδίνῃ.] Βαθείας ἔχουσι συροφάς.

512. Δόμον εὐρώεντα.] Ἤτοι παλαιὸν καὶ τὸ εὐρὺ· ἢ σκοτεινόν.

513. Ἔνθα μὲν εἰς Ἀχέροντα.] Τοῦτο τὸ χῆμα καλεῖται ἀποθλιζόμενον, καὶ καθ' ὑπερβολὴν· ὑπὲρ ἐκεῖνο δὲ Ἀλκμανικόν. τὸ δὲ ἑξῆς, Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε, καὶ Κώκυτος ῥέουσιν. Πυριφλεγέθων.] Ποταμὸς ἐν ᾅδου.

514. Κώκυτος.] Ποταμὸς ἐν ᾅδου. Ἀπορρώξ.] Ἀπόῤῥοια.

515. Ξύνεσις.] * Συνάφεια, καὶ εἰς ταυτὸ συμβολὴ τῶν ποταμῶν. Ἐριδούπων.] Μεγαλοήχων.

516. Χαλκοβαρὲς.] Προσπελασθείς. Πέλας.] Ἐγγὺς, πλησίον.

NOTÆ.

513. Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κώκυτός θ') Ἀλκμανικὸν χῆμα, quòd *Alcman* hâc Figurâ frequentiùs gauderet, ut Καίσαρ ὠκέων ἵππων ἐλατῆρε καὶ Πολυδεύκης. Vid. *Eustath.* fol. 410. lin. 6. *Porphyr.* Ζήτημ. Ὁμηρικ. ϛ'. *Isaac. Casaubon.* ad *Theocrit.* p. 74. Vid. suprà, *Iliad.* ε'. v. 774. & infrà, *Odyss.* μ'. v. 78.

514. Κώκυτός θ', ὃς δὴ) Κώκυτος hoc in loco ἀποπαροξύνεται, ut *Proprium* Nomen, licet ob sequens *Enclíticum* habeat etiam *Acutum* in *Ultimâ*; unde Prior *Acutus* olim exciderit, non benè attendentibus *Amanuensibus*.

515. Δύω ποταμῶν) *Seberus*, in *Indice*, notat esse *Genitivum* Pluralem antiquum, δύων, pro δυοῖν. Ego puto potiùs aliquando ἀπλῶτως dici, sive δύω, per omnes *Casus*, & *Genera*.

NOTÆ IN SCHOLIA.

510. * Ἱκανὰ) Ità emendo, pro ἐκεῖνα, & mox * χυλὸν, pro χιλὸν.

515. Συνάφεια.) A συναφίημι, non à συνάπτω, tum enim συναφὴ, συναφεια, vel σύναψις. Et *Eustath.* fol. 409. lin. 53. συναφεσις apertè, ut & omnes Codd. Etiam *Hesych.* συνίφεσις legit.

VARIÆ LECTIONES.

508. Ὁπότ' ἂν) γρ. ὁπόταν.

509. Λάχεια) γρ. ἐλάχεια, vid. Not. in *Textum*.

Ibid. Περσεφονείης) γρ. Φερσεφονείης, *Eustath.* fol. 408. lin. 39.

510. Μακραί τ' αἰγειροι) γρ. κληθραί τ' αἰγειροί π. Vid. Not. in *Textum*.

Βόθρον ὀρύξαι, ὅσσον τε πυγὼσιον, ἔνθα καὶ ἔνθα.
Ἀμφ' αὐτῷ δὴ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσι,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδεῖ οἴνῳ,
Τὸ τρίτον αὖθ' ὕδατι· ὄπι δ' ἄλφιτα λευκὰ παλύνειν.
Πολλὰ δὲ γενεῇσι νεκύων ἀμενηνὰ κάρηνα,
Ἐλθὼν εἰς Ἰθάκην, στεῖραν βοῦν, ἥτις ἀρίστη,
Ῥέξειν ἐν μεγάροισι, πυρὴν τ' ἐμπλησέμεν ἐσθλῶν·
Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ,
Παμμέλαν', ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
Αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
Ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν, θῆλύν τε μέλαιναν,
Εἰς Ἔρεβος τρέψας, αὐτὸς δ' ἀπονόσφι παρέλθε,
Ἰέμενος ποταμοῖο ῥοάων· ἔνθάδε πολλαὶ
Ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνειώτων.
Δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
Μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλεῖ χαλκῷ,
Δείραντας κατακῆαι· ἐπεύξασθαι δὲ θεοῖσιν,
Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ.

" Fossam fode, quasi cubitalem quoque versum.
" Super illam libamen funde omnibus mortuis,
" Primùm mulso, deinde & suavi vino,
" Tertium rursus aquâ; insuperque farinam albam sparge.
" Multa verò precare mortuorum imbecilla capita, *vovens*,
" Ubi veneris in Ithacam, sterilem vaccam, quæ optima sit,
" Sacrificaturum domi tuæ, pyramque impleturum rebus optimis;
" Tiresiæ verò separatim arietem sacrificaturum soli,
" Prorsus-nigrum, qui inter oves excellit vestras.
" Cæterùm postquam precibus oraveris inclyta examina mortuorum,
" Ibidem ovem marem sacrifica, fœmellamque nigram,
" Ad Erebum versus, ipse verò seorsum aversus sis,
" Attentus ad fluvii fluenta: ibi verò multæ
" Animæ accedent mortuorum defunctorum.
" Tum continuò sociis impera & jube
" Oves, quæ quidem jacent mactatæ sævo ferro,
" Excoriatas comburere; & vota facere diis,
" Animoso Plutoni, & severæ Proserpinæ.

ΣΧΟΛΙΑ.

517. Βόθρον.] Ὄρυγμα. Ὀρύξαι.] Ἀντὶ τοῦ ὄρυξον. Πυγώσιον.] Πυγωνιαῖον. Πυγὼν δέ ἐστι, τὸ ἀπὸ τοῦ ἀγκῶνος, μέχρι τῶν δακτύλων * κεκαμμένον, ἀφέσημα· αἰνίττεται δὲ ἀφ' ὑπερβολῆς τὸ μὴ ἀνιέναι, μηδ' ἐπ' ἐξουσίας εἶναι τὰς σπαλαθηκότας. ἀλλ' ὥσπερ ἔχεσθαι καὶ ἐγκεκλεῖσθαι. καθάπερ καὶ οἱ δάκτυλοι. Ἔνθα καὶ ἔνθα.] Εἰς πλάτος καὶ εἰς μῆκος.

518. Χοὴν.] Τὴν τοῖς νεκροῖς ἐπιχεομένην χύσιν. Χεῖσθαι.] Ἐπιχέαι.

519. Μελικρήτῳ.] Τῷ μὴ γάλακτος μέλιτι.

520. Παλύνειν.] Φυρᾶν, ἀφρίζειν.

521. Γενεῇσι.] Παρακαλεῖν. Ἀμενηνά.] Ἀσθενῆ, μόνον σῶμα ἔχοντα. * ἢ σώματος δύναμιν· ἀπὸ δὲ μονὰν

ΝΟΤΑ.

520. Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ λ') *Ultima* τοῦ ὕδατι producitur, in *Cæsurâ*, ante *Punctum*, & ob *Hiatum*, ex pausâ; ut mox, λ'. v. 28.

525. Ὑμετέροισι) Mallem legere ἡμετέροισι, nam

NOTÆ IN

517. * Κεκαμμένον) Ità, pro κεκαμμένον, emendo, ex *Eustathio*, Ἔστι δὲ πυγὼν, τὸ ἀπὸ ἀγκῶνος, μέχρι δακτύλων κεκαμμένων, ὅ ἐστι συνεσπιγμένων, ἀφέσημα.

521. * Ἢ σώματος) Ità, pro *corrupto*, ἢ σώμα-

VARIÆ LECTIONES.

517. Βόθρον ὄρυξαι, ὅσσον.) γρ. βόθρον ὄρυξον, ὅσσον, & βόθρον ὄρυξ', ὅσσον, *H. Steph.*

523. Ῥέξειν ἐν μεγάροισι) γρ. ῥέξῃν σ' ἐν μεγάροισι.

ΣΧΟΛΙΑ.

ἔχειν οἰκεῖ τῷ ψυχήν.

522. Στεῖραν βοῦν.] Εἰς τὸ ὄμοιον· ἄγονα γὰρ ἐκ στείρας τὰ νεκρῶν.

523. Ἐμπλησέμεν.] Πληρώσειν.

524. Οἴν.] Πρόβατον.

526. Λίσῃ.] Λιτανεύσῃς.

527. Ῥιζήν.] Θύειν. Μέλαιναν.] Καὶ τοῦτο εἰς τὸ ὄμοιον.

528. Ἔρεβος.] Σκότος. Νόσφι παρπέλθῃς.] Ὡς ἀφ' ὧν τὰς πολεμούς.

529. Ἰέμενος.] Προθυμούμενος.

531. Ἐποτρῦναι.] * Ἐπεῖξαι. Ἀνῶξαι.] Κελεῦσαι.

533. Καῆσαι.] Καθαπτῦσαι.

TÆ.

Ulysses nullius gregis erat Possessor; omnia illi *Circe* ex suis administrabat. At de futuro sacrificio, in patriâ *Ithacâ* pòst faciendo, si loquitur, rectè res habet.

SCHOLIA.

τος, quod in *Impressis*, ex MS. restituo, σὺν tantum in ἢ verso, &c.

531. * Ἐπεῖξαι) Ità, pro ἐπεῖξαι.

Αὐτὸς

Αὐτὸς ἧ ξίφος ὀξὺ ἐρυσάμην ἆόος μηρῷ
Ἤσθαι, μηδὲ ἐᾷν νεκύων ἀμενηνὰ κάρηνα
Αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
Ἔνθα τοὶ αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
Ὅς κέν τοι εἴπῃσιν ὁδὸν ἠ μέτρα κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
Ὣς ἔφαν· αὐτίκα ἧ χρυσόθρονος ἦλυθεν ἠώς.
Ἀμφὶ δέ με χλαῖναν τε, χιτῶνά τε, εἵματα ἕσσεν·
Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἔννυτο Νύμφη
Λεπτὸν ἠ χαρίεν, περὶ ἧ ζώνην βάλετ' ἰξυΐ,
Καλὴν, χρυσείην· κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.
Αὐτὰρ ἐγὼ κατὰ δώματ' ἰὼν ὤτρυνον ἑταίρους,
Μειλιχίοις ἐπέεσσι παραστὰς ἄνδρα ἕκαστον,
Μηκέτι νῦν εὐδοντες ἀωτεῖτε γλυκὺν ὕπνον·
Ἀλλ' ἴομεν· δὴ γάρ μοι ἐπέφραδε πάντια Κίρκη.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Οὐδὲ μὲν ἔνθεν ἄπημονας ἦγον ἑταίρους·
Ἐλπήνωρ δέ τις ἦεν νεώτατος, οὐδέ τι λίην
Ἄλκιμος ἐν πολέμῳ, οὔτε φρεσὶν ἆσιν ἀρηρώς,
Ὅς μοι ἄνευθ' ἑτάρων, ἱερῶις ἐν δώμασι Κίρκης,
Ψύχεος ἱμείρων καλεκάλετο οἰνοβαρείων·
Κινυμένων δ' ἑτάρων ὅμαδον ἠ δοῦπον ἀκούσας,
Ἐξαπίνης ἀνόρουσε, ἠ ἐκλάθετο φρεσὶν ἆσιν
Ἄψορρον καταβῆναι, ἰὼν ἐς κλίμακα μακρήν·
Ἀλλὰ καλαυλικρὺ τέγεος πέσεν· ἐκ δέ οἱ αὐχὴν
Ἀστραγάλων ἐάγη, ψυχὴ δ' ἄϊδόσδε κατῆλθεν.

" Ipse interea gladio acuto exerto à fœmore
" Sedeas, neque permitte mortuorum imbecillia capita
" Ad sanguinem propè accedere, antequam Tiresiam audieris.
" Hic tibi statim vates adveniet, ô dux populorum,
" Qui utique tibi dicet viam & modum viæ,
" Reditumque, ut per pontum proficiscaris piscosum.
Sic dixit, statimque aureâ sede advenit aurora:
Me verò chlænamque, tunicamque, vestes induit:
Ipsa autem candidam togam ingentem induit Nympha
Tenuem & venustam, zonâque cinxit lumbos
Pulchrâ, aureâ; capitique imposuit flammeolum.
Cæterùm ego per domum vadens excitavi socios,
Mollibus verbis astando, virum unumquemque:
" Nè amplius nunc dormientes indulgete dulci somno;
" At eamus: jam enim mihi indicavit *omnia* veneranda Circe.
Sic dicebam, illis verò persuasus est animus generosus.
Neque sanè illinc illæsos abduxi socios:
Elpenor enim quispiam erat junior natu, neque valde
Fortis in bello, neque mente suâ aptus,
Qui separatim à sociis, sacris in ædibus Circes,
Refrigerium cupiens dormivit benepotus:
Sese autem moventium sociorum strepitum & tumultum cùm audiisset
Repente surrexit: & oblitus est mente suâ
Retroversùm descendere, veniens ad scalam longam.
Sed pronè de tecto decidit; ejus autem cervix
Ex junctûris fracta est; animaque ad inferos descendit.

ΣΧΟΛΙΑ.

537. Ἆσσον.] Πλησίον.
543. Ἀργύφεον.] Λευκόν.
544. Ἰξυΐ.] Ὀσφύϊ.
545. Καλὴν χρυσείην.] Κεφαλήδεσμον.
546. Ὤτρυνον.] Προέτρεπον, διήγειρον.
548. Ἀωτεῖτε.] Ἀπανθίζετε τὸ ὕπνον.
553. Ἀρηρώς.] Ἡρμοσμένος.
555. Ψύχεος ἱμείρων.] Ἀναψύξαι θέλων τὸ πνίγος.
καὶ τῷ μέθῳ ἐπιθυμῶν τὸ αὔρας. Ψύχος.] Ψύχους, τὸ αὔρας. Ἱμείρων.] Ἐπιθυμῶν. Καπλίξας.] Ἐκατηύδησεν, κατηγόρησε.
556. Κινυμένων.] Κινουμένων.
558. Ἄψορρον.] Ὀπισθόρμητον. * Καταβῆναι.] Ὑπερωϊόθεν.
559. Ἀντικρύ.] Καπυθύ. Τέγεος.] Οἴκου. Αὐχήν.] Ὁ τράχηλος.
560. Ἀστραγάλων.] Σφονδύλων.

NOTÆ IN SCHOLIA.

558. Καταβῆναι) Ὑπερωϊόθεν. Hoc *Scholion*, quod malè olim aderat ad v. 432. rectiùs huc movendum.

VARIÆ LECTIONES.

559. Καταυλικρὺ) γρ. κατ' ἀντικρὺ, *Br. Schol.*

Ἔρχο-

Ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔειπον,
Φάσθε νύ πω οἰκόνδε φίλιον ἐς πατρίδα γαῖαν
Ἔρχεσθ'· ἄλλιον δ' ἡμῖν ὁδὸν τεκμήρατο Κίρκη
Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο.
Ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ·
Ἕζόμενοι δὲ κατ' αὖθι γόων, πίλλοντό τε χαίτας.
Ἀλλ' οὐ γάρ πως πρῆξις ἐγίνετο μυρομένοισιν.
Ἀλλ' ὅτε δὴ ῥ' ἐπὶ νῆα θοὴν καὶ ἐπὶ θῖνα θαλάσσης
Ἤϊομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες,
Τόφρα δ' ἄρ' οἰχομένην Κίρκη παρὰ νηῒ μελαίνῃ
Ἀρνειὸν κατέδησεν ὄϊν, θῆλύν τε μέλαιναν,
Ῥεῖα παρεξελθοῦσα· τίς ἂν θεὸν οὐκ ἐθέλοντα
Ὀφθαλμοῖσιν ἴδοιτ', ἢ ἔνθ', ἢ ἔνθα ἰόντα;

Venientes autem hos ego sermones alloquutus sum,
" Existimatis fortassis domum charam ad patriam terram
" Venturos: aliam verò nobis viam prædixit Circe
" Ad Plutonis domum, & severæ Proserpinæ,
" Animam consulturos Thebani Tiresiæ.
Sic loquutus sum; illisque confractum est charum cor.
Desidentes autem illic flebant, evellebantque crines:
Sed neque sic ullum remedium succurrebat lugentibus.
Verùm quando jam ad navem celerem & littus maris
Ivimus tristes, calidas lachrymas profundentes;
Interea adveniens Circe ad navem nigram,
Mascalam alligârat ovem, fœmellamque nigram,
Facile oculos nostros eludens; quisnam deum nolentem
Oculis videret, aut huc, aut illuc euntem?

ΣΧΟΛΙΑ.

563. Τεκμήραθο.] Διεσημήναθο.
567. Γόων.] Ἐθρήνων.
568. Πρῆξις.] Ἡ πρᾶξις. Μυρομένοισιν.] Ὀδυρομένοις.
571. Οἰχομένην.] Ἀπελθοῦσαν.
573. Παρεξελθοῦσα.] Λάθρα ποιήσασα.

NOTÆ.

563. Ἧμιν) Ità omninò, pro ἡμῖν, scribendum, *Carminis* causâ; ut ad *Anacreon.* v. 903.

568. Ἀλλ' οὐ γάρ πως πρῆξις) Vid. suprà, ad v. 202.

VARIÆ LECTIONES.

563. Φάσθε) γρ. φᾶσθε. *Ibid.* Ἧμιν) γρ. ἡμῖν, non æquè benè.
565. Χρησομένους) γρ. χρησομένοις.
567. Καθαῦθι) γρ. καθ' αὖθι.
568. Ἀλλ' οὐ γάρ πως) γρ. ἀλλ' οὐκ ἄρ πως, vid. ad *Textum*.
571. Τόφρα δ') γρ. τόφρα δή.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ
ΟΔΥΣΣΕΙΑΣ
ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Λ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Λ'.

Ἀπαγγέλλει, πῶς κατῆλθε Κίρκης σὺν τοῖς εἰς ᾅδου κατῆλθεν· καὶ ὡς ἤκουσε Τειρεσίου, ἃ μάντεως, περὶ τῆς ἰδίας καὶ τῶν ἄλλων σωτηρίας· καὶ ὡς τὰς ψυχὰς τῶν ἡρωΐδων εἶδεν ἐν ᾅδου, καὶ τὴν μητέρα, καὶ εἰς Ἴλιον συμπολεμήσαντων εἶδεν, καὶ τῶν ἐν ᾅδου κολαζομένων τινας.

Ἐπιγραφή.

* Νεκυΐα) γρ. Νεκυΐα, ἢ Νεκύα, ut *Eustath.* fol. 1950. lin. 64.

Νεκυομαντεία· ἢ, * Νεκυΐα.

Ἄλλως.

Λαμβδα δ' ἐν Ἅιδαο ψυχαῖς ἐπιτύχαν' Ὀδυσεύς. Lib. XI.

Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν, ἠδὲ θάλασσαν,
Νῆα μὲν ἀρ πάμπρωτον ἐρύσαμεν εἰς ἅλα δῖαν·
Ἐν δ' ἱστὸν πτήμεθα καὶ ἱστία νηῒ μελαίνῃ·
Ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν· ἐν δὲ καὶ αὐτοὶ
Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
Ἡμῖν δ' αὖ κατόπισθε νεὼς κυανοπρῴροιο
Ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,

Cæterum postquam ad naves venimus & mare,
Navem quidem omnium primùm deduximus in mare divinum:
Malumque imposuimus & vela navi nigræ;
Intra verò pecora accepta induximus; intro & ipsi
Conscendimus tristes, uberes lachrymas profundentes.
Nobis deinde à posteriori parte navis nigræ proræ
Secundum ventum immittit, implentem velum, bonum socium,

Σχόλια.

3. Ἐν δ' ἱστὸν πτήμεθα.] Οὐχ ἁπλῶς ἐνεθήκαμεν τῇ νηΐ, ἀλλὰ μὴ τὸ ἧσσαν τὸ ἱστὸν, καὶ ἁπλῶσαν τὰ ἱστία, οἷον εὐτρεπίσαμεν.

4. Ἐβήσαμεν.] Εἰσεβιβάσαμεν.

5. Βαίνομεν.] *Εἴαμεν, ἐβαίνομεν.

7. Ἴκμενον.] Ἰκματίδη, ὑγρόν. Πλησίστιον.] Πλῆρες ὄντα τὸ ἄρμενον. Ἑταῖρον.] Νῦν, τὸ συνεργόν.

Notæ.

V. 2. Ἐρύσαμεν εἰς ἅλα δῖαν) Idem Versus, δ'. v. 577. Verùm utrobique suspicor legendum, ἐρέσσομεν εἰς ἅλα δῖαν· ut è contrà, ubi ἤπειρόνδε sequitur hoc verbum, tunc ἐρύσομεν legendum. Contrà quidem statuit *Aristarchus*, ut notamus ad ι'. v. 73. undè certè id constat; quòd hæ voces invicem soleant confundi. Quare omninò hoc in loco debet ἐρέσσομεν inter *Var. Lection.* reponi.

7. Πλησίστιον, ἐσθλὸν ἑταῖρον) Ἄνεμον καλὸν, τοῖς πλέουσιν ἐσθλὸν ἑταῖρον καλεῖ· ὡς καὶ Φόρμιγγος, Ἐν δὲ τῇ φόρμιγγι Ἠπύῃ· ἣν ἄρα δαιτὶ θοῇ σύνεσαν ἑταῖραι. *Odyss.* ρ'. v. 270. καὶ, Θεσπεσίῃ ἔχε Φῦζα, Φόβος κρυόεις δὲ ἑταῖρος, *Iliad.* ι'. v. 2.

Notæ in Scholia.

96. Φόρκυνος δή τις ἐστὶ λιμὴν) *Virgil.* Æn. l. 1. v. 163. *Inſula Portum Efficit, objectu laterum.* Vid. *Macrob.* l. 5. c. 3. *Turneb.* Adverſar. l. 18. c. 32.

98. Ἀπορρῶγες) Vid. *Etymolog.* M. v. Ἀπορρώξ, & Ἀπόρρωγες.

101. Νῆες εὐσταμοι) Hanc *veram* in hujuſmodi Vocibus & antiquam *Lectionem* paſſim probo. Sic *Iliad.* ε'. v. 725. Χάλκεαι ἱπποσόλοι, προσαερόπται, ἅμα-

μα ἰδνῶν. Sic *Heſiod. Herc.* ſcut. v. 273. — ἐϋσσώτρου ἀπ' ἀπήνης. Sic in ἱπποσία, ἱποσύα, ut ad π'. v. 4.

103. Ἀγχόθι δ' αὐτῆς ἄντρον — ἱερὸν Νυμφάων) Imprimis adeundus *Porphyrius*, περὶ ἄντρου Νυμφῶν, & *Euſtath.* fol. 507. lin. 14. Doctor *Stephanus*, ad *Homeri Ogilbaan.* fol. 187. *Spencerus* noſtras Poeta, in Poemate ſuo, *Faiery Queen* dicto, quem accuratè explicat Vir Cl. Ds. *Kenelmus Digby*, in Epiſtolarum Politicarum Cabalâ.

NOTÆ IN SCHOLIA.

93. * Φωσφόρος) Ex *Homero*, χ'. v. 318.

96. * Ἀγυμνίῃ) Ità, pro corrupto Ἀγυνίῃ, lego, ex MSto. in quo tamen malè locatur hoc *Scholion*, ad hujus *Rhapſodiæ* principium, fol. 343. cum lo-cum rectiùs poſtularet hunc, ad fol. 346. Pejus tamen in pluribus *Editionibus* deeſt. Pro κάτω, lego * καθ' ὃν, Senſu ſuffragante. Pro * ἀμφ', lego ἀφ'.

VARIÆ LECTIONES.

101. Εὐσταμοι) γρ. ἐϋσταμοι, vid. Not. in *Textum*.

104. Ἱερὸν) γρ. ἱερὸν, *Porphyr.* περὶ νυμφῶν ἄντρου verùm & hic, & infrà, v. 348. ἱερὰ, in Omnibus.

Λάϊνοι· ἐνθάδ' ἔπειτα πιθαυβώσουσι μέλισσαι.
Ἐν δ' ἰοὶ λίθεοι θεσμήκεες, ἔνθα τε Νύμφαι
Φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι.
Ἐν δ' ὕδατ' ἐναόνια· δύω δέ τέ οἱ θύραι εἰσίν·
Αἱ μὲν πρὸς Βορέαο, καταιβαταὶ ἀνθρώποισιν,
Αἱ δ' αὖ πρὸς Νότου, εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
Ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
Ἔνθ' οἵγ' εἰσέλασαν, πολὺν εἰδότες· ἦ μὲν ἔπειτα
Ἠπείρῳ ἐπέλεσεν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης,
Σπερχομένη· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρεταόων.
Οἱ δ' ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε,
Πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν,
Αὐτῷ σύν τε λίνῳ, ᾧ ῥήγεϊ σιγαλόεντι,
Κὰδ' δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ.
Ἐκ δ' ὄχεα κάλλιστα ἄειραν, ἃ οἱ Φαίηκες ἀγαυοὶ
Ὤπασαν οἴκαδ' ἰόντι, μετὰ μεγάθυμον Ἀθήνην.
Καὶ τὰ μὲν ἂν θεῷ πυθμὴν ἐλαίης ἀθρόα θῆκαν

Lapideæ; ibi verò præterea mellificant apes.
Intùs etiam telæ lapideæ prælongæ, illícque Nymphæ,
Velamina texunt cærulea, mirabile visu.
Intùs quoque aquæ perpetuæ, duæque ei januæ sunt;
Hæ quidem ad Boream permeabiles hominibus:
Illæ autem rursus ad Notum, sunt sanctiores; neque illâc
Viri intrant; sed immortalium via est.
Hùc illi invecti-sunt, priùs quàm scirent: hæc quidem postea
Terræ appulit, quantum ad dimidium totius i. e. *dimidiâ suî parte*,
Concitata: talium enim impellebatur manibus remigum.
Hi igitur ex navi egressi benè-transtratâ in terram,
Primùm Ulyssem concavâ ex nave sustulerunt,
Ipso cumque lineo, & culcitrâ splendidâ:
Atque in arenâ deposuerunt, captum somno.
Res autem extulerunt, quas Phæaces illustres
Dederant domum eunti, propter magnanimam Minervam.
Et has quidem porrò apud radicem olivæ cumulatas posuerunt

ΣΧΟΛΙΑ.

106. Τιθαιβώσουσιν.] Ἀποπῆγαι, πλὴν βόσει, ὅ ἐστι τὸ μέλι· οἷον θησαυρίζουσι τὰ κηρία, ἢ * νεοπλοκοφθεῖσι.

107. Λίθεοι.] Λίθινοι.

109. Ἀναόνια.] Ἀεὶ ῥέοντα.

110. Καταιβαταὶ ἀνθρώποισι.] Βάσιμοι, δι' ὧν καταβάσεις ἐστὶν ἀνθρώποις.

111. Θεώτεραι.] Θειότεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται.

116. Βάντες.] Ἐκβάντες, ἐξελθόντες. Ἐϋζύγου.] Εὖ συνεζευγνυμένης.

117. Ἄειραν.] Ἐκόμισαν.

119. Κὰδ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν.] Οὐ λέγουσιν αὐτὸν, παρὰ δὲ μὴ δοκεῖν χαίρειν τῇ παραπομπῇ ἀπαιτεῖν· ἢ ἵνα μὴ καθυφεθῶσιν ὑπ' αὐτοῦ ἢ ὅπως φησὶ νόμησεν ἀφ' ὧν ἐξῆς ἀνήγετο γὰρ ὑπὸ τῆ μνηστῆρων, φανερῶς καλῶν.

122. Πυθμένα.] Ῥίζαν.

NOTÆ.

108. Φάρε' ὑφαίνουσιν — θαῦμα ἰδέσθαι) Ità *Psalm.* 139. v. 13. 14. &c. Φοβερὰς & θαυμαστῶς ἐγνώσθην.

110. Ἃ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν) Huc refer illud *Orphei*, Ἀντλίη τε, Δύσις τε, θεῶν ὁδοὶ ἐρατειῶναι, *Euseb.* Præparat. Evangel. l. 3. c. 9. Per *Capricornum* fingunt *Platonici*, *Animas Corpore solutas*, *in Cœlum* ascendere. De quâ re vid. *Cœl. Augustin. Curionem*, in Hieroglyph. apud *Pierium*, fol. 436. F. & Epistol. Dr. *Fryar*, VIII. fol. 421. Verùm ex ipsis *Platonicis* contrarium profert *Cœl. Rhodigin.* Antiqu. Lect. l. 15. c. 23. Scribunt, inquit, *Platonici*, & in Naturalibus non prætermisit *Macrobius*, *Capricornum*, *Cancrumque* dici à *Physicis*, Solis Portas. Quià in utroque obviante Solstitio, ulteriùs Solis inhibeatur accessus. Per has item Portas, Animas de Cœlo in Terras meare, rursumque de Terris Cælestia repetere; proindeque *Hominum* Unam dici, alteram *Deorum*. *Hominibus* dicari *Cancrum*, quia per hunc fiat ad ima defluxus; *Diis* verò *Capricornum*, quià illac postliminiò Cælestibus Animæ restituantur sedibus, &c. *Mox*, Adde, quòd *Boream* tradunt Generationi percommodum; quo fit, ut Morientes Spiritu credatur excitare, &c. quibus ultimis verbis alludit ad locum *Iliad.* ϛ'. v. 697. ubi *Sarpedon* ex deliquio recreatur, à *Boreâ*.

NOTÆ IN SCHOLIA.

106. * Νεοπλοκοφθεῖσι) Ità emendo, pro *Schrevelii* corrupto νεοπλοεφθεῖσι, ex MSto *Aloysii*, *Aldini*, *Morrhii* & *Bedroti* Editt.

VARIÆ LECTIONES.

109. Ἀναόνια) γρ. αἰναόντα, *H. Steph.*

115. Τοίων) γρ. τοῖον, *H. Steph.*

Ἐκτὸς ὁδῦ, μή πού τις ὁδιζάων ἀνθρώπων,
Πρίν γ' Ὀδυσῆ ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο.
Αὐτοὶ δ' αὖτ' οἶκόνδε πάλιν κίον· αὐδ' Ἐνοσίχθων
Λήθεθ' ἀπειλάων, τὰς ἀντίθεον Ὀδυσῆι
Πρῶτον ἐπιπείλησε· Διὸς δ' ἐξείρετο βουλήν,
Ζεῦ πάτερ, οὐκέτ' ἔγωγε μεθ' ἀθανάτοισι θεοῖσι
Τιμήεις ἔσομαι, ὅτε μὲ βροτοὶ οὔτι τίουσι
Φαίηκες, τοί πέρ τοι ἐμῆς ἐξ εἰσὶ γενέθλης.
Καὶ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
Οἶκαδ' ἐλεύσεσθαι· Νόστον δέ οἱ οὔποθ' ἁπούρων
Πάσχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο, καὶ κατένευσας.
Οἱ δ' εὐδοντ' ἐν νηὶ θοῇ ἐπὶ πόντον ἄγουσες
Κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν,
Πολλ', ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξ ἤρατ' Ὀδυσεύς,
Εἴπερ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ λημίδος αἶσαν.
Τόνδ' ἀπαμφόμενος προσέφη νεφεληγερέτα Ζεύς,
Ὤ πόποι, Ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔειπες;
Οὔπω σ' ἀπιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
Πρεσβύτατον καὶ ἄριστον ἀπιμήσειν ἀλλέων.
Ἀνθρώπου δ' εἴπερ τις τε βίῃ καὶ κάρτεϊ εἴκων
Οὔπω πέσει, σοὶ δ' ἔπι καὶ ἐξοπίσω πόσις αἰέν.
Ἔρξον, ὅπως ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ.

Extrà viam; ne aliquis viatorum hominum,
Antequam Ulysses expergisceretur, offendens violaret.
Ipsique adeò retrò domum *versus* redierunt: neque Neptunus
Oblitus est minarum, quas divino Ulyssi
Priùs minatus erat: Jovis tamen *prius* rogavit sententiam,
" Jupiter pater, non ampliùs ego in immortalibus Deis
" Honoratus ero, quandò me mortales minimè honorant
" Phæaces, qui tamen meo orti sunt ex genere.
" Etenim nunc Ulyssem dicebam mala multa passum
" Domum iturum; reditum verò illi nunquam eripui
" Omninò, quoniam tu primùm promisisti, & annuisti.
" Hi autem dormientem in navi veloci in pontum ducentes
" Deposuerunt in Ithacâ, dederuntque ei ingentia dona,
" Æsque, aurúmque multum, vestémque textam,
" Multa, quot nunquam Trojâ extulisset Ulysses;
" Si incolumis venisset sortitus de prædâ portionem.
Huic respondens affatus est nubicogus Jupiter:
" Vah! Neptune late-potens, quale dixisti?
" Non te despiciunt Dii; difficile etenim esset
" Maximè-seniorem, *post Jovem*, & optimum ignominiâ prosequi.
" Virorum autem si quis te vi & robore cedens
" Non colit, tibi est & posthac ultio semper:
" Fac, ut vis, & tibi jucundum est animo.

ΣΧΟΛΙΑ.

123. Ὁδιτάων.] Ὁδοιπόρων.
124. Ἔγρεσθαι.] Ἀναστῆναι. Δηλήσαιτο.] Βλάψειε, ἀντὶ τοῦ ἀφέλῃ.
129. Τιμήεις.] Τίμιος. Τίουσι.] Τιμῶσιν.
130. Ἐμῆς ἔξεισι γενέθλης.] Ἐν ἄλλῃ παντὶ· ὁ μὲν Φαίαξ, Ποσειδῶνος καὶ Κορκύρας, τοῦ Ἀσωποῦ.
132. Ἀπούρων.] Ἀντὶ τοῦ, ἀφειλόμην.
133. Ἐπὶ σὺ πρῶτον.] Χρονικῶς.
136. Ἄλις.] Ἱκανῶς.
137. Ἐξήρατο.] Ἐξαίρετα ἔλαβεν.
142. Πρεσβύτατον.] Ἐνταῦθα· * ἢ μᾶλλον τὸν Δία· ἀλλαχοῦ μὲν λέγει, Ἄλλα Ζεὺς πατὴρ * γενέτωρ· Ἄριστον.] Δυνατώτατον. Ἰάπτειν.] Πεπλανῆσθαι, διδύναι, σκοπίσαι.
143. Βίῃ καὶ κάρτεϊ εἴκων.] Νικώμενος καὶ ὑπὸ τοῦ ἑαυτοῦ βίας, ἢ τοῦ ἰσχύος· ὥστε ἀφ' οὗ τοῦτο ἐξυβρίζει.
144. Τίει.] Τιμᾷ.

NOTÆ.

130. Ἐμῆς ἔξ εἰσι γενέθλης) Hæc potior *Scriptio*, quàm ἐμῆς ἔξεισι, quod sæpe notamus. Vid. ad ν'. v. 406.
136. Ἄλις, ἐθέλῃσθ' ὑφαντήν) Vid. supra, ad v. 51.

NOTÆ IN SCHOLIA.

132. Ἀπούρων) Hoc *Scholion* malè ad præcedens jungebatur, in Prioribus. Ἀπύρων, *Aldin.*
142. Voces, * ἢ μᾶλλον τὸν Δία, Addo. * Γενέτωρ) Ità pro ἰηγενέτης, ex ipso *Homero*, *Iliad. ν'.* v. 355.

VARIÆ LECTIONES.

130. Ἐξ εἰσὶ) γρ. ἔξεισι, vid. Not. in *Textum*.
132. Ἀπούρων) γρ. ἀπῦρον, *Br. Schol. & H. Steph.*
137. Τροίης ἐξ ἤρατ') γρ. Τροίης ἐξήρατ', vid. suprà, ad v. 130.

Τόνδ' ἠμείβε' ἔπειτα Ποσιδάων ἐνοσίχθων,
Αἶψά κ' ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι, ἠδ' ἀλεείνω.
Νῦν αὖ Φαίηκων ἐθέλω θοὴν ἁλαλκέα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
Ῥαῖσαι· ἵν' ἤδη χῶν), ἀπολήξωσι δὲ πομπῆς
Ἀνθρώπων· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Τόνδ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς,
Ὦ πέπον, ὡς μοὶ ἐμοὶ θυμοὶ δοκεῖ εἶναι ἄριστα,
Ὁππότε κεν δὴ πάντες, ἐλαυνομένην προσιδόντες
Λαοὶ ἀπὸ πτόλιος, θοὴν λίθον ἐγγύθι γαίης
Νηῒ θοῇ ἴκελον, ἵνα θαυμάσσωσιν ἅπαντες
Ἄνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσιδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν.
Ἔνθ' ἔμενε· ἡ δὲ μάλα σχεδὸν ἦλυθε πομπήιος νηῦς
Ῥίμφα διακομέουσα· τὴν δὲ σχεδὸν ἦλθ' Ἐνοσίχθων,
Ὃς μιν λᾶαν ἔθηκε, καὶ ἐρρίζωσεν ἐνερθε,
Χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι ναυσίκλυτοι ἄνδρες·
Ὥδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ὤμοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ,

Huic respondit postea Neptunus quassator-terræ,
" Statim utique ego fecero, Nubium-coactor, sicut dicis;
" Sed tuum semper animum observo, & vereor.
" Nunc itaque Phæacum volo perpulchram navem
" Ex Deductione redeuntem in nigro ponto
" Perdere (ut jam abstineant, desistantque à deductione
" Hominum) magnúmque ipsis montem urbi imponere.
Huic respondens affatus est nubicogus Jupiter,
" O Chare, sic quidem meo animo videtur esse optimum,
" Cùm jam omnis incitatam intuebitur
" Populus ab urbe, *tum* facere lapidem propè terram
" Navi veloci simílem, (ut admirentur omnes
" Homines) magnum autem ipsis montem urbi circumdare.
At postquam hoc audivit Neptunus quassator-terræ
Ingressus est iter in Scheriam, ubi Phæaces erant,
Illic ut esset, *vel*, ibi manebat; at valdè propè venit navigatrix navis
Celeritèr remigando-acta; hanc igitur pè venit Neptunus,
Qui ipsam lapidem fecit & radicavit infernè,
Manu pronâ feriens: hic verò recessit.
Ast inter se verba velocia loquebantur
Phæaces longorum-remorum navibus-inclyti viri;
Sic itaque aliquis dixit intuens in propinquum alium,
" Heu, quisnam navem velocem ligavit in ponto,

ΣΧΟΛΙΑ.

148. Ὀπίζομαι.] Φυλάττομαι, αἰδοῦμαι, ὑπτιάτερα.
150. Ἀνιοῦσαν.] Ἀνερχομένην.
151. Ῥαῖσαι.] Διαφθεῖραι. Σχεδὸν.] Ἀπέχων. καλύσωσιν. Ἀπολήξωσι.] Παύσωνται.
157. Θαυμάσσωσιν.] Ὁρῶντες ἐκπλήττωνται.
163. Ἐρρίζωσεν.] Ἀκίνητον ἐποίησεν.
164. Καταπρηνεῖ.] Καταφερομένην. Ἐλάσας.] Τύψας, κρούσας.
168. Ἐπέδησεν.] Κατέσχεν, ὑπεπόδισεν.

NOTÆ.

157. Θαυμάσσωσιν) Ità, pro θαυμάσωσιν, scribo; de quâ re mox, ad v. 184. *Aldina* tamen *Scholia* legunt θαυμάζωσιν, ut & Editio *Morrhii* & *Bedroti*.
163. Ὃς μιν λᾶαν ἔθηκε) Præter Interpretes, vid. *Johannis Seldeni* Illustrationes, in *Michaelis Draytoni* Polyolbion, Cant. 3. fol. 49. & 50. ubi & de *Stanehenge*.

NOTÆ IN SCHOLIA.

168. * Ἐνεπόδισεν) Pro corrupto, ὑπεπόδησεν.

VARIÆ LECTIONES.

147. Κελαινεφὲς) γρ. διστρεφὲς, ut *Br. Schol.* ad *Iliad. i'.* v. 534.
151. Ἀπολλήξωσι) γρ. ἀπολήξωσι.
157. Θαυμάσσωσιν) γρ. θαυμάσωσιν, malè; θαυμάζωσιν, melius; vid. Not. in *Textum*.
161. Ἔμεν) γρ. ἴμεν', pro ἴμεναι, ut sit Sensus, *Ibi expectabat*, &c.

Οἴκαδ'

Οἶκαδ' ἐλαυνομένην; ἡ δὴ πρὸφαίνετο πᾶσα.
Ὣς ἄρα τις εἶπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν,
Ὦ πόποι, ἦ μάλα δὴ με παλαίφατα θέσφαθ' ἱκάνει
Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
Ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.
Φῆ ποτε Φαιήκων ἀνδρῶν θοὴν ἀκάμαντα νῆα
Ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέϊ πόντῳ
Ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψαι.
Ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦ πάντα τελεῖται.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
Ἡμέτερον πρὸς ἄστυ· Ποσειδάωνι δὲ ταύρους
Δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
Μή ποτ' ἐπὶ ἡμῖν θείμεν ὄρος μέγα πόλει ἀμφικαλύψαν.
Ὣς ἔφατ'· οἱ δ' ἔδδεισαν, ἐτοιμάσαντο δὲ ταύρους·
Ὣς οἱ μὲν ῥ' εὐχοντο Ποσειδάωνι ἄνακτι
Δῆμοι Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἑστῶτες περὶ βωμόν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς,
Εὗδεν δ' ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
Ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεύεν,

" Domum versùs incitatam? & jam apparebat tota.
Sic utique quis dixit; hæc autem non intelligebat, quomodo facta essent.
His Alcinous concionatus est, & affatus,
" Dii Boni! Certè me valdè nunc antiqua Vaticinia attingunt
" Patris mei, qui dixit Neptunum iratum fore
" Nobis, quoniam Deductores innocui sumus omnium:
" Dixit aliquando Phæacum virorum perpulchram navem
" Ex Deductione redeuntem in nigro ponto
" Perditurum, magnúmque nobis montem urbi impositurum.
" Sic dixit senex, hæc autem jam nunc omnia perficiuntur:
" Sed agè, sicut ego dicam, parete omnes.
" Deductionem quidem omittite hominum, cùm fortè quis veniat
" Nostram ad civitatem: Neptunoque tauros
" Duodecim electos sacrificemus, si misereatur,
" Neque nobis ingentem montem urbi imposuerit.
Sic dixit; hi autem metuerunt, paraverunt tamen tauros.
Sic hi quidem supplicabant Neptuno regi
Populi Phæacum duces & curatores,
Stantes circùm altare. Excitatus est autem divinus Ulysses,
Recubans in terrâ patriâ, neque ipsam cognovit,
Jam diù remotus: circùm enim Dea nubem fudit,

ΣΧΟΛΙΑ.

169. Πρὸφαίνετο.] Πεφανὴς ἦν.
170. Οὐκ ἴσαν.] Οὐκ ᾔδεισαν.
173. Ἀγάσασθαι.] Ἄγαν ὀργισθῆναι.
182. Κεκριμένους.] Ἐπιλέκτους.
183. Περὶ μὲν ἡμῖν ὄρος.] Μέγα. Ἀμφικαλύψῃ.] Περικαλύψῃ.
185. Ὣς οἱ μὲν ῥ' εὐχοντο.] Καθὰ τὸ σιωπήσωσιν ἀφανισθήσεται· τὸ γὰρ κυρωθήσεται ὑπὸ θεῶν, ἐξ ἀνάγκης πληρῶται.
189. Ἀπεών.] Ἀπὼν, ἀποδημῶν. Χεῦεν.] Κατέχειν.

NOTÆ.

170. Ὡς ἄρα τις εἶπεσκεν) Vid. ad *Iliad.* β'. v. 271.

177. Μέγα δ' ἧμιν ὄρος) De retracto Circumflexo, vid. ad *Anacreon*, v. 903. & ad *Sophocl.* Ajac. v. 748.

184. Ἐτοιμάσαντο δὲ ταύρους) Ubi *Vocalis*, ante *simplex* σ', corripitur *Naturâ*, σ', *duplicandum* censeo, ut in hâc voce, *Iliad.* τ'. v. 197. Κάπρου ἐτοιμασσάτω τεμέσσαι Διΐ τ', Ἠελίῳ τε. Et *Iliad.* α'. v. 118. Αὐτὰρ ἐμοὶ γέρας αὐτὸς ἐτοιμάσαι', ὄφρα μὴ οἶος. Quare ubi eadem *Syllaba* producenda, ex necessitate geminatur Litera; ut *Iliad.* κ'. v. 571. Θὴν' Ὀδυσῆος, ὄφρ' ἐρὼν ἐτοιμασσάμεθ' Ἀθήνῃ. Et hoc in Optimis & Vetustissimis *Iliados Exemplaribus*; quare & hìc fiat idem, ob eandem causam; ut & suprà. v. 157. & aliàs.

188. Πατρωΐῃ) In Pluribus olim πατρώῃ. at cùm *Homerus* Incontractis libentius utatur, & rotundius ità sonet Metrum, πατρωΐῃ scribendum duximus, alterâ *Lectione*, in *Variis* reservatâ, ut & mox, v. 251.

VARIÆ LECTIONES.

173. Ἀγάσασθαι) χ. ἀγάσεσθαι, & *Futurum* designatur.

184. Ἐτοιμάσαντο) χ. ἐτοιμάσατο, vid. Not. in *Textum*.

188. Πατρωΐῃ) χ. πατρώῃ, vid. Not. in *Textum*.

190 Παλλὰς Ἀθηναίη, κούρη Διός· ὄφρα μὲν αὐτὸν
Ἄγνωστον θύξειεν, ἕκαστά τε μυθήσαιτο·
Μή μιν πρὶν ἄλοχός γε νοήσειεν, ἀστοί τε, φίλοι τὲ,
Πρὶν πᾶσαν μνηστῆρσιν ὑπερβασίην ἀποτῖσαι.
Τοὔνεκ' ἄρ' ἀλλοιοίδεα φαινέσκετο πάντα ἄνακτι,
195 Ἀτρεπτοί τε δηναιέες, λιμένες τὲ πάνορμοι,
Πέτραι τ' ἠλίβατοι, καὶ δένδρεα τηλεθόωντα.
Στῆ δ' ἄρ' ἀναΐξας, καί ῥ' εἰσίδε πατρίδα γαῖαν·
Ὤϊμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὡ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσι· ὀλοφυρόμενος δ' ἔπος ηὔδα,
200 Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
Πῆ δὴ χρήματα πολλὰ φέρω τάδε; πῆ δὲ καὶ αὐτὸς
Πλάζομαι; αἴθ' ὄφελον μεῖναι αὐτοῦ Φαιήκεσσιν
205 Αὐτῷ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
Ἐξικόμην, ὅς κέν μ' ἐφίλησι καὶ ἔπεμπε νέεσθαι.
Νῦν δ' οὔτ' ἄρ πη θέσθαι ἐπίσταμαι, οὐδὲ μὰ αὐτῷ
Καλλείψω, μήπως μοὶ ἔλωρ ἄλλοισι γένηται.
Ὤ πόποι, ὄρα ἄρα πάντα νοήμονες, οὐδὲ δίκαιοι
210 Ἦσαν Φαίηκων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦτέ μ' ἔφαντο
Ἄξειν εἰς Ἰθάκην εὐδείελον· οὐδ' ἐτέλεσσαν.
Ζεὺς σφέας πήσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους

Pallas Minerva, filia Jovis, ut illum ipsum
Ignotum faceret, singulâque profaretur:
Ut non ipsum ante uxor cognosceret, civésque, amicíque,
Quàm omnem procis intemperiem rependeret.
Propterea variata videbantur omnia regi,
Viæque perpetuæ, portúsque contecti.
Petræque altæ & arbores virescentes.
Stetit igitur surgens, & inspexit, patriam terram,
Flevitque postea, & sua percussit femora,
Manibus dejectis, lugensque locutus est,
" O ego, quorumnam rursus hominum in terram venio?
" Nunquid injuriosique & crudeles, neque justi?
" An hospitales, & ipsis mens est sancta?
" Quò jam res multas porto has? quò autem & ipse
" Erro? utinam mansissem apud Phæaces
" Illic; ego utique ad alium magnanimorum regum
" Pervenissem, qui me dilexisset, & comites dedisset ad revertendum.
" Nunc autem neque usquam ponere scio, neque itidem illic
" Relinquam, ne quandò mihi prædæ aliis fiat.
" O Dii; Papæ! non enim omnia intelligentes, neque justi
" Erant Phæacum duces & curatores,
" Qui me in aliam terram abduxerunt; namque me dicebant
" Ductum iri in Ithacam claram; neque perfecerunt.
" Jupiter ipsos ulciscatur supplicum vindex, qui & alios

ΣΧΟΛΙΑ.

191 Ἄγνωστον.] Ἀφανῆ.
192. Γνοίη.] Ἴδοι, ἢ ἐπιγνοῖ. Ἀστοί.] Οἱ πολῖται.
193. Ὑπερβασίην.] Ὕβριν. Ἀποτῖσαι.] Ἀποδῶναι.
194. Ἀλλοιόδεα.] Ἀλλοῖα. Φαινέσκετο.] Ἐφαίνετο.
195. Ἀτρεπτοί.] Αἱ μὴ ἔχουσαι τροπὴν ὁδοῦ. Δηναιέες.] Μακραί. Πάνορμοι.] Σκέπην ἔχοντες πάντες ἀνέμων.
196. Τηλεθόωντα.] Ἄγαν θάλλοντα.

ΝΟΤΑ.

193. Ἀποτῖσαι) *Penultima* hujus Vocis, in *Infinitivo*, Naturâ longâ, quare *Circumflecto*, ut μ'. v. 378.
194. Τοὔνεκ' ἄρ' ἀλλοιόδεα φαινέσκετο) *Incontractim* ἀλλοιόδεα *Scribendum*, verùm in *Scansione*, quasi ἀλλοίδεα scriberetur, considerandum. Vid. ad β'. v. 346. & infrà, ad v. 200.

NOTÆ IN SCHOLIA.

204. Πλάζομαι) γρ. πλάγχθομαι, Editio *Aldina*.

204. Πλάζομαι.] Πλανηθῶ. Αἴθ' ὄφελον μεῖναι.] Τὰ χρήματα δηλονότι.
206. Ἐξικόμην.] Ἱκέτευσα.
207. Θέσθαι.] Θεῖναι, ἀποθέσθαι.
208. Καλλείψω.] Καταλείψω. Ἔλωρ.] * Ἐγκύρημα.
212. Οὐδ' ἐτέλεσσαν.] Οὐκ ἐπλήρωσαν.
213. Ἱκετήσιος.] Ἱκετῶν ἐπόπτης.

ΤΑ.

200. Ὤ μοι ἐγὼ· τέων αὖτε βροτῶν) Τὸ πῆσι Scribendum διουλαβῶς, verum Legendum μήτοσυλαβοῦς quasi ᾗ, & ponitur pro πῶν, *Interrogativè*. Vid. suprà, ad v. 194.
213. Ζεὺς σφέας πήσαιτο ἱκετήσιος) An, Ζεὺς σφῶς πήσαιθ';

SCHOLIA.

208. * Ἐγκύρημα) Ità, pro ἔγκυρμα, ex *Aldina* MS. κύρημα enim & ἔγκυρμα, *Poetica* sunt.

Ἀνάγρα-

Ἀνθρώπους ἐφορᾷ, κἠ πίνυθ', ὅς τις ἁμάρτῃ,
Ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω, κἠ ἴδωμαι,
Μή τί μοι οἴχωνθ' κοίλης ἐπὶ νηὸς ἄγοντες.
Ὡς εἰπὼν, τρίποδας περικαλλέας, ἠδὲ λέβητας,
Ἠείθμη, κἠ χρυσὸν, ὑφαντά τε εἵματα κεῖνα·
Τῶν μὲν ἄρ' ὔπη πόθῳ· ὁ δ' ὀδύρετο πατρίδα γαῖαν,
Ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
Πόλλ' ὀλοφυρόμενος· προσέθηκε δέ οἱ ἦλθεν Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ποιμνῶτορι μήλων,
Παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν,
Δίπλυχον ἀμφὶ ὤμοισιν ἔχοντ' εὐεργέα λώπην·
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσι πέδιλ' ἔχε, χερσὶ δ' ἄκοντα.

"Homines inspicit, & plectat, quicunque peccat.
"Verùm agè jam res numerem, & videam,
"Ecquid mihi *surreptum* discesserint concavâ in navi ferentes.
Sic dicens tripodas perpulchros & lebetes
Numerabat, & aurum, textásque vestes pulchras:
Horum quidem nihil desiderabat: hic tamen lugebat patriam terram,
Perreptans juxtà littus personantis maris,
Mustùm plorans; at propè eum venit Minerva,
Viro corpore similis juveni, pastori ovium,
Permolli, qualesque regum filii sunt,
Duplicem circa humerum habens pulchram vestem:
Pedibus verò sub teneris calceos habebat, manúque jaculum.

Σ Χ Ο Λ Ι Α.

214. Τίνυθ'.] Τιμωρεῖται.

215. Ἀλλ' ἄγε δὴ τὰ χρήματα.] Ἵνα τὸν γνώμιον * αὐτῶν Φαιάκων καθαιρεθῇ· εἰ γὰρ μηδὲν ἔλειπε τὰ χρήματα, ψευδὴς ἦν τὸ εἰς ἀποτέλειαν γῆς αὐτὸν ἀφῖχθαι· ἢ πιστεύσῃ τῷ δίσμῳ τὸ Κίρκης, ὅτι ἀλλ' τῶν ἴκελον, ἢ οἰκήσῃς μεμαθηκέναι αὐτὸς τὸ δίσμον.

216. Οἴχωνται.] Ἀπολωλύθασι. Ἄγοντες.] Ἀπάγοντες.

217. Περικαλλέας.] Ἄγαν εὐπρεπεῖς.

219. Πόθῳ.] * Ἐζήτει. Ὀδύρετο.] Ἀπεκλαίετο.

220. Ἑρπύζων.] Καθὰ τὸν αὐτὸν τόπον ἀναστρεφόμενος· ἢ ἕρπων, ἢ βαδίζων.

222. Νέῳ.] Νεωτέρῳ. Ἐπιβώτορι μήλων.] Ποιμενί, ἐπὶ τῶν βοσκημάτων πεφυλαγμένῳ.

223. Παναπάλῳ.] Τοιούτῳ ὁμοιότητι ὡς τὸ ἁρμοῦσαν τῇ Ὀδυσσέως· ὄφελε κἠ ἐπιφέρει, Ὀδυσσεῦς γήθησεν· παναπάλῳ ᾖ, ἁπαλῷ. Οἷοί τε ἀνάκτων παῖδες ἔασι.] Τὸ παλαιὸν κἠ οἱ τῶν βασιλέων παῖδες * παναπάλοι ἐκαλοῦντο, κἠ ἐποίμαινον.

224. Δίπλυχον.] Ἀντὶ τοῦ, διπλοῦν. Λώπην.] Ἱμάτιον, ὅτι περιβόλαιον· ἔνιοι κἠ λεπτοδύτης, ὁ τοῦτον ἀφαιρούμενος, λῃστής.

225. Ἔχε.] Ὑπεδέχετο.

N O T Æ.

222. Ἐπιβώτορι) Videtur *Hesychius* ἐπιβήτορι legisse, qui ità exponit, Ἐφιππασῆσι· οἱ γὰρ τὰ βασιλέων ἡμιόνους ἐπὶ τὰ κελῶν ἱππεύειν ἐμιώθασιν. Vid. *Petri Victorii* Var. Lect. l. 8. c. 9. *Johan. Meursius* ad *Lycophron.* v. 91. Rectè docet, Regium esse Antiquitus pecora pascere, ubi tamen *Scholia* non rectè movet, ut probamus in Notis ad *Scholia*, v. 223.

223. Οἷοί τε) Haud rarò *Phrasis*, οἷός τε, & οἷός τε εἰμὶ, dicitur elegantèr, pro δύναμαι, nunc simplicitèr, pro καὶ οἷοι, vel οἷοι δὴ, quod Observandum.

224. Εὐεργέα λώπην) Præter *Br. Schol.* vid. quæ Nos ad *Anacreon.* v. 1267. & v. 1272.

N O T Æ I N S C H O L I A.

215. * Αὐτῶν Φαιάκων) Pro αὐτῶ scribo αὐτῶν, ex MSto. & Φαιάκων addo, Lectoris causâ. Hunc locum alludit & explicat *Eustath.* fol. 513. lin. 7. Ἐξήλῳ Ὀδυσσεὺς ποιήσειν τοῦτο, ὁ σμικρολογούμενος, ἀλλὰ τερμαιρόμενος, τυτίσι σημείοις ἐντεθῆναι, περιζώμου· εἰ γὰρ μηδὲν τῶν χρημάτων ἐλέλειπεν, ἐδ' ἄρα εἰς ἀποτέλειαν γῆς αὐτὸν κατήγαγον· ἢ ἄλλως δὴ εἰπεῖν, εἰ καὶ τὰ χρήματα ἔπλασσον, ἐδ' ἄρα εἰς Ἰθάκην αὐτὸν ἤγαγον. Οὐ πιστεύῃ, φησὶν, ἐδὲ τῷ τῆς Κίρκης δίσμῳ ἀνεπιβουλεύτως ὄντι, ὡς ἢ ἀλλ' τῶν ἄγαν ἴκελον εἰκασθεὶς ἢ σκέψασθ' αὐτὸν, ἢ καὶ ὡς εἰκὸς, οἰκήσεις τὰς Φαιάκας μεμαθηκέναι καὶ αὐτὰς τὸ τοιοῦτον δίσμόν.

219. * Πόθῳ) Ἐζήτει· Ὀδύρετο) Ἀπεκλαίετο. Olim malè, Πόθῳ) Ἀπεκλαίετο. MS. Ἀπεζήτει. Cætera ex *Textu*.

222. Ἐπιβώτορι) Vid. Not. in *Textum*.

223. Παναπάλῳ) *Meursius* legit παναπάλῳ, satis subtilitèr; quam *Lectionem*, propter sequens ἐποίμαινον, *Veram* aliquis putârit; nisi Poeta ipse * παναπάλοι legendum ostendisset, illaque Vox sola per *Versum* stare posset. Vid. Not. in *Textum*.

V A R I Æ L E C T I O N E S.

214. Τίνυθ') κε. τίννυθ'.

222. Ἐπιβώτορι) κε. ἐπιβήτορι, vid. Not. in *Textum*.

223. Παναπάλῳ) κε. παναπάλῳ, vid. Not. in *Scholia*.

225. Χερσὶ) γε. χερσὶ, *H. Steph.*

Πλευ-

Τλώδ' Ὀδυσεὺς γήθησεν ἰδὼν, ᾗ ἀντίος ἦλθε,
Καί μιν Φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
Χαῖρέ τε, ᾗ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις·
Ἀλλὰ σάω μὲ ταῦτα, σάω δ' ἐμέ· σοὶ γὰρ ἔγωγε
Εὔχομαι, ὥς τε θεῷ, καί σῇ φίλα γούνατ' ἰκάνω.
Καί μοι ταῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς γῆ; τίς δῆμος; τίνες ἀνέρες ἐγγεγάασιν;
Ἦ πού τις νήσων θυδείελος, ἠέ τις ἀκτὴ
Κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Νήπιος εἶς, ὦ ξεῖνε, ἢ τηλόθεν εἰλήλουθας,
Εἰ δὴ τλώδε τε γαῖαν ἀνείρεαι· οὐδέ τι λίην
Οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
Ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ', ἠέλιόν τε,
Ἠδ' ὅσοι μετόπισθε πότι ζόφον ἠερόεντα.
Ἦτοι μὲν τραχεῖα, καὶ οὐκ ἰππήλατός ἐστιν,
Οὐδὲ λίην λυπρὴ, ἀταρ οὐδ' εὐρεῖα τέτυκται.
Ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, οὐδέ τε οἶνος
Γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει, τεθαλυῖά τ' ἔέρση.

Hanc Ulysses lætabatur conspicatu & obvius venit,
Et ipsam compellans verba velocia locutus est;
" O amice, postquam te primùm invenio hoc in loco,
" Salve, & neutiquam mihi malo animo occurreris.
" Sed serva hæc, serva etiam me, tibi enim ego
" Supplico, tanquam Deo, & ad tua chara genua accedo.
" Et mihi hæc dic verè, ut certò sciam,
" Quæ terra? quis populus? qui viri insunt?
" Num qua insularum amœna? an aliquod littus
" Jacet ad mare vergens fertilis continentis?
Hunc contrà affata dea cæsia-oculis Minerva:
" Stultus es, ô hospes, aut longè venisti;
" Siquidem hanc terram interrogas? neque enim usque
" Adeò ignobilis est, norunt eam valdè multi,
" Tam quicunque habitant ad Auroram, Solemque,
" Quàm quicunque ponè ad nocem obscuram.
" Certè quidem aspera, & non equitabilis est;
" Neque valdè sterilis, at neque læta est.
" Ibi etenim Triticum multum, ibi quoque Vinum
" Adest, sempérque pluvia habet illam virescensque ros:

ΣΧΟΛΙΑ.

228. Κιχάνω.] Καταλαμβάνω.
229. Ἀντιβολήσῃς.] Συναντήσῃς.
230. Σάω.] Σῶσον.
235. Κεκλιμένη.] * Περιεχομένη.
239. Νώνυμος.] Ἀνώνυμος.
241. Μετόπισθεν.] Εἰς τὰ ἑσπερία μέρη.
243. Οὐδὲ λίην λυπρή.] Οὐδὲ ὅλως ἀτερπής.
245. Τεθαλυῖα.] Θαλλοῦσα καὶ αὔξουσα τὰ φυτὰ, καὶ βύσσος· πῶς ἂν ἔνδροσος, εἰ οὐ ἠπείρου νήσῳ; ἢ δὲν κοινὸν καὶ οὐ Ἰθάκῃ. ἢ βύσσος, βοτανώδης πλάσις. * Ἔρση.] Δρόσος.

NOTÆ.

* Ita *Aldina* Editio.

244. Ἐν μὲν γάρ οἱ σῖτος) In pluribus *Exemplaribus*, pro οὐ, semper εὖ legitur, ut bis in hoc Versu, & semel, v. 247. nempe, in *Florentin. Aldinâ, Lovanian.* &c. Verùm *Eustath.* in *Textu* & παρεκβολαῖς, τὸ οὐ ubique retinet, ut & *H. Steph.* qui tamen εὖ inter *Var. Lect.* habent. In aliquibus semel tantùm εὖ occurrit, aut bis, toties quoque οὐ. Verùm ter, in omnibus, vel οὐ, vel εὖ, retinendum; οὐ tamen magis arridet.

NOTÆ IN SCHOLIA.

235. * Περιεχομένη) Ità pro corrupto περιρρεομένη, ex MS. *Aloysiano.*

245. Τεθαλυῖά τ' ἔέρση) Hoc *Scholion* benè explicat *Eustathius* fol. 514. lin. 44. Φασὶ δὲ οἱ Παλαιοὶ, ψευδεῖς τὸν ῥηθῆναι ἔπαινον· ἢ μὲν λέγειν τὴν Πανσ-

τὸν, οἷα ἐστὶν ἡ περιοικὰ αὐτῇ νῆσος, ἀλλ' οἵαν εἶναι χρὴ νῆσον εὐδαιμόνως οἰκουμένην· δῆλα δὲ τὰ ἄκαν ὑδρ βύσσος· ἡ νῆσος, εἶτα τὰ ἑξῆς Ὀδυσσέως βυσσίνια, φασὶν οὐ Ἠπείρου ὄν· εἰ μὴ ἄρα συλληπτικῶς ἴσως τῇ Ἰθάκῃ συνεπινοηθείσῃ ἢ τῷ αὐτικρὺ αὐτῆς κειμένῳ Ἠπείρῳ.

VARIÆ LECTIONES.

226. Ἐναντίος) γρ. ἐναντίον. *H. Steph.*
233. Ἐγγεγάασιν) γρ. ὀπιγεγάασιν, *Seberi* Index, haud benè.
244. Ἐν μὲν — οὐ δὲ) γρ. εὖ μὲν — εὖ δὲ, vid. Not. in *Textum.*
245. Τεθαλυῖά τ' ἔέρση) γρ. πεθαλυῖά τε ἔρση.

Αἰγίσθου

Αἰγίβοτος δ' ἀγαθὴ, καὶ βύβοτος· ἔπι μὲν ὕλη
Παντοίη, ὀλίγοι δ' ἐπιβαῖνοι παρέασιν.
Τῷ τοι, ξεῖν', Ἰθάκης γὲ καὶ ἐς Τροίην ὄνομ' ἵκοι,
Τὴν περ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης.
"Ως φάτο· γήθησεν δῖος πολύτλας Ὀδυσεύς,
Χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὡς οἱ ἔειπε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς Αἰγιόχοιο.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Οὐδ' ὅγ' ἀληθέα εἶπε, πάλιν δ' ὅγε λάζετο μῦθον,
Αἰεὶ σὺ φρεσὶ νόον πολυκερδέα νωμῶν,
Πυνθανόμην Ἰθάκης γὲ καὶ ἐν Κρήτῃ βυθείῃ,
Τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
Χρήμασι σὺν τοῖσδεσι· λιπὼν δ' ἔπι παισὶ τοσαῦτα
Φεύγω, ἐπεὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος,
Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ βυθείῃ
Ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν·
Οὕνεκά με στερέσαι τ' λητίδος ἤθελε πάσης
Τρωϊάδος, τ εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
Οὕνεκ' ἄρ' οὐκ ᾧ παλεὶ χαριζόμενος θεράπευον
Δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων·
Τὸν μὲν ἐγὼ καλιόντα βάλον χαλκήρει δουρὶ

" Pascendis capris commoda & bubus: est quidem sylva
" Omnigena, ibi quoque aquationes perpetuæ adsunt.
" Itaque, hospes, Ithacæ & in Trojam nomen pervenerit,
" Quam longè dicunt Achaicâ esse à terrâ.
Sic dixit; lætatus est autem patiens divinus Ulysses,
Gaudens suâ terrâ patriâ, sicut ei dixit
Pallas Minerva, filia Jovis Ægiochi:
Et ipsam appellans velocia verba dixit,
Neque vera dixit, iterúmque cœpit sermonem,
Semper in præcordiis mentem perastutam movens,
" Audiebam de Ithacâ & in Cretâ latâ,
" Longè supra pontum, nunc autem veni, & ipse
" Rebus cum his: Relinquens verò adhuc filiis totidem,
" Fugio, quoniam dilectum filium interfeci Idomenei,
" Orûlochum pedibus velocem, qui in Cretâ latâ
" Viros artifices vincebat velocibus pedibus:
" Quoniam me privare prædâ volebat omni
" Trojanâ; cujus gratiâ ego passus sum dolores animo,
" Virorúmque bella, tristésque undas penetrans:
" Quoniam non suo patri gratificatus serviebam
" Agro in Trojanorum; sed aliis imperabam sociis.
" Hunc quidem ego discedentem percussi æreâ lanceâ

ΣΧΟΛΙΑ.

246. Αἰγίβοτος.] Αἶξας βόσκει δυναμένη.
247. Ἀρδμοί.] Πολισμοί. Ἐπιβαῖνοι.] Συνεχεῖς, διηκουῖες. Παρέασι.] Πάρεισιν, ὑπάρχουσι.
251. Πατρωΐῃ.] Πατρικῇ.
254. Πάλιν δ' ὅγε λάζετο.] Εἰς τοὐναντίον δ' ἀλλάσσει· ὃ ἐστιν οὐκ ἀληθεύει ἢ τ λόγον ἀντιλαμβάνεται.
255. Πολυκερδέα.] Συνετόν, ἢ πανοῦργον. Νωμῶν.] Διανέμων.
256. Πυνθανόμην.] Ἤκουον. * Hæc in *Aldinâ* desunt.
258. Τοῖσδεσι.] Τούτοις.
259. * Φεύγω, ἐπεὶ φίλον υἱὸν κατέκτανον Ἰδομενῆος.] Ἰδομενεύς, παῖς μὲν ὢν Δευκαλίωνος, δ Μίνωος· Κρὴς δὲ τὸ γένος, ἄριστος τὸ πολέμια· παρ' ἑκάστοις γὰρ ἀριστείας τὸ στερνὸς φανόμενος, μίσχει τ νόσων ἄριστος διεφυλάχθη· ὅτε δὲ, ὡς λέγει, ἠθροίσθη δ καὶ Εὔβοιαν κατέσχον· ὑπὸ τ Ἀθηνᾶς, ὤκειλε μὲν δ Καλχαντος καὶ Σθενέλου, εἰς Κολοφῶνα, κἀκεῖ σκηπτῷ τ βίον κατέστρεψεν. ἢ δὲ ἱστορία παρὰ Λυκόφρονι. Κατέκτανον.] Ἀντὶ τοῦ, ἐφόνευσα.
260. Ὀρσίλοχον.] Τὸν παῖδα Ἰδομενέως.
261. Ἀλφηστάς.] Εὐρετικούς.
262. Σπείσαι.] Ἀποστερῆσαι.
263. Τρωϊάδος.] Τρωϊκῆς.
264. Πείρων.] Διαπερῶν, διερχόμενος.
267. Τὸν μὲν ἐγὼ καλιόντα.] Σκήπτεται τ Ἰδομενέως υἱὸν ἀνηρηκέναι, ἵνα αὐτὸν * προσήσωνται οἱ μνηστῆρες, ὡς ἐχθρὸν δ Ὀδυσσέως φίλου· ἑαυτῷ δὲ ἡ Κρήτη ὑπὸ τ ῥηθῆναι χωρὶς γεγράφθαι οἱ Παλαιοὶ, ὅτι πλανῶς ὁ σοφὸς Ὀδυσσεὺς, προσ τ φανόμενον Ἰθακήσιον παῖδα παλαίτοι ἀνηρηκέναι υἱὸν Ἰδομενέως, δ φιλημένην τῷ Ὀ-

NOTÆ IN SCHOLIA.

267. * Προσήσωνται) Olim παρήσονται, in *Elzevir.* παρώσωνται, in Aliis, & in MS. *Aloysii.* Verùm *Eustath.* hæc *Scholia* illustrat, fol. 516. lin. 34. Ἐν

VARIÆ LECTIONES.

247. Ἐν) γρ. ἐῷ, ut suprà, v. 244.
251. Πατρωΐῃ) γρ. πατρῴᾳ, vid. suprà, v. 188.

Ἀγρό-

Ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ.
Νὺξ δ' ἤδη μάλα δνοφερὴ κάτεχ' οὐρανόν, οὐδέ πῃ ἡμέας
Ἀνθρώπων ἐνόησε· λάθον δέ ἑ θυμὸν ἀπούρας.
Αὐτὰρ ἐπεὶ δὴ τόν γε κατέκτανον ὀξέϊ χαλκῷ,
Αὐτίκ' ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς
Ἐλλισάμην, καί σφιν μυηστύν λητίδα δῶκα·
Τοὺς μ' ἐκέλευσα Πύλονδε καταῖξαι ἠ ἑφέσασθαι,
Ἢ εἰς Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἀλλ' ἦτοι σφέας κεῖθεν ἀπώσατο εἰς ἀνέμοιο,
Πολλ' ἀεκαζομένους· οὐδ' ἤθελον ἐξαπατῆσαι.
Κεῖθεν δὴ πλαγχθέντες ἰκάνομεν ἐνθάδε νυκτός·
Σπευδῇ δ' ἐς λιμένα προερέσσαμεν, οὐδέ πῃ ἡμῖν
Δόρπου μνῆστις ἔην, μάλα περ χατέουσιν ἐέλδευ.
Ἀλλ' αὖτως ἀποβάντες ἐκείμεθα νηὸς ἄπαντες.
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα.
Οἱ δὲ χρήματ' ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
Κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
Οἱ δ' ἐς Σιδονίην εὖ ναιομένην ἀναβάντες
ὨΙίχοντ'· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ.

" Rure, propè viam insidiatus cum socio.
" Nox autem valdè obscura occuparat cœlum, neque aliquis nos
" Hominum animadvertit; latui itaque, cùm *illum* animâ spoliabam,
" At postquam hunc interfeci acuto ære,
" Statim ego in navem iens Phœnicas illustres
" Oravi, & ipsis, quæ satis esset, prædam dedi.
" Hos me jussi Pylum deferre & collocare,
" Vel in Elida Divinam, ubi dominantur Epéi:
" Sed certè ipsos illinc repulit ventus
" Multùm nolentes; neque enim volebant fallere.
" Illinc autem errantes venimus hùc nocte;
" Ægréque in portum appulimus, neque aliqua nobis
" Cœnæ mentio erat, valdè licet indigentibus sumere;
" Sed temerè egressi jacebamus ex navi omnes.
" Hìc me quidem dulcis somnus invasit defessum:
" Hi verò fortunas meas concavâ ex navi sublatas
" Deposuerunt, ubi ipse in arenis jacebam.
" Atque illi in Sidoniam pulchrâm navi conscensâ
" Iverunt; at ego relictus sum tristi animo.

ΣΧΟΛΙΑ.

Φησὶν εἶναι, ὅτι τὰς πυωρήσαντας ἔξω· καὶ τὸ Ὀρσιλόχου δὲ θαύμαζον λέγει. Διὰ τοῦ λείαν· δεικνὺς, ὅτι οὐδὲ ἐκείνῳ παρεχωρήσαμεν ἀναιμωτί. Φοίνιξι δὲ πιστεύσαι λέγει, ἵνα μὴ ἀδικήσῃ, λογισάμενος, ὅτι οἱ φιλοκερδέστατοι αὐτὸ ἐφείσαντο.

268. Ἀγερθεν.] Ἐκ τοῦ ἀγερῶ. Λοχησάμενος.] Λοχίσας, ἐνεδρεύσας.

269. Διοφερής.] Μέλαινα, σκοτεινή.

273. Μενοεικέα.] Περσηνὴ δὲ *ἀρέσκουσαν τῇ ψυχῇ.

274. Καταξῆσαι.] Ἀποκαταξῆσαι. Ἑφέσασθαι.] Ἱδρύσασθαι εἰς τὴν ναῦν.

276. Ἀπώσατο.] *Ἀπωθήσατο.

277. Ἀεκαζομένους.] Ἀκόντας, μὴ βουλομένους. Οὐδ' ἤθελον ἐξαπατῆσαι.] Ἐπαινεῖ τὰς Φοίνικας, ἵνα ὁ ἀκόλουθος μιμήσηται.

278. Πλαγχθέντες.] Πλανηθέντες. Ἰκάνομεν.] Περιχυόμεθα.

279. Περερέσσαμεν.] Καθιλκύσαμεν, ἀντὶ τοῦ ἠλθομεν.

280. Μνῆστις.] Μνήμη. Χατέουσι.] Χρήζουσι, ἐπιθυμοῦσι.

281. Ἀποβάντες.] Ἐξελθόντες.

282. *Ἐπίλλαβε.] Κατέσχεν.

285. Σιδονίην.] Τὴν τῶν Σιδῶνος χώραν, τὴν Φοινίκην.

NOTÆ IN SCHOLIA.

δυσεῖ· ὡς ἂν αὐτὸν ποιήσωσιν), φασὶ, δι' αὐτῶν οἱ μνησῆρες, ἤτοι ποιησάντων), ὡς ἐχθρὸν δὲ Ἰδομενέως, ὃν Ὀδυσεὺς ἐφίλει· φιλοῦσι γὰρ ἀεὶ πάντες κατὰ τῶν μνησήρων, ὁ τῷ φίλῳ δὲ Ὀδυσέως ἐχθρός. Ἴσως δὲ, φασὶν, ἐν Κρήτῃ ἔσχεν λέγει, ἀναφοβῶν, ὡς εἰκὸς καὶ παῖδα ἐν Ἰθάκῃ κακὸν, ἐξῆ τοὺς πυωρήσαντας. Καὶ τὸ Ὀρσίλοχον δὲ ἀναιρεῖν λέγει, διὰ τῶν εἰρῆσθαι τὸ λείας, δεικνὺς, ὡς ἀμυνόμενος ὢν οὐδὲ κἂν παρεχωρήσαμεν τοῖς ἐν Ἰθάκῃ, ἀναιμωτὶ εἰρῆσθαι αὐτὸν, ὃν ἔσχε χρημάτων· τοὺς Φοίνικας

277. Ἀεκαζομένους.] Ἀκόντας, μὴ βουλομένους. Οὐδ' ἤθελον ἐξαπατῆσαι.] Ἐπαινεῖ τοὺς Φοίνικας, ἵνα ὁ ἀκόλουθος μιμήσηται.

278. Πλαγχθέντες.] Πλανηθέντες. Ἰκάνομεν.] Περιχυόμεθα.

279. Περερέσσαμεν.] Καθιλκύσαμεν, ἀντὶ τοῦ ἠλθομεν.

280. Μνῆστις.] Μνήμη. Χατέουσι.] Χρήζουσι, ἐπιθυμοῦσι.

281. Ἀποβάντες.] Ἐξελθόντες.

282. *Ἐπίλλαβε.] Κατέσχεν.

285. Σιδονίην.] Τὴν τῶν Σιδῶνος χώραν, τὴν Φοινίκην.

VARIÆ LECTIONES.

282. Ἐπήλυθε) γρ. ἐπέλαβε, vid. Not. in *Schol.*

277. Ἀεκαζομένους.] Ἀκόντας, μὴ βουλομένους. Οὐδ' ἤθελον ἐξαπατῆσαι.] Ἐπαινεῖ τοὺς Φοίνικας, ἵνα ὁ ἀκόλουθος μιμήσηται.

278. Πλαγχθέντες.] Πλανηθέντες. Ἰκάνομεν.] Περιχυόμεθα.

279. Περερέσσαμεν.] Καθιλκύσαμεν, ἀντὶ τοῦ ἠλθομεν.

280. Μνῆστις.] Μνήμη. Χατέουσι.] Χρήζουσι, ἐπιθυμοῦσι.

281. Ἀποβάντες.] Ἐξελθόντες.

282. *Ἐπίλλαβε.] Κατέσχεν.

285. Σιδονίην.] Τὴν τῶν Σιδῶνος χώραν, τὴν Φοινίκην.

282. *Ἐπίλλαβε) Pro ἀρέσκουσαν scribo, οὐ λητίδα, &c.

276. *Ἀπωθήσατο) Et hoc pro corrupto λαθήσατο.

282. *Ἐπίλλαβε) γρ. ἐπήλυθε, MS. *Aloys.* & Omnes Editt. Vett. ἐπέλαβε. Vid. infrà, ad v. 391.

Ὣς φάτο· μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
Χειρί τέ μιν κατέρεξε· δέμας δ' ἴκτο γυναικὶ
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι
Ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
Σχέτλιε, ποικιλομῆτα, δολῶν ἄτ', οὐκ ἄρ' ἔμελλες,
Οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων,
Μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν;
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
Κέρδε'· ἐπεὶ σὺ μὲν ἐσσὶ βροτῶν ὄχ' ἄριστος ἁπάντων
Βουλῇ καὶ μύθοισιν· ἐγὼ δ' ἐν πᾶσι θεοῖσι
Μήτε τε κλέομαι καὶ κέρδεσιν· ἠδὲ σύ γ' ἔγνως
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥτε τοι αἰεὶ
Ἐν πάντεσσι πόνοισι παρίσταμαι, ἠδὲ φυλάσσω,
Καὶ δέ σε Φαίηκεσσι φίλον πάντεσσιν ἔθηκα;
Νῦν δ' αὖ δεῦρ' ἰκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω,
Χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
Ὤπασαν, οἴκαδ' ἰόντι, ἐμῇ βουλῇ τε, νόῳ τε·
Εἶπω θ', ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσι
Κήδε' ἀναρρέξαι· σὺ δὲ τετλάμεναι καὶ ἀνάγκῃ,
Μηδέ τῳ ἐκφάσθαι, μήτ' ἀνδρῶν, μήτε γυναικῶν,
Πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος· ἀλλὰ σιωπῇ
Πάσχειν ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.

Sic dixit; risit autem dea glaucia-oculis Minerva,
Manúque ipsum demulsit; corpus verò assimilata est mulieri
Pulchræque, magnæque, & illustria opera scienti,
Et ipsum appellans verba velocia alloquuta est,
" Dolosus esset, & fallax, qui te superaret
" In omnibus dolis, & si Deus occurreret.
" Male, versute, dolis insatiabilis, non utique eras,
" Neque in tuâ cùm sis terrâ, desiturus à fallaciis,
" Verbisque fallacibus, quæ tibi ab ortu amica sunt?
" Sed agè nè ampliùs hæc dicamus, cùm sciamus ambo
" Dolos; quoniam tu quidem es hominum quàm optimus omnium
" Consilio & verbis; ego autem inter omnes Divos
" Consilióque inclyta sum & dolis: neque tu cognoscebas
" Pallada Minervam filiam Jovis, quæ tibi semper
" In omnibus laboribus asto, & servo;
" Atque te Phæacibus gratum omnibus reddidi?
" Nunc rursus huc veni, ut tibi consilium contexam,
" Fortunásque abscondam, quascunque tibi Phæaces illustres
" Dederunt, domum eunti meo consilióque, mentéque.
" Dicámque, quos tibi fatale est ædibus in fabrefactis
" Dolores tolerare: tu autem tolera etiam necessitate,
" Neque alicui eloquere, neque virorum, neque mulierum
" *Nè hilum quidem* omnium, quòd venisti errans: sed tacendo
" Patere dolores multos, injurias sustinens virorum.

ΣΧΟΛΙΑ.

288. Δέμας δ' ἴκτο γυναικί.] Ἐντεῦθεν Ξενοφῶν τῷ * Ἀρετῇ ἐ τῷ * Κακίαν ἀνέπλασεν. Ἵκτο.] Ὡμοίωτο.

291. Κερδαλέος.] Παντέργου. Ἐπίκλοπος.] Παραλογιστής. Παρέλθοι.] Νικήσῃ, μεταφορικῶς.

294. Λήξειν.] Παύσεσθαι. Ἀπατάων.] Παραλογισμῶν.

295. Κλοπίων.] Τῶν κεκλεμμένων, καὶ μὴ ἀληθῶν. Πεδόθεν.] Ἐκ νέας ἡλικίας· ἤ, ἀπὸ τῶν πέδε.

299. Μήτ.] Βουλῇ, γνώμῃ. Κλέομαι.] Δοξάζομαι.

303. Ὑφήνω.] Καταστοχάσωμαι.

308. Μὴ δέ τῳ.] Μηδέ τινι. Ἐκφάσθαι.] Εἰπεῖν.

310. Ὑποδέγμενος.] Ὑποδεχόμενος.

NOTÆ.

299. Μήτ) Pro *μήτῃσι*, vel *μήτῃ*, *Contractim*, quare & *Ultima* producitur.

NOTÆ IN SCHOLIA.

288. * Τῷ Ἀρετῇ καὶ τῷ Κακίᾳ) Ad hujus *Scholii* explicationem adeundus *Xenophon*, Ἀπομνημονευμάτων, l. 2. ubi *Prodicum* imitatur, qui in Ὥραις *Herculem* introducit, à *Virtute* & *Voluptate*, diversim interpellatum; de quo *Philostratus*, Vitâ *Sophistarum*, l. 1. *Silius Italicus*, l. 5. *Maximus Tyrius* §. IV. *Aristoph.* Schol. fol. 81. *Lucian.* In Somnio, M. *Cicero*, & Nos in Vitâ *Euripidis*, §. XII. fol. x.

VARIÆ LECTIONES.

295. Κλοπίων) γρ. κλοπίμων & πλοκίων, *H. Steph.*

Τὸν δ' ἀπαμείβομενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ἀργαλέον σε, θεά, γνώναι βροτῷ ἀντιάσαντι,
Καὶ μάλ' ὀπιζομένῳ· σὲ γὰρ αὐτίκα πάντ' ἐίσκῃς.
Τῶτο δ' ἐγὼν εὖ οἶδ', ὅτι μοι πάρος ἦπια ἤδα,
Ἕως οὐ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν·
Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
Βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς,
Οὔ σέ γ' ἔπειτα ἴδον, κούρη Διός, οὐδ' ἐνόησα
Νηὸς ἐμῆς ὀπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις.
Ἀλλ' αἰεὶ φρεσὶν ἧσιν ἔχων δεδαϊγμένον ἦτορ
Ἠλώμην, εἵως μὲ θεοὶ κακότητος ἔλυσαν·
Πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
Θάρσυνάς τ' ἐπέεσσι, καὶ ἐς πόλιν ἤγαγες αὐτήν.
Νῦν δέ σε πρὸς πατρὸς γουνάζομαι, οὐ γὰρ οἴω
Ἥκειν εἰς Ἰθάκην εὐδείελον, ἀλλά πιν' ἄλλην
Γαῖαν ἀναστρέφομαι· σὲ δ' ἦ κερτομέουσαν οἴω
Ταῦτ' ἀγορεύεμεναι, ἵν' ἐμὰς φρένας ἠπεροπεύσῃς.
Εἰπέ μοι, εἰ ἐτεόν γε φίλην ἐς πατρίδ' ἱκάνω;
Τόνδ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,
Αἰεί τι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
Τῷ σε κατὰ μοῖραν προλιπεῖν δύσφρονα ἐόντα,
Οὔνεκ' ἐπιστήμων τ' ἐσσὶ, καὶ ἀγχίνοος, καὶ ἐχέφρων.
Ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν

Huic respondens, locutus est prudens Ulysses:
" Difficile est te, Dea, cognoscere homini occurrenti,
" Licet valdè scienti; te enim ipsam cuilibet assimilas.
" Hoc autem ego certò scio, quod mihi antèà benigna eras,
" Quamdiù in Trojâ pugnabamus filii Achivorum:
" At postquam Priami civitatem diripuimus altam,
" Conscendimúsque naves, Deúsque dissipavit Achivos,
" Non te postea vidi, filia Jovis, neque animadverti
" Navem meam ascendentem, ut mihi dolorem averteres.
" Sed semper mentibus propriis habens confectum cor
" Erravi, quousque me dei malo solverunt:
" Priusquam quandò in Phæacum virorum in ubere populo
" Confirmâsti verbis, & in civitatem duxisti ipsa.
" Nunc igitur te per patrem supplex oro; non enim puto
" Venisse in Ithacam conspicuam, sed aliquam aliam
" Terram obversor; téque illudentem puto
" Hæc dicere, ut meam mentem deciperes;
" Dic mihi, an verè dilectam in patriam veni?
Huic respondit demùm dea cæsiocculis Minerva,
" Semper tibi talis in præcordiis cogitatio:
" Propterea & te non possum derelinquere afflictum existentem,
" Quoniam facundus es, & ingeniosus & prudens.
" Libenter enim alius vir errans reversus,

ΣΧΟΛΙΑ.

313. Σὲ γὰρ αὐτίκα πάντ' ἐίσκεις.] Ὑποτυπόνκεν, ὅτι ἐν τοῖς Φαίαξι καὶ παρθένῳ, καὶ ἀνδρὶ ὁμοιωθεῖσα παρῳρμηκεν αὐτόν.

314. Ἦπια.] Πρᾶα.

315. Πολεμιζόμεν.] Ἐπολεμοῦμεν.

321. Ἔλυσαν.] Ἐλυτρώσαντο.

330. Τοιοῦτο νόημα.] Εὐξεπαίτητον· ἀντὶ τοῦ, οὐκ εὐξεπαίτητον, ὃ ἦν * ἀσύστατον.

331. Περλιπεῖν.] Ἐᾶσαι.

332. Ἐπιστήμων.] Φρόνιμος, καὶ λόγιος, παρὰ τὸ ἵστωρ. Ἀγχίνοος.] Περὶ τὸ νοῆσαι ταχύς. Ἐχέφρων.] Σώφρων.

333. Ἀλαλήμενος ἐλθών.] Ἀπὸ πλάνης περιχυρόμενος.

NOTÆ.

315. Ἕως ἐνὶ Τροίῃ) *Amphibrachys*, pro *Dactylo*, de quâ re diximus, ad δ'. v. 90. aliàs poterat legi, εἵως ἐν Τροίῃ. Minimè autem εἵως ἐνὶ, ut *Aldina*, & aliæ *Vett.*

NOTÆ IN SCHOLIA.

330. Τοιοῦτο νόημα) Εὐξεπαίτητον. Ità *Aloysii* MS. præterea nihil. Quæ sequuntur, in *Elzevirianâ* Editione, minimè à *Schrevelio* nobis obtruduntur, ut passim *Iliados* Editores queruntur: Extant enim in *Aldinâ*, *Bedrotianâ*, *Hervagianâ*, *Morrhii*, *Parisiis*, &c. τὸ σωσίον, tantum in * ἀσύστατον, emendo.

333. Ἀλαλήμενος) Vid. *Etymolog.* M. v. & in v. Ἀλάλημαι.

VARIÆ LECTIONES.

315. Ἕως ἐνὶ) γρ. εἵως ἐνὶ, & εἵως ἐν, vid. Not. in Textum.

324. Πατρὸς) γρ. Διὸς, idem: cùm *Jupiter* sit *Minervæ* pater. Vid. Hymn. *Ven.* v. 131.

Ἵετ'

Ἴετ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ', ἄλοχόν τε·
Σοὶ δ' οὔπω Φίλον ἐστὶ δαήμεναι, οὐδὲ πυθέσθαι,
Πρίν γέ τι σῆς ἀλόχου πειρήσεαι, ἥτε τοι αὖτως
Ἧσται ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Αὐτὰρ ἐγὼ τὸ μὲν οὔποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῷ
Ἤιδη, ὃ νοστήσας ὀλέσας ἅπο πάντας ἑταίρους.
Ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι
Πατροκασιγνήτῳ, ὅς τοι χόλον ἔνθετο θυμῷ,
Χωόμενος, ὅτι οἱ μὲν Φίλον ἐξαλάωσας.
Ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν, ἁλίοιο γέροντος·
Ἦδε δ' ὑπὲκ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
Ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠεροφοῖτες,
Ἱερὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται·
Τῆτο δέ τοι σπέος εὐρὺ κατηρεφὲς, ἔνθα σὺ πολλὰς
Ἕρδεσκες Νύμφῃσι τελήεσσας ἑκατόμβας·
Τῆτο δὲ Νήριτόν ἐστιν ὄρος, καταείμενον ὕλῃ.
Ὣς εἰπὼν θοὰ σκέδασ' ἠέρα· εἴσατο δὲ χθών.
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεὺς,
Χαίρων ᾗ γαίῃ· κύσε δὲ ζείδωρον ἄρουραν·
Αὐτίκα δὴ Νύμφῃς ἠρήσατο χεῖρας ἀνασχών,
Νύμφαι Νηϊάδες, κοῦραι Διὸς, οὔποτ' ἔγωγε

" Cuperet in ædibus videre filiósque uxoremque:
" Tibi verò nondum gratum est scire, neque quærere,
" Antequam tuæ uxoris periculum feceris, quæ tibi neglectim
" Sedet in ædibus, luctuosæ verò ei semper
" Pereunt noctes & dies lacrymanti.
" At ego hoc quidem nunquam noncredidi, sed in animo
" Sciebam, quòd rediturus esses, perditis omnibus sociis:
" Sed tuî causâ nolui Neptuno obsistere
" Patruo, qui iram contrà te induxerat in animum,
" Iratus, quòd ei filium dilectum excæcâsti.
" Verùm agè tibi ostendam Ithacæ solum, ut credas.
" Phorcynis quidem hic est Portus marini senis;
" Hæc itidem in vertice portûs paulò Oliva:
" Propè verò ipsam Antrum altum obscurum,
" Sacrum Nympharum, quæ Naiades vocantur:
" Hæc item spelunca lata, contecta, ubi tu multas
" Sacrificabas Nymphis perfectas hecatombas:
" Hic autem Neritus est mons indutus sylvâ.
Sic fata, Dea dissipavit nebulam; apparuit autem terra:
Lætatúsque est tandem patiens divinus Ulysses,
Gaudens suâ terrâ, osculatúsque est almam tellurem.
Statim utique Nymphis supplicavit manibus sublatis,
" Nymphæ Naiades, filiæ Jovis, nunquam ego

ΣΧΟΛΙΑ.

335. Φίλον.] Νῦν, ἀντὶ τοῦ, ἀφίλιμον.
340. Ὅτι νοστήσας.] Ὅτι ἐπανέλθοις.
344. Πεποίθῃς.] Πιστεύσῃς.

348. Κατηρεφὲς.] Σκιερὸν, κεκαλυμμένον, καὶ καλιάζον.
351. Νήριτον.] Ὄρος Ἰθάκης, ἀντικρὺ τῆς Ἠπείρου. Καταείμενον.] Κατασκεπασμένον.

NOTÆ.

340. Ὀλέσας ἅπο) Retraho *Accentum*, quòd τὸ ἀπὸ suo Verbo postponatur, cui præponendum esset; nam pro ἀπολέσας ponitur.

345. Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν) Prolixior suprà, v. 96. Descriptio, hìc paulò brevior, ut *Ulyssi* scienti facta; *Eustath.* tol. 519. lin. 31. Ὅτι ἐπίτηχον εἶδος ἀθηρήσεως, ὡς ἐκεῖς εἰδότα, τὸ, Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος Ἦδε δ' ὑπὲκ κρατὸς λιμένος τανύφυλλος ἐλαίη· Ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠεροειδὲς, Ἱερὸν νυμφάων, αἳ Νηϊάδες καλέονται. Οὗτοι δὲ οἱ δύω εἰσὶν ἐν τοῖς τῶν Ἀντιγονέων ἐκκεῖνται· τὸ μέντοι ἐφεξῆς, ἐν ἄντροισι κείται, Τῆτο δέ τοι σπέος ἐστὶ, &c.

347. Ἀγχόθι δὲ αὐτῆς ἄντρον) Distichon hoc in nonnullis Exemplaribus desiderari testatur *Eustathius*, ut in Notis præcedentibus.

355. Αὐτίκα δὴ Νύμφης) Τὸ δὴ, in *Cæsurâ*, vi *Toni* sui, & ante *Liquidam* producitur, ut sæpe aliàs. At δὴ multò meliùs hìc legitur.

VARIÆ LECTIONES.

336. Πρίν γέ τι) γρ. πρίν γ' ἔτι.
340. Ὀλέσας ἅπο) γρ. ὀλέσας ἀπό.
342. Χόλον) γρ. κότον, *Eustath.* fol. 519. lin. 28.
351. Νήριτον) γρ. Νήρικον, ut ad ε'. v. 22.
355. Δὴ) γρ. δ', ut Not. in *Textum*.

Ὄψεσθ' ὑμμ' ἐφάμην· νῦν δ' εὐχωλῆς ἀγανῆσι
Χαίρετ'· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τοπάρος περ,
Αἴκεν ἐᾷ τοι φρονέουσα Διὸς θυγάτηρ ἀγελείη
Αὐτόν τε ζώειν, καί μοι φίλον υἱὸν ἀέξῃ.
Τόνδ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Θάρσει, μή σοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Ἀλλ' ἄγε, χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
Θείομεν αὐτίκα νῦν, ἵνα πὲρ τάδε τοὶ σόα μίμνῃ·
Αὐτοὶ δὴ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Ὣς εἰποῦσα, θεὰ δῦνε σπέος ἠερόειδές,
Μαιομένη κνθμωνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
Ἄσσον πάντ' ἐφόρει χρυσὸν καὶ ἀτειρέα χαλκὸν,
Εἵματά τ' εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν.
Καὶ τὰ μὲν εὖ κατέθηκε· λίθον δ' ἐπέθηκε θύρῃσι
Παλλὰς Ἀθηναίη, κούρη Διὸς Αἰγιόχοιο.
Τώδε καθεζομένω, ἱερῆς ἐνὶ πυθμένι ἐλαίης,
Φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
Τοῖσίδε μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη,
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Φράζευ, ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις,
Οἵ δή τοι τρίετες μέγαρον κατακοιρανέουσιν,
Μνώμενοι ἀντιθέην ἄλοχον, καὶ ἕδνα διδόντες.
Ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν,

"Visurum *me* vos dicebam: nunc votis humilibus
"Salvete: at & dona dabimus, ſicuti anteà,
"Si ſinet prompta Jovis filia prædatrix
"Ipſumque vivere, & mihi charum filium augebit.
Hunc rurſus affata eſt Dea cæſiis oculis Minerva,
"Confide, nè te hæc in præcordiis tuis ſolicitent.
"Verùm age, fortunas quidem in intimo antri divini *receſſu*
"Ponamus ſtatim nunc, ubi utique hæc tibi ſalva maneant:
"Ipſi demùm conſultemus, quo pacto optimè fiat.
Sic loquuta Dea intravit ſpeluncam ſubobſcuram,
Quærens latibulum per ſpeluncam; at Ulyſſes
Propiùs omnia portavit, aurum & ſolidum æs,
Veſtéſque benè-elaboratas, quas ei Phæaces dederant.
Et hæc quidem probè diſpoſuit; lapidemque impoſuit foribus
Pallas Minerva, filia Jovis Ægiochi.
Hi adeò ſedentes ſacræ apud radicem olivæ,
Moliebantur procis inſolentibus mortem.
Hiſce verò verba incepit Dea cæſiis oculis Minerva,
"Generoſe Laërtiade, prudens Ulyſſes,
"Conſidera, quomodo procis impudentibus manus inferas,
"Qui jam tibi triennium per domum dominantur,
"Ambientes divinam uxorem & dona dantes.
"Illa verò tuum ſemper reditum lugens in animo,

Σ Χ Ο Λ Ι Α.

357. Ὑμμες.] Ὑμᾶς. Ἀγανῆσι.] Περισπαστέον ἐπεὶ πίστεως διαφόρους.
359. Ἐᾷ.] Συνιζωρήσεως.
360. Ἀέξῃ.] Αὐξηθῆναι ποιήσῃ.
364. Σόα.] Σῶα, ὑγιῆ. Μίμνῃ.] Μίμνῃ.
366. Ἠερόειδές.] Νῦν, καθαρὸν ἀέρα ἔχον.
367. Μαιομένη.] Ἐρευνῶσα, ζητοῦσα. Κνθμωνας.] Τὰς κοιλότητας· ἢ, τὰς κοίλας τόπους.
368. Ἐφόρει.] Ἔφερε, παρεκόμιζεν.
373. Φραζέσθην.] Ἐβουλεύοντο.
376. Ἐφήσεις.] Ἐπιβάλῃς.
378. Μνώμενοι.] Μνηστεύόμενοι. Ἀντιθέην.] Ἴσην καὶ ὁμοίαν θεοῖς κατὰ δόξαν οὖσαν.

N O T Æ.

372. Τώγε καθεζομένω ἱερῆς παρὰ πυθμένι ἐλαίης) Rectè Poeta, ut Omnia, *Minervam* facit, ſub *Olivâ* ſedentem; quam *ἐλαίην* quoque vocat: quòd nempè illa Arbor *Minervæ* ſit Sacra & ſemper Virens, quæ licet in *Athenarum* Acropoli, à *Medis* quondam exuſta, refloruit poſteà, teſte *Herodoto*,——De quibus omnibus & Nos olim ad *Euripidis* Ion. v. 1433. & v. 1435. Rectè quoque *Olivam*, *Providentiæ* Symbolum, ad Antrum Nympharum ponit, hujus *Mundi* Symbolum; quià *Mundus* eſt Germen, & Tutela Divinæ Providentiæ, ἀλλοίᾳ τῶν αὐτοματισμῷ τινὶ ἐ τύχης ἀλόγῳ ἐκπλέοντα, ἀλλὰ φύσεως νοερᾶς καὶ σοφίας θείας. De quâ re *Porphyrius*, ut ſuprà, v. 103. & *Cal. Rhodig.* l. 12. c. 19.

V A R I Æ L E C T I O N E S.

372. Τώδε) γρ. τώγε, quod paulò melius.
377. Μέγαρον κατακοιρανέουσι) γρ. μέγαρον κατὰ κοιρανέουσι.

Πάντας

Πάντας μὲν ῥ' ἔλπῃ, ὃ ὑπίσχεῃ ἀνδρὶ ἑκάστῳ,
Ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾷ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρείδαο
φθίσεσθ' κακὸν οἶτον ὑπὸ μεγάροισιν ἔμελλον,
Εἰ μή μοι σὺ ἕκαστα, θεά, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγε μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
Πάρ δέ μοι αὐτὴ στῆθι, μύθου πολυφραδὲς ἐνεῖσα,
Οἷον, ὅτε Τροίης λύομεν λιπαρὸν κρήδεμνα.
Αἴ κε μοὶ ὣς μεμαυῖα παραΐσσῃς, Γλαυκῶπι,
Καί κε τριηκοσίοισιν ἐγὼν ἀνδρεσσι μαχοίμην,
Σὺν σοί, πότνια θεά, ὅτε μοὶ φίλα σ' ἐπαρήγοις.
Τόνδ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,
Καὶ λίην τοι ἔγωγε παρέσομαι, ὅδέ με λήσεις,
Ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' οἴω
Αἵματί τ', ἐγκεφάλῳ τε, παλαξέμεν ἄσπετον ὕδας,
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ἀλλ' ἄγε σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·
Κάρψω μὲν χρόα καλὸν ὑπὸ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τείχας, ἀμφὶ δὲ λαῖφος
Ἕσω, ὅ κεν γυγέησιν ἰδὼν ἄνθρωπος ἔχοντα.

" Omnibus quidem ſpem dat, & pollicetur unicuique
" Nunciis præmiſſis; mens autem ei alia verſat.
Huic reſpondens, locutus eſt prudens Ulyſſes,
" Dii Boni! Certè jam omninò Agamemnonis Atridæ
" Periturus malâ morte in ædibus eram,
" Niſi mihi tu quæque, Dea, opportunè dixiſſes.
" Verùm age conſilium texe, quomodo puniam ipſos:
" Apud me quoque ipſa aſta, animum peraudacem immittens,
" Qualem, quando Trojæ ſolvimus magna mœnia:
" Si mihi ſic animoſa aſtiteris, Minerva,
" Et cum trecentis ego viris pugnarem,
" *Una* Tecum, venerabilis dea, quandò me prompta adjuvares.
Huic tandem reſpondit Dea cæſia Minerva,
" Et valdè tibi ego adero, neque me latebis,
" Cùm hæc jam ſtruxerimus, & aliquem ſpero
" Sanguinéque, cerebróque, perfuſurum magnum pavimentum,
" Virorum procorum, qui tibi fortunas edunt.
" Verùm agè te incognitum faciam omnibus hominibus:
" Arefaciam quidem cutem pulchram in flexibilibus membris;
" Flavoſque ex capite delebo crines, circúmque pallium
" Induam, quod averſetur conſpicatur quilibet habentem:

ΣΧΟΛΙΑ.

381. Προϊεῖσα.] Προπέμπουσα.

386. Ἀποτίσομαι.] Τιμωρίαν κρὶ κόλασιν εἰσπράξομαι.

387. Πολυφραδές.] Τολμηρόν.

388. Λύομεν.] Καπλύομεν. Λιπαρὸν.] Ἐκδηλα, λαμπρά. Κρήδεμνα.] Μεταφορικῶς, τὸ πῖχυ.

391. Πότνα.] Σεβασμία, τιμία. Ἐπαρήγοις.] Βοηθοίης.

395. Παλαξέμεν.] Μολύναι, φύραι.

397. Ἄγνωστον.] Ἀγνώριστον. Πάντεσσι βροτοῖσι.] Πῶς δὲ ἡ Εὐρύκλεια γινώσκει; ἐπειδὴ χρεία αὐτῆς.

398. Κάρψω.] Μειώσω, ξηράνω.

399. Λαῖφος.] Ἱμάτιον.

400. Ἕσω.] Ἐνδύσω. Στυγέησι.] Μισήσῃ, ἀποστροφῇ. Ἔχοντα.] Ἀντὶ ου, ἐνδεδυμένον.

NOTÆ.

391. Σύν σοι, πότνια θεὰ) Ità quidem *Florentin.* *Aldin. Lovanian.* &c. ut θεὰ, μετασυλλάβως effera-tur; legitur & πότνα θεὰ, ut in Vett. *Scholiis, Aldina* Edit. &c. ut in Not. ad *Schol.*

NOTÆ IN SCHOLIA.

391. Σύν σοι, πότνα θεὰ) Πότνα, MS. *Aloyſii*, & *Hervag.* & *Aldina*, & *Morrhii* Editio, quare in *Scholiis* certè vocem retinendam cenſeo; quoniam *Varia Lectio* ità ſervatur: Quam rem *Hackiani* Editores minimè advertebant, quod dicendum ad v. 282. &c. ubi pro ἐπίλαβε, quæ *Varia Lectio* in MS. *Aloyſ.* & Omnibus aliis *Scholiorum* Editionibus, illi ex *Textu* ſubſtituerant τὸ ἐπήλυθε.

397. Πῶς δὲ ἡ Εὐρύκλεια γινώσκει) Præter quæ reſpondent *Scholia*, dicendum, Illam minimè ex facie agnoviſſe, verùm ex Plagæ ulcere. ut *Euſtath.* fol. 523. lin. 1. Ἄγνωστος δ' ἦν πᾶσι, δίχα γε τῆς μαίας, Εὐρυκλείας· πλὴν αὐτὴ οὐκ ἔτι εἶδος ἁπλῶς ἀναγνωρίζει τὸ Ὀδυσσέως· οὐ τὸ καθ' ὅλου μὲν ὃ ἦλθε, ὡς φασίν.

VARIÆ LECTIONES.

391. Πότνια θεὰ) γρ. πότνα θεὰ, vid. Not. in *Textum.*

Κνυζῶσα

Κνυζώσω δέ τοι ὄσσε, πάρος περικαλλέ' ἐόντε,
Ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης,
Σῇ τ' ἀλόχῳ, ᾗ παιδί, τ' ὀπί μεγάροισιν ἔλιπες.
Αὐτὸς δ' πρώτιστα συβώτιον εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος· ὅμως δέ τοι ἤπια οἶδε,
Παῖδά τε σὸν φιλέει, ᾗ ἐχέφρονα Πηνελόπειαν.
Δήεις τόν γε σύεσσι παρήμενον· αἱ δ' νέμονται
Πὰρ Κόρακος πέτρῃ, ἐπί τε κρηνίδι Ἀρεθούσῃ,
Ἔδουσαι βάλανον μενοεικέα, ᾗ μέλαν ὕδωρ
Πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
Ἔνθα μιν εἰρέσθαι, ᾗ πάντα παρήμενος ἐξερέεσθαι,
Ὁππῃ ἂν ἐγὼν ἔλθω Σπάρτιν ἐς καλλιγύναικα,
Τηλέμαχον καλέουσα, τὸν φίλον υἱόν, Ὀδυσῆος·
Ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
ὬΙχετο, πευσόμενος μὴ σὸν κλέος, εἴπου ἔτ' εἴης.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Τίπτε τ' ἄρ' ἔ οἱ ἔειπες, ὀϊὶ φρεσὶ πάντ' εἰδυίᾳ;
Ἦ ἵνα πὼ ᾗ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
Πόντον ἔπ' ἀπρύγετον; βίοτον δέ οἱ ἄλλοι ἔδουσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,

" Deformabo etiam tibi oculos antè perpulchros;
" Ut turpis omnibus procis appareas,
" Tuæ uxori & filio, quem in ædibus reliquisti.
" Ipse verò primùm subulcum pete,
" Qui tibi suûm custos est; nihilominùs autem tibi benè vult,
" Filiúmque tuum diligit, & prudentem Penelopem.
" Invenies hunc suibus assidentem: hæ verò pascuntur
" Apud Coracis petram; & ad fontem Arethusam,
" Comedentes glandem gratam, & nigram aquam
" Bibentes, quæ suibus innutriunt florentem pinguedinem.
" Illic mane, & omnia assidens interroga;
" Quousque ego eam ad Spartam ornatam-mulieribus,
" Telemachum vocatura tuum dilectum filium, ô Ulysses;
" Qui in latam Lacedæmonem ad Menelaum
" Ivit, percunctaturus tuam famam, sicubi adhuc esses.
Huic respondens, loquutus est prudens Ulysses,
" Cur non ei dixisti, in præcordiis omnia sciens?
" An ut & ille errans dolores patiatur
" Pontum super impacatum? fortunas interim ei alii edunt.
Huic respondit demùm Dea glaucos-oculos-habens Minerva,

ΣΧΟΛΙΑ.

401. Κνυζώσω.] Ῥυσώσω, ἀσχεπῆ καὶ ῥυσὺν ποιήσω· ὑπαὶ οἱ εἰσὶν οἱ τὸ κοψευδόντων, καὶ συμπλάσω, καὶ κακώσω.

404. Συβώτιον.] Συοτρόφον, χοιροβοσκόν.

405. Ὑῶν.] Χοίρων. Ἐπίουρος.] Ἐπίσκοπος, φύλαξ.

406. Ἐχέφρονα.] Ἔμφρονα, σωφρονοῦσαν.

407. Δήεις.] Εὑρήσεις.

408. Παρὰ Κόρακος πέτρῃ.] Οὗτος ὁ Κόραξ κυνηγῶν, ἀπὸ τῆς πέτρας πεσὼν, ἐπλεύτησε· καὶ ἡ μήτηρ αὐτοῦ Ἀρέθουσα ἑαυτὴν ἀπήγξατο. Ἀρέθουσαι δὲ τέσσαρες, ἡ Συρακόσση, καὶ Σμύρνη, καὶ Χαλκίδι, καὶ ἡ Ἰθάκη. Ἀρεθόσση.] Ἀρέθουσα, κρήνη Ἰθάκης, καὶ Ἄργους.

410. Ἀλοιφήν.] Λίπος, πιμελήν.

411. Μένειν.] Ἀντὶ τοῦ, μένε.

413. Καλέσσω,] Καλέσαι ὀφείλουσα.

NOTÆ.

409. Ἔδουσι βάλανον) Huc refer *Ælian.* Animal. l. 5. c. 45.

NOTÆ IN SCHOLIA.

408. Ἀρέθουσαι δὲ τέσσαρες) Nullum hæc habent vestigium in *Aloysii* MSto. nec tamen ideò *Schrevelii* dicendum. Nam Tres prædictæ Editt. habent, & ex *Eustathio* sumpta sunt, vel *Eustathius* potiùs hinc hausit. Ità enim ille, fol. 524. lin. 34. Κόραξ δὲ ὅτος ὃν ἰχθύος ἅπαξ, ὡς Ἀρεθόσης γυναικὸς τοῦ ἀνδρὸς· ὃς διαίταν λαχὼν ἐν Ἰθάκῃ, καὶ χρημάτων ἐπέχθη, καὶ τέθνηκεν· ἡ δὲ μήτηρ αὐτοῦ λύπῃ ἑαυτὴν ἐπί πνα κρήνην ἀπήγξατο. ἐντεῦθεν δὲ τὸ μητρὸς, Ἀρέθουσα κρήνη ἐκαλεῖτο, ἀπὸ δὲ τοῦ υἱοῦ, Κόρακος πέτρα· ἢ ὁ αὐτόπτης, Κορακοπετρίτης ἔστι δέ, φασὶν, Ἀρέθουσα καὶ ἐν Σμύρνῃ, καὶ ἐν Χαλκίδι τῇ καθ' Εὔβοιαν, καὶ ἐν Συρακούσαις. Stephan. ἐκ πόλεων, Κόρακος πέτρα, πόλις ἐν Ἰθάκῃ, Ὁμήρου· ὁ πυθμὴν οἰκῶν, Κορακοπετρίτης. Contrà quod *Eustathius*, suprà, Κορακοπετρίτης quod Notandum.

VARIÆ LECTIONES.

419. Ἔδουσι) γρ. ἔδωσι.

Μὴ δή τοι κεῖνός γε λίην ὀιζύμιος ἔστω
Αὐτὴ μὲν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο,
Κεῖσ' ἐλθών· ἀτὰρ ὔπνῳ ἔχει πόνον· ἀλλὰ ἔκηλος·
Ἧται ὀν Ἀτρείδαο δόμοις, θαρσεῖ δ' ἄσπετα κεῖνος.
Ἦ μὴν λοχόωσι νέοι σὺν νηὶ μελαίνῃ,
Ἰέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Ἀλλὰ τά γ' ὐκ οἶω, πρὶν καί τινα γαῖα καθέξει
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ὣς ἄρα μὶν Φαμβὴ ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·
Κάρψε μὴν οἱ χρόα καλὸν ὀνὶ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
Πάντεσσιν μελέεσσι παλαιῷ θῆκε γέροντος.
Κνύζωσεν δέ οἱ ὄσσε, πάρος θεὶ καλλέ' ἐόντε.
Ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ.
Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἔσατ' ἐλάφοιο
Ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δ' τρόφος ἦεν ἀορτήρ.
Τὼ γ' ὡς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
Εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος.

" Nè jam tibi ille valdè curæ sit:
" Ipsa illum mitti, ut famam bonam adipiscatur
" Illuc iens; at nullum habet dolorem: sed quietus
" Sedet in Atridæ ædibus, multa enim ei adsunt.
" Certè quidem illi insidiantur juvenes cum nave nigrâ;
" Cupientes interficere, antequam in patriam terram veniat.
" Sed hæc non puto, potiùs & aliquem terra detinebit
" Virorum procorum, qui tibi fortunas devorant.
Sic igitur ipsum alloquens virgâ tetigit Minerva:
Siccavit quidem ei cutem pulchram in flexibilibus membris:
Flavosque ex capite delevit crines, circumque pellem
Omnibus membris antiqui posuit senis.
Deformavit quoque ei oculos antèa perpulchros.
Circùm ipsum lacernam aliam malam injecit, & interulam,
Fractas, sordidas, malo conspurcatas, fumo.
Circumque ipsum magnam pellem velocis induit cervi
Depilem: deditque ei baculum & indecentem sacculum
Crebris locis rimosum; inerátque tortum lorum.
Quùm hi ità consultâssent, separati sunt: hæc quidem postèa
In Lacedæmonem divinam ivit ad filium Ulyssis.

ΣΧΟΛΙΑ.

421. Ἐνθύμιος.] Διὰ φρονήσεως.
422. Πόμπευον.] Παρέπεμπον.
423. Πόνον.] Νῦν, ἀλυπίαν.
429. Ἐπεμάσσατο.] Καθήψατο.
430. Κάρψεν.] Ἐξήρανεν.
435. Ῥωγαλέα.] Διεῤῥωγότα. Μεμορυγμένα.] Μεμολυσμένα, πεφυρμένα.
438. Πυκνὰ ῥωγαλέων.] Ἤτοι στιγμαῖς ἔχουσι ῥωγάδας, ἢ πολλῶν ῥαπισμάτων πεπληγμένων, ἢ στιγματισμένων. Στέφ.] Ἐκ χοινίκων ἐρραμμένων, ἢ ἰμὰς ἐπειρραμμένων. Ἀορτήρ.] Ἐξ οὗ αἴρεται· ὁ ἐστι, πεῖρα ἐκρέμαστο.

NOTÆ.

429. Ἐπεμάσσατο) Ità, pro ἐπεμάσατο, emendo; vid. ad *Iliad.* ε'. v. 564.

435. Μεμορυγμένα) *Suidas*, v. Μορύσσω· Μορύξαι, τὸ μολῦναι· Ὅμηρος γῦν, τὸ μεμολυσμένον, μεμορυγμένον φησίν.

439. Τὼ γ' ὡς βουλεύσαντε διέτμαγεν) Idem *Iliad.* α'. v. 531. *Ibid.* Ἡ μὲν ἔπειτα Εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος) Ex hoc Versu, sequens *Rhapsodia*, licet Initium non capiat, quoniam tum vix finem hæc rectè faceret, per ἀνάμνησιν tamen rectè Initium capere judicanda; ut sit Ordo, Τὼ γε διέτμαγεν, ἡ μὲν ἔπειτα· Αὐτὰρ ὁ ἐν λιμένι, κ.λ. Si tamen ità visum esset *Criticis*, hæc *Rhapsodia* congruè finem posset habere, cùm ἀορτὴρ, & Sequens, initium, cùm τὸν, Τὼ γ' ὡς, &c.

VARIÆ LECTIONES.

429. Ἐπμάσσατο) γρ. ἐπιμάσσατο, vid. N. in *Text.*
435. Ῥυπόωντα) γρ. ῥυπόωντα. *H. Steph.*
Ibid. Μεμορυγμένα) γρ. μεμορυχμένα.
439. Διέτμαγεν) γρ. διέτμαγον, vid. ad *Il.* α'. v. 531.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ξ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ξ'.

Ξενισμὸς Ὀδυσσέως γίνεται παρ' Εὐμαίῳ, τῷ ὑφορβῷ· καὶ ποικίλη τις ὁμιλία.

Ἄλλη ὑπόθεσις.

Ὀδυσσέως παρουσία πρὸς τὸν Εὔμαιον, καὶ λόγοι γίνονται, ἀναπλάττοντος ἑαυτὸν, καὶ πραγμάτων πλάσις ἐπηγμένη.

Ἐπιγραφή.

Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.

Ἄλλη.

* Vid. infrà, ad v. 31. Not. in *Textum*.

* Ἡ πρὸς τὸ συβώτην Ὀδυσσέως ἀνάβασις.

Ἄλλως.

Ξεῖ δ' Ὀδυσῆα ξείνισεν Εὔμαιος ἀγρῷ ὑφορβός. LIB. XIV.

Αὐταρ ὁ ἐκ λιμένος πρόσθεν πεχείην ἀταρπὸν,
Χῶρον ἄν' ὑλήεντα δι' ἄκριας· ἦ οἱ Ἀθήνη
Πέφραδε δῖον ὑφορβὸν, ὃς οἱ βιότοιο μάλιστα
Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσεύς.
Τόνδ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον· ἔνθα οἱ αὐλὴ
Ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,

AT hic ex portu ingressus est asperam semitam,
Locum per sylvosum, per juga, quâ ei Minerva
Dixerat, nobilem *esse* subulcum, qui ei fortunas maximè
Curabat famulorum, quos acquisierat divinus Ulysses:
Hunc in vestibulo invenit sedentem, ubi ei villa
Alta ædificata erat, circumspicuo in loco,

ΣΧΟΛΙΑ.

1. Προσίβη.] Προσῆλθεν.

2. Δι' ἄκριας.] Καθ' ὑπερβολάς.

3. * Δῖον.] Νῦν, * τὸν εὐγενέσθαι. Ὑφορβόν.] Χοιροβοσκόν.

5. Προδόμῳ.] Τῇ πρὸ τῆς οἰκίας στοᾷ.

ΝΟΤΑ.

V. 3. Δῖον ὑφορβόν) Ὅτι ὁ Ποιητὴς, σεμνύνων τὸν ὑφορβὸν Εὔμαιον, νῦν δῖον καλεῖ, ποτὲ καὶ ὄρχαμον ἀνδρῶν. *Eustathius* ferè ad Eminentiam inter Servos refert, fol. 526. & σπουδὴν πρὸς τὰ δισπόλικα πράγματα, ἢ φιλοδεσποτίαν, καὶ ἀγαθὸν ἦθος. Verùm addo Ego & Generis nobilitatem; Regis enim erat filius, ut patet, *Odyss.* o'. v. 412. quod miror latuisse *Eustathium*; Hoc tantùm moneo, nè φιλομήρῳ Lectori desit Argumentum, ad obturandum os *Homeri* obtrectatoribus: Regis enim filius, licet Captivus & Servus, est nobilis. Addo itaque & hoc *Scholion*, * Δῖον) Νῦν, τὸν εὐγενέσθαι.

NOTÆ IN SCHOLIA.

V. 3. * Τὸν εὐγενέσθαι. ex *Aloysii* MS.

VARIÆ LECTIONES.

V. 1. Ὃ) γρ. ὅγ', *Dionys. Halicarnass.* Edit. *Hudson.* fol. 58.

6. Περισκέπτῳ ἐνὶ χώρῳ) γρ. καπνευχέσιν λίθοισι, *Eustath.* fol. 527. lin. 2. & lin. 34. nec tamen *H. Steph.* advertebat.

Καλὴ

Καλή τε, μεγάλη τε, περίδρομος· ἣν ῥα συβώτης
Αὐτὸς δείματ' ἔεργεν, ἀποιχομένοιο ἄνακτος,
Νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος,
Ῥυτοῖσιν λάεσσι, καὶ ἐθείκνωσεν ἀχέρδῳ·
Σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
Πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας.
Ἔντοσθεν δ' αὐλῆς συφεοὺς δυοκαίδεκα ποιεῖ
Πλησίον ἀλλήλων, θυνὰς συσίν· ἐν δὲ ἑκάστῳ
Πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο,
Θήλεαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον,
Πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
Ἀντίθεοι μνηστῆρες· ἐπεὶ περίαλλε συβώτης
Αἰεὶ ζατρεφέων σιάλων τ' ἄριστον ἀπάντων·
Οἱ δ' ἦσαν τριηκόσιοί τε καὶ ἑξήκοντα πέλωνται.
Παρὰ δὲ κύνες, θῆρεσσιν ἐοικότες, αἰὲν ἴαυον
Τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν.
Αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἐράεισκε πέδιλα,
Γάμνων δέρμα βόειον, εὐχροές· οἱ δὲ δὴ ἄλλοι

Pulchráque, magnáque, quæ circumiri poterat; quam ſubulcus
Ipſe ædificaverat ſuibus, abſente rege,
Sine dominâ, & Laërte ſene,
Advectis lapidibus, & cinxerat ſepe ſpinosâ:
Paloſque extrà adegit prorſus hinc & hinc,
Denſos & crebros, nigro robore ſciſſo;
Intra verò hanc villam ſuilia duodecim fecerat
Propè inter ſe, quaſi cubilia ſuibus; in ſingulis autem
Quinquaginta ſues humi-jacentes continebantur
Fœminæ fœtæ; mares etenim foris dormiebant,
Multò pauciores; hos enim minuebant comedentes
Impii proci; quoniam mittebat ſubulcus
Semper ſaginatorum altilium optimum omnium:
Hi tamen trecentique & ſexaginta erant.
Juxtáque Canes, Leonibus ſimiles, ſemper cubabant
Quatuor, quos nutriverat ſubulcus princeps virorum.
Ipſe autem circa pedes ſuos aptabat calceamenta
Incidens pellem bovinam pulchricolorem; aliíque jam

ΣΧΟΛΙΑ.

7. Περίδρομος.] Πεπεισθὼς, γείτονας μὴ ἔχοντας ἐμποδίζοντας τῷ βουλομένῳ περιδρομεῖν καὶ περιελθεῖν αὐτούς.

10. Ῥυτοῖσι λάεσσι.] Ἐλκυστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις ἀφ' χειρῶν βασταχθῆναι, λίθοις. Ἐθείκνωσεν.] Ἐχαράκωσεν· θελικὸς γὰρ λέγεται ἡ ἐπὶ τοῖς οἰκοις στοά. Ἀχέρδῳ.] Ἀχερδὸς ἐστιν ἀκανθώδες φυτὸν, ἐξ οὗ τοὺς αἰγιαλοὺς ποιοῦσιν. Ἔνιοι δὲ ἀπέδοσαν τὴν ἀχερίδα ἄπιον· ἀκανθώδης γὰρ ἡ αὐτὴ εἴωθεν εἶναι.

11. Σταυρούς.] Τὰ ὀρθὰ καὶ ἀπεξυσμένα ξύλα. Ἔκτὸς ἔλασσε.] Ἔξω ἀφ' τοίχων ξύλα διήλασεν ὀρθά.

12. Τὸ μέλαν δρυός.] Ἤτοι δαίσας, ἢ τὴν * ἐντερώνην, τὸ ἐγκάρδιον τῆς δρυὸς· μελάνδρυον γὰρ λέγεται

NOTÆ.

7. Καλή τε, μεγάλη τε) Prius τὸ, τὲ producitur, in Cæſurâ, ante *Liquidam* & *σιγμὴν*. Vid. ſuprà, ad ξ'. v. 355.

15. Χαμαιευνάδες) Οἱ σύες, ἀπὸ τοῦ ἀκολουθοῦντος αὐτοῖς· πολλὰ γὰρ τῶν ἄλλων πετραπόδων ὀρθὰ κοιμᾶται καὶ ἑστῶτα. Ἀπίων δὲ, ὅτι βόθρους ὀρύσσει, ἀφ' τοῦ

NOTÆ IN SCHOLIA.

12. * Ἐντερώνην) Ità, pro corrupto *ἐντεριώρῳ*, ego, ex *Aloyſii* MS. *Heſychio*, & *Euſtathio*, fol. 528. lin. 6.

VARIÆ LECTIONES.

12. Θαμέας) γρ. μεγάλας, *Euſtath.* fol. 527. lin. 14. *H. Steph.* *Ibid.* Μέλαν δρυός) γρ. μελάνδρυον, *Br. Schol.*

24. Εὐχροές) γρ. εὔχροον, *H. Steph.*

Ὣς ἔχονθ' ἄλλυδις ἄλλος, ἅμ' ἀγρομένοισι σύεσσιν
Οἱ τρεῖς· τῶν δ' ἄρα τέταρτον ἀποπροέηκε πόλινδε,
Σῦν ἀγέμεν μνηστῆρσιν ὑφορβιάλοισιν ἀνάγκῃ,
Ὄφρ' ἱερεύσαντες κρειῶν χορεσαίατο θυμόν.
Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι·
Οἱ μέν, κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσεὺς
Ἔζετο κερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
Ἔνθα κέν ᾧ ᾧδε γε θυμῷ ἀεικέλιον πάθεν ἄλγος,
Ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μεταπρὸ
Ἔσσυτ' ἀνὰ πρόθυρον· σκῦτος δέ οἱ ἔκπεσε χειρός.
Τὸν μὲν ὁμοκλήσας σεῦεν κύνας ἄλλυδις ἄλλῃ
Πυκνῇσιν λιθάδεσσιν· ὁ δ' ἆψορρον ἔβησε, ἄναξ δ',
Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
Ἐξαπίνης· καί κέν μοι ἐλεγχείην κατέχυσας.
Καί δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε, στοναχάς τε.
Ἀντίθεον γὰρ ἄνακτα ὀδυρόμενος κῆ ἀχεύων
Ἥμαι, ἄλλοισιν δὲ σύας σίαλος ἀπιτάλλω
Ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός πε ἐδωδῆς
Πλάζεται ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε, πόλιν τε,
Εἴπερ ἔπι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
Ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα κὴ αὐτὸς

Iverant aliò alius; cum ſtabulantibus ſuibus
Tres; quartum autem miſerat ad urbem,
Suem ducere procis ſuperbis neceſſitate;
Ut mactantes, carnibus ſatiarent animum.
Repente verò Ulyſſem viderunt canes latratores:
Hi quidem clamantes accurrerunt; at Ulyſſes
Sedit aſſutiâ, virgâque ei excidit manu.
Tunc proprium apud ſtabulum indignum tulerat dolorem,
Sed ſubulcus celeriter pedibus velocibus ſubſequens,
Cucurrit per veſtibulum, coriúmque ei excidit manibus:
Et objurgans canes pepulit, aliò alium
Crebris lapidationibus; ipſe verò aſſatus eſt dominum,
" O ſenex, certè propemodùm te canes diſperdidiſſent
" Improviſo; & mihi crimen inhumanitatis affudiſſes.
" Atqui mihi alios Dei dederunt dolores gemitúſque:
" *Propter* divinum enim herum lugens & dolens
" Sedeo; aliiſque ſues pingues nutrio
" Ad comedendum: at ille egens fortè cibi
" Errat apud peregrinorum virorum populúmque, civitatemque,
" Sicubi adhuc vivit & videt lumen ſolis.
" Verùm ſequere, ad ſtabulum eamus, ſenex, ut & ipſe

ΣΧΟΛΙΑ.

28. Κορεσσάιατο.] Κορέσωσιν Θυμόν.] Νῦν, τὴν ἐπιθυμίαν.

29. Ὑλακόμωροι.] Ὁ μὲν Ἀρίσταρχος, ὀξύφωνοι. χρεῖττον δὲ ἀποδιδόναι, οἱ ἀεὶ δ' ὑλακτεῖν μεμωρημένοι, ὃ ἐστι πεπονημένοι, ἴδιον δὲ κυνῶν τὸ ὑλακτεῖν· * ἐν ἄλλῳ, οἱ ἀεὶ τὸ ὑλακτεῖν ἐσπουδακότες, ἢ ὑλακτικοί.

ΝΟΤΑ.

29. Ὑλακόμωροι) *Eustath.* fol. 528. lin. 53. Καίτοι μὲ Ἀρίσταρχον, οἱ ὀξύφωνοι· ἐπὶ δὲ μόρον οὐ ἄλλοις ἐδηλώθη λέξις τὸ ὀξύ· ὁ ἐξαίφνης οὖν τῷ ὑλακόμωροι· κρεῖττον δέ, φασὶν οἱ Παλαιοί, ἀποδιδόναι, Οἱ ἀεὶ τὴν ὑλακὴν μεμορημένοι, ὅ ἐστι πεπονημένοι, ἐκβάντες δὲ πάλιν δ' ὁ τῆς παραλογήσεως· ἢ ἐκ οἱ ἀεὶ τὴν ὑλακὴν δὲ φυλακὴν ὄντες, παρὰ τὴν ὥραν, τὴν φυλακὴν· ἵνα εἶεν, ὑλακοῶροι, πλεονασμῷ δέ μ'. ὑλακόμωροι. Confer *Br. Schol.* & *Etymolog.* M. in v.

31. Ἔζετο κερδοσύνῃ) *Eustath.* in locum, fol. 529. lin. 10. Φασὶ δὲ φυσικὸν βούλημα εἶναι ἀνθρώποις ἀεὶς ἐπιμέλειαν κυνῶν, τὸ κηδεμονεῖσθαί πνα, δὲ ἀρεσθαι

NOTÆ IN SCHOLIA.

29. * Ἐν ἄλλῳ, οἱ ἀεὶ τὸ ὑλακτεῖν, ex MS. *Aloysii.*

31. Ἔζετο κερδοσύνῃ) Præter *Br. Schol.* vid. Not. in *Textum.* Suſpicor autem ἐπιτεθησάμενον, vel ἐπηθησάμενον.

Σίτα

Σίτῳ ϗ οἴνοιο κορεσσάμενον ϗ θυμόν,
Εἰπὲ, ὁππόθεν ἐσσί, ϗ ὁππόσα κήδε' ἀνέτλης.
Ὣς εἰπὼν κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός.
Εἶσεν δ' εἰσαγαγὼν, ῥῶπας δ' ὑπέχυτε δασείας.
Ἐρρέσεν δ' ἔπι δέρμα ἰονθάδος ἀγελάου αἰγὸς,
Αὐτῷ ἐνθύμιον, μέγα ϗ δασύ· χαῖρε δ' Ὀδυσσεύς,
Οὕνεκά μιν ὡς ὑπέδεκτο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,
Ζεύς τοι δοίη, ξεῖνε, ϗ ἀθάνατοι θεοὶ ἄλλοι
Ὅ, τι μάλιστ' ἐθέλῃς, ὅτι μὲ φρεσὶν ὑπέδεξο.
Τόνδ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα,
Ξεῖν', οὔ μοι θέμις ἐστὶ, κακὸν κατὰ δῶμα δέχεσθαι
Ξείνου ἀπιμήσαι· πολὺ γὰρ Διός εἰσιν ἅπαντες
Ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε, φίλη τε
Γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν,
Αἰεὶ δειδιότων, ὅτ' ὀπιπραλέωσιν ἄνακτες
Οἱ νέοι· ἦ γὰρ τοῦγε θεοὶ κατὰ νόστον ἔδησαν,
Ὅς κεν ἐμὸ κεδνοῖο φίλῃ, ϗ κτῆσιν ὄπαζεν,
Οἷά τε φ οἰκῆϊ ἄνακτι εὐθυμος ἔδωκεν,
Οἶκόν τε, κλῆρόν τε, πολυμνήστην τε γυναῖκα,
Ὅς οἱ πολλὰ κάμησι, θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ·

"Cibo & vino saturatus ex animo,
"Dicas, unde sis, & quot dolores toleraveris.
Sic loquutus fabulum versùs præcessit nobilis subulcus;
Collocavitque *illum* introductum; virgultaque subtravit densa:
Instravitque pellem villosæ sylvestris capræ,
Ibidem stratum magnum & densum: gavisus est autem Ulysses,
Quòd ipsum sic susceperat, verbúmque dixit & appellavit,
"Jupiter tibi det, hospes, & immortales dei alii
"Quodcunque maximè vis, quia me benignus suscepisti.
Hunc respondens alloquutus est Eumæus subulcus,
"Hospes, non mihi fas est, neque si pejor te veniat,
"Hospitem contemnere; ab enim Jove sunt omnes
"Hospitésque, pauperésque; munus verò exiguumque, charumque
"Est nostrum: Hic enim servorum mos est,
"Semper timentium, cùm dominantur heri
"Novi; certè enim illius reditum Dii impedierunt,
"Qui me valdè diligebat & possessionem *procul-dubio* dedisset,
"Qualia suo Domestico Dominus benignus dederit,
"Domúmque & Facultates, & desiderabilem uxorem;
"Qui nempè fidelitèr ei inservîerit, Deúsq; illius laborem incremento auxerit:

ΣΧΟΛΙΑ.

50. Ἰονθάδος.] Ἤτοι νέας, ἢ παχείας, παρὰ τὸ ἴσημι ἄδην· ἢ δασείας, ἰονθοι γὰρ, αἱ ῥίζαι ϗ ἀνφύσεις τῶν τειχῶν· ἢ ἰόνθους ἐχέσης· ἰονθοι γὰρ, ἐξανθήματα ἀκμάζοντα σώμασι.

51. Ἐγκύμονος.] * Ἐγκοίμητον, ἐγκοίπιον.

56. Κακὸν σέθεν.] Μᾶλλόν σε κεκακωμένον τὴν ψυχὴν· * ἢ, πενίστερον, ϗ ἀδικχθίστερον.

59. Ἦ.] Αὐτὴ. Δίκη.] Δικαιοσύνη.

61. Ἔδησαν.] Ἐνεπόδισαν.

63. Ὧν.] Τῶν ἰδίων τῶν. Ἄναξ εὔθυμος.] Δεσπότης εὐμενής.

NOTÆ.

50. Ἰονθάδος) *Aristophanes* Grammaticus, apud *Eustath.* fol. 350. lin. 2. Περὶ Ἰονθάδος Ὁμηρικῶν, ὅτι ἀφ' ἡλικίας τινὸς ϗ μεγάθους αὐτὸ φησιν ὁ Ποιητής. *Idem*, fol. 529. lin. 49. Ἰονθάδος δὲ, ἢ τὰ νέας, καθὰ τὰς Παλαιὰς, ἢ τὰ παχείας, παρὰ τὸ ἴσημι ἄδην· ὥσπερ ϗ ἴξαλον, παρὰ τὸ ἴξασθαι ἅλις· ἵνα ᾖ πιστὸν, Ἰονθάδος, ϗ ἴξαλος· ἢ τὰ δασείας· ἴονθοι γὰρ, φασὶν, αἱ ῥίζαι, ϗ αἱ ἀνφυὴ τῶν τειχῶν ἀνφύσεις, κλ. Ἰονθάδος αἰγὸς) Ἀπίων, τὰ ἰσῆς ἡλικίας· ἢ ἰόνθους ἐχέσης, οἷον ἀνφύσεσι σκληρά.

51. Ἐγκύμονος) De hâc voce, ut & de ἴξαλον, vid. in Not. ad *Textum*.

51. * Ἐγκοίμητον, pro corrupto ἐγκοίτερον, lego. MS. *Aloysii* malè hìc ἔγκοιτον, *Morrhius* ἐγγύπερον, *Aldus*, *Hervagius*, & *Elzevirius* ἐγκοίτερον, *Eustath.* fol. 530. lin. 12. Ἐνεύνιον δ' φασιν, ἐγκοίμητον, ἐγκοίπιον, ubi hunc ipsum locum τῶν Παλαιῶν laudat. Hinc obitèr emendo *Hesychium*, Ἐνεύνιον) Μέγα ϗ πολὺ * ἐγκύπιον, lego. * ἐγκοίπιον.

56. * Ἢ πενίστερον ἢ ἀδικχθίστερον) Ex *Eustathio*, fol. 530. lin. 22.

VARIÆ LECTIONES.

46. Σίτῳ ἢ οἴνοιο) γρ. οἴνῳ ἢ σίτοιο.

65. Ἀέξει) γρ. αἴξῃ, *H. Steph.*

Ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἔπι μίμνω.
Τῷ κέ με πόλλ' ὤνησεν ἄναξ, εἰ αὐτόθ' ἐγήρα.
Ἀλλ' ὄλεθ'· ὡς ὄφελλ' Ἑλένης ἀπὸ φῶλον ὀλέσθαι
Πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γυῖα λέλυσεν.
Καὶ γὰρ ἐκεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
Ἴλιον εἰς εὐῴπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Ὡς εἰπὼν, ζωστῆρι θοῶς συνέεργε χιτῶνα.
Βῆ δ' ἴμεν ἐς συφεούς, ὅθι ἔθνεα ἔρχαλο χοίρων.
Ἔνθεν ἑλὼν δύ' ἔνεικε, καὶ ἀμφοτέρους ἱέρευσεν.
Εὖσέ τε, μίσυλλέν τε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν.
Ὀπλίσσας δ' ἄρα πάντα φέρων παρέθηκ' Ὀδυσῆι,
Θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν.
Ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον.
Αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων ἔ περσπύδα,
Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμῳῆσι πάρεστι
Χοίρεα· ἀτὰρ σάλυς γε σύας μνηστῆρες ἔδουσιν,
Οὐκ ὄπιδα Φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητύν.
Οὐ μὰν κέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
Ἀλλὰ δίκῃ τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων.
Καὶ μὰν δυσμενέες καὶ ἀνάρσιοι, οἵτ' ἐπὶ γαίης

" Ut & mihi hic meus Labor succedat augetur, in quo occupor.
" Ideò me plurimùm juvisset Dominus meus, si hìc senuisset;
" Verùm periit. Quàm debuit Helenæ genus periisse
" Funditùs, quoniam multorum virorum genua solvit.
" Etenim ille ivit Agamemnonis propter honorem
" In Ilium equestre, ut Trojanos oppugnaret.
Sic loquutus, cingulo celeriter coërcuit tunicam:
Perrexitque ire ad suilia, ubi greges includebantur porcorum:
Illinc captos duos attulit, & ambos mactavit,
Usulabatque, conciditque, & verubus infixit.
Quùm itaque assavit omnia, ferens apposuit Ulyssi,
Calida ipsis in verubus; hic verò farinam albam perspersit;
In poculoque miscebat dulce vinum:
Ipse autem è regione sedit; adhortansque alloquutus est,
" Comede nunc, ô hospes, quæ utique servis adsunt
" Porcina; at pingues porcos proci comedunt,
" Non ultionis metum habentes in mentibus, neque misericordiam.
" Nequaquam sanè impia opera Dei beati amant:
" Sed jus colunt, & pia opera hominum.
" Etiam Hostes quidem & infesti, qui terram

Σ Χ Ο Λ Ι Α.

67. Ὤνησεν.] Ὠφέλησεν.
68. *Ὄλεθ'.] Ὤλετο, ἀπώλετο. Ὤφελλον.] Ὤφελεν.
69. Προχνυ.] Νῦν, παντελῶς.
72. Ζωστῆρι.] Ζώνῃ. Συνέεργε.] Συνέδησεν.
75. Εὖσεν.] Ἔφλόγισεν.
77. Πάλυνεν.] Διέβρεχεν.
78. Κισσυβίῳ.] Ἀγγειακῷ σκεύει.
79. Ἀντίον.] Ἐξ ἐναντίας.
82. Ὄπιδα.] Τὴν εἰς τὸ μέλλον τῶν θεῶν ἐπιστροφήν. Φρονέοντες.] Λογιζόμενοι. Τετμήοντες.] Φαβέμενοι. Ἐλεητύν.] Ἔλεον· Αἰολικὴ ἡ ἀφαίρεσις.

N O T Æ.

69. Ὑπὸ γύναι' ἔλυσε) *Eustath.* fol. 531. lin. 10. Τὸ δ, ὑπὸ γύναι' ἔλυσε, δοκεῖ ἀνεπιθέτως εἰρῆσθαι ὡσὲ τὸ ὠδύχνυ· ἵνα πᾶς λέγῃ, Ὡς ἐπὶ γόνυ πέσε τὸ τῆς Ἑλένης φῦλον, ἐπὶ πολλῶν ὑπὸ γύναι' ἔλυσε. Qui & aliàs. Τὸ δ γύναι' ἔλυσε, ὡσεὶ φερωνύμως ἐπὶ δ, ἰθαναπτωσεν. Ità *Iliad.* β'. 117. — πολίων κατέλυσε κάρηνα, Ἠδ' ἔτι καὶ λύσει· τυτύσει, πόλεις ἐπόρθησε, καὶ πορθήσει.

83. Οὐ μὰν κέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν) *Catullus* Epigr. 31. *Nec Facta impia fallacûm hominum Cœlicolis placent. M. Anton. Muretus*, hunc *Homeri* locum adnotavit. Vid. *Duport.* Gnomolog. *Homeric.*

85. Καὶ μὰν δυσμενέες) Hunc quoque locum, per *Sex totos Versus*, accuratiùs paulò vertimus; de Versione enim priori non immeritò querebatur *Meric. Casaubon.* ibid. p. 19. Confer similem locum *Obadiæ*, c. 1. v. 5. *Quomodò excisa es? Si Fures advenirent tibi, si Grassatores nocturni, nonne furarentur?*

V A R I Æ L E C T I O N E S.

66. Ἔπι μίμνω) γρ. ἐπιμίμνω, *H. Steph.*
75. Εὖσέ τε) γρ. εὖσεν, *H. Steph.*
78. Κίρνη) γρ. κρίνα, *H. Steph.*
82. Φρονέοντες) γρ. τετμήοντες, *Br. Schol.*
84. Τίουσι) γρ. τίνυσι, *Grotius*, in *Stobæi* Excerpt. *Ibid.* Αἴσιμα ἔργ') γρ. ἴσασιν ἔργ', *Idem*, ibid. at *Media* Syllaba Σ ἴσασιν perpetuò *Longa*; lege ergò ἴσασ' ἔργα. Vid. *Duport.* Gnomolog. p. 222. ubi *Varias Lectiones* dictæ.

Ἀλλὰ

Ἀλλοτρίης βασσιν, καὶ σφιν Ζεὺς λητδα δώῃ,
Πλησάμενοι δέ τε νῆας ἔβαν οἰκόνδε ἕκαστος.
Καὶ μὴ τοῖς ὄπιδος κρατερὸν δέος ὀρσὶ φρεσὶ πίπτῃ·
Οἵδε ϝ᾽ * καί τι ἴσασι, θεῶν δέ τιν᾽ ἔκλυον αὐδήν,
Κείνω λυγρὸν ὄλεθρον, ὅτ᾽ οὐκ ἐθέλωσι δικαίως
Μνᾶσθαι, οὐδὲ νέεσθαι ἐπὶ σφέτερ᾽· ἀλλὰ ἔκηλοι
Κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ᾽ ἔτι φειδώ.
Ὅσσαι γὰρ νύκτες τε, καὶ ἡμέραι ἐκ Διός εἰσιν,
Οὔποθ᾽ ἓν ἱερεύουσ᾽ ἱερήϊον, οὐδὲ δύ᾽ οἴω·
Οἶνον ϝ᾽ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
Ἦ γάρ οἱ ζωὴ γ᾽ ἦν ἄσπερ· οὔπω τόσα
Ἀνδρῶν ἡρώων, οὔτ᾽ Ἠπείροιο μελαίνης,
Οὔτ᾽ αὐτῆς Ἰθάκης· οὔτε ξυνεείκοσι φωτῶν
Ἐς᾽ ἄφενος τοσοῦτον· ἐγὼ δέ κε τοι καταλέξω·
Δώδεκ᾽ ὀϊ Ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν,
Τόσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν
Βόσκουσι ξεῖνοί τε, καὶ αὐτοὶ βώτορες ἄνδρες.
Ἐνθάδε τ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν ἕνδεκα πάντα

" Alienam invaſerint & iis Jupiter prædam dederit,
" Quandò tamen ſemel impleverint Naves, redierunt domũ unuſquiſque:
" Equidem his ultionis divinæ ingens metus in animos cadit.
" Hi vero etiã aliquatenùs ſciunt (Dei nempè aliqualem audiêrunt vocẽ)
" Illius triſtem obitum; quandoquidem nolunt honeſtè
" Ambire, neque ire ad ſua: ſed ſecuri
" Bona dilapidant immoderatè, neque eſt parſimonia.
" Quotquot enim noctéſque & dies abs Jove oriuntur,
" Nunquam unam ſacrificant victimam, neque duas ſolas,
" Vinum verò conſumunt immoderatè exhaurientes.
" Certè enim ei facultates erant magnæ: nulli tantæ
" Virorum heroum, neque Epiri feracis,
" Neque ipſius Ithacæ, neque viginti virorum
" Sunt diviriæ tantæ: ego verò tibi connumerabo:
" Duodecim in Epiro armenta ſunt; tot greges ovium,
" Tot ſuum paſcua, tot ſtabula lata capratum,
" Paſcunt amicique, & ipſius paſtores viri.
" Et hoc in loco ſtabula lata caprarum undecim ipſa.

ΣΧΟΛΙΑ.

86. Βῶσιν.] Ἐπίλθωσιν ἐπὶ βόσιν.
88. Πίπτῃ.] Ὑφίσταται.
92. Φειδώ.] Ἐπιστροφή.
94. Ἱερήϊον.] Ἱερεῖον. Οἴω.] Μόνω.
95. Ἐξαφύοντες.] Ἀπαντλοῦντες.
96. Ζωή.] Ἡ ὡσὰς τὴν ζωὴν παρασκευή. * τὰ ἤια.

Οὔ πω.] Οὐδενί.
97. Ἠπείροιο.] Τῆς ἀντιπέρα Ἰθάκης. Ἠπείροιο μελαίνης.] Τῆς κατ᾽ ἀντιπέρα Κεφαλληνίας νῦν λεγ. μέρος ϝ ἐστὶ δὲ μελαίνης Ἠπείρου αὕτη, ἐπεὶ μετ᾽ ὀλίγον ἐπιφέρει ϝ, Δώδεκ᾽ ὀϊ Ἠπείρῳ ἀγέλαι.
98. Ξυνεείκοσι.] Ὁμοῦ εἴκοσι.

NOTÆ.

rentur, quod ſatis eſſet? Si *Vindemiatores* advenirent tibi, nonne relinquerent aliquot *racemos*? Item, *Jeremiæ*, c. 49. v. 9.

89. Οἵδε ϝ καί τι ἴσασι) In pluribus τὸ * ϵ exciderat, quod omninò reſtituendum.

92. Δαρδάπτουσιν) Ἐσθίουσι, ἀναλίσκουσι, μὴ ἀναγκαῖα κατεδίουσι· κυρίως μὲν ἐπὶ θηρίων· λέγει ϝ Ὅμηρος ϵ ἐπ᾽ ἀνθρώπων, χρήσεται δαρδάπτουσι, Ἁρπαγῶντες ἀναλίσκουσιν, *Heſych.*

94. Οὔποθ᾽ ἓν ἱερεύουσ᾽ ἱερήϊον) Non Unum, nec Duo duntaxat, quod Moderati Nebulones faciunt, ſed Plurima indiſcriminatim, mactabant; quod Prodigi & Effrontes facere ſolent. Pro *ἱερεύουσ᾽*, *Cantabrigienſis ἱερεύουσ᾽*, legit, ſed ferè ſola; quanquam & illa Vox ſit *Homerica*. Nulla alia ſubeſt cauſa, quod *ἱερεύουσ᾽*, mutemus. Cùm enim ante *Vocalem*, etiam *Diphthongus* corripi poſſit, *ἱερεῦ Dactylus* eſſe poteſt. Vid. plura, ad β′. v. 289.

101. Συβόσια) Ità *Veteres* hanc vocem legebant; ut & *καλλιφαλδία*, κ′. v. 169. Sin legatur *συβόσια*, *Penultima* dicatur produci ex Neceſſitate *πολυβραχίας*, de quâ re, ad *Iliad.* β′. v. 113.

NOTÆ IN SCHOLIA.

96. * Τὰ ἤια, addo ex *Aloyſii Alemanni* MSto.

VARIÆ LECTIONES.

89. Οἵδε ϝ καί τι ἴσασι) χρ. οἵδε δέ τι ἴσασι, vid. Not. in *Textum*.
92. Οὐδ᾽ ἔτι) χρ. οὐκ ἔτι, *Euſtath.* fol. 533. lin. 34. οὐκ ἔτι, *H. Steph.* οὐδέ τι, ut aliàs in ſimilibus.
94. Ἱερεύουσ᾽) χρ. ἱερεῦσ᾽, vid. Not. in *Textum*.

Ἐσχατιῇ βόσκοντ'· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρουσαν.
Τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ,
Ζατρεφέων αἰγῶν, ὅς τις φαίνηται ἄριστος.
Αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε, ῥύομαί τε,
Καί σφι συὸν τ' ἄριστον ἐὺ κρίνας ἀποπέμπω.
Ὣς φάθ'· ὁ δ' ἀδυκέως κρέατ' ἤσθιε, πῖνέ τε οἶνον
Ἀρπαλέως, ἀχέων· κακὰ δ' ἤνιπτε φύτδυεν.
Αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤγαγε θυμὸν ἐδωδῇ,
Καί οἱ πλησάμενον δῶκε σκύφος, ᾧ περ ἔπινεν,
Οἴνου ἐναίπλοον· ὃ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ὦ φίλε, τίς γάρ σε πείσατο κτεάτεσσιν ἑοῖσιν,
Ὧδε μάλ' ἀφνειὸς καὶ ἀριδείκετος; ὡς ἀγορεύεις;
Φῆς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα πάμπαν.
Εἰπέ μοι, αἴκε πόθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ πού τόγε οἶδε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Εἴ κέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ' ἀλήθω.

"In extremitate agri pascuntur; insuperque viri boni observant,
"Quorum semper ipsis unusquisque in die pecudem ferat,
"Saginatarum caprarum, quæcunque appareat optima.
"At ego sues has servóque, tueórque,
"Et ipsis suûm optimum curiosè electum mitto.
Sic dixit: at ille intentè carnes comedebat, bibebátque vinum
Raptim, tacitè; mala autem procis serebat.
At postquam cœnaverat, & explerat animum cibo,
Etiam ei impietum dedit *Eumæus* poculum, quo ipse bibisset,
Vino plenum: hic verò suscepit, gavisusque est animo,
Et ipsum appellans verba velocia alloquutus est,
"O amice, quisnam te emit rebus suis,
"Sic valdè dives, & fortis, sicut dicis?
"Dicis enim ipsum perisse Agamemnonis propter honorem.
"Dic mihi, sicubi fors cognòrim, talis quum fuerit:
"Jupiter enim hoc scit, & immortales dei alii,
"Si fortè ipsum nunciem vidisse: multùm etenim erravi.

ΣΧΟΛΙΑ.

104. Ὄρουσαν.] Ὀρῶσι, φυλάττουσιν. Ὄρουτο.] Ἐπικαλοῦσιν.
105. Ἀγινεῖ.] Ἄγει, κομίζει.
108. Εὐκρίνας.] * Καθαλεξάμενος.
110. Ἀρπαλέως.] Ἀρπαλικῶς. Φύτδυεν.] Κατεσκεύασεν.
113. Ἐνίπλοον.] Πεπληρωμένον.
117. * Φθίσθαι.] Φθαρῆναι, ἀπολωλεκέναι.
118. Γνώω.] Γνωρίσω, ἐπιγνῶ. Τοιοῦτον ἐόντα.] Θαυμαστὸν, οἷον σὺ λέγεις.
120. Ἀγγείλαιμι.] Μηνύσω. Ἀλήθω.] Ἐπλανήθην.

NOTÆ.

105. Μῆλον ἀγινεῖ Ζατρεφέων αἰγῶν) Hìc apertè μῆλον, non pro *Ove*, sed pro *Capellâ*. Ità *Exod.* c. 12. v. 5. Paschalis *Agnus*, potuit esse vel *Agnus*, vel *Hœdus*.

107. Φυλάσσω τε, ῥύομαί τε) Vid. ad *Iliad.* ὁ'. v. 257.

108. Εὐ κρίνας) Tutius est *disjunctim* scribere, ἐὺ κρίνας, non ut olim ἐϋκρίνας, quomodò infrà, v. 247, ἐὺ πλανᾶσθαι, pro ἐϋπλανᾶσθαι. Idem dicendum de voce, ἐύτρεφον, quam *disjunctim* in nostrâ *Editione* lego, ἐὺ τρέφει, ad τ'. v. 354. Vid. quæ Nos

NOTÆ IN SCHOLIA.

108. * Καθαλεξάμενος, pro ἐπιλεξάμενος, ex *Aloysii* MSto.

117. * Φθίσθαι) Ità MS. *Scholia Aloysii*, ità *Aldina*, ità *Bedrotiana*, *Hervagiana*, & *Parisiana Morrhii*; quin *Henr. Steph.* inter *Var. Lect.* agnoscit; quare nè hujus quoque *Lectionis* antiqua Vestigia prorsus deleantur; licet φθίσθαι in *Textu* maneat, φθίσθαι tamen, ut priùs, *Scholiis* restituo.

VARIÆ LECTIONES.

108. Εὐ κρίνας) γρ. ἐϋκρίνας, vid. Not. in *Textum*.
110. Ἀχέων) γρ. ἀχέων, vid. Not. in *Textum*.
112. Σκύφος) γρ. σκύφον, *Eustath.* fol. 535. lin. 9. vid. Not. in *Scholia*.
115. Τίς γάρ σε) γρ. τίς κ' ἄρ σε. Vid. ad κ'. v. 174. & v. 190.
117. Φθίσθαι) γρ. φθίσθαι, *H. Steph.* & *Br. Schol.*
120. Ἐπὶ πολλὰ) γρ. ἐπίπολλα, *H. Steph.*

Τόν δ'

Τόνδ' ἠμείβεθ' ἔπειτα συβώτης, ὄρχαμος ἀνδρῶν,
Ὦ γέρον, οὔτις ἐκεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν
Ἀγγέλλων πείσαι γυναῖκά τε ἠ Φίλον υἱόν.
Ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
Ψεύδονται, οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
Ὃς δ' ἂν ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
Ἐλθὼν ἐς δέσποιναν ἐμὴν, ἀπατήλια βάζει.
Ἡ δ' εὖ δεξαμένη, φιλέει ἠ ἕκαστα μεταλλᾷ,
Καί οἱ ὀδυρομένῃ βλεφάρων ἄπο δάκρυα πίπτει,
Ἣ θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ' ὄληται.
Αἶψά κε ἠ σὺ, γέρον, ἔπος ἀμφιτελήσαιο,
Εἵματα τοί χλαῖνάν τε, χιτῶνά τε, εἵματα δοίη.
Τῷ δ' ἤδη μέλλουσι κύνες, ταχέες τ' οἰωνοὶ,
Ῥινὸν ἀπ' ὀστεόφιν ἑρύσαι· ψυχὴ δ' ἐκ λέλοιπεν.
Ἦ τοι γ' ἢ πόντῳ φάγοι ἰχθύες, ὀστέα δ' αὐτῆ
Κεῖται ἐπ' ἠπείρῳ, ψαμάθῳ εἰλυμένα πολλῇ.
Ὣς ὁ μὲν ἔνθ' ἀπόλωλε· φίλοισι δὲ κήδε' ὀπίσσω
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γάρ ἔτ' ἄλλον
Ἥπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω,
Οὐδ' εἴ κεν πατρὸς ἠ μητρὸς αὖτις ἵκωμαι
Οἶκον, ὅθι πρῶτον γενόμην, καί μ' ἔτρεφον αὐτοί.
Οὐδέ π τῶν ἔτι τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὀφθαλμοῖσιν ἰδέσθαι, ἐὼν ἐν πατρίδι γαίῃ·
Ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, ἠ οὐ παρεόντ' ὀνομάζω

Huic respondit postea subulcus, princeps virorum,
" O senex, nullus illum vir peregrinus veniens
" Nuncians persuaserit uxorique & dilecto filio.
" Sed temerè receptionis indigi viri peregrini
" Mentiuntur, neque volunt vera loqui:
" Quicunque enim peregrinus Ithacæ in populum venit,
" Profectus ad dominam meam fallacia loquitur.
" Hæc verò benignè exceptum, diligit & singula inquirit,
" Et ei lugenti palpebris lacrymæ decidunt;
" Ut mos est mulieris, cùm maritus alibi periit.
" Statim fors & tu, senex, verbum fabricaveris,
" Si quis tibi penulámque, tunicámque, vestimenta det.
" Illius autem jam destinant canes velocesque vultures
" Cutem ab ossibus trahere; anima enim destituit.
" Vel illum in ponto comederunt pisces, ossaque ipsius
" Jacent in terrâ, arenâ mersa multâ.
" Sic ille quidem illic periit; amicis verò dolores post
" Omnibus, mihi autem maximè, superunt! non enim ampliùs alium
" Humanum adeò dominum inveniam, quocunque ibo.
" Neque si ad patris & matris iterum irem
" Domum, ubi primùm ortus sum, & me educaverunt ipsi;
" Neque ob hos ampliùs tantùm lugeo mœstus,
" Oculis ut videam, existens in patriâ terrâ;
" Sed me Ulyssis desiderium capit absentis;
" Hunc quidem ego, ô hospes, & non præsentem nominare

ΣΧΟΛΙΑ.

123. Ἀγγέλων.] Μιλούων.
124. Ἄλλως.] Μάτην. Κομιδῆς.] Ἐπιμελείας.
Κεχρημένοι.] Χρῄζοντες. Ἀλῆται.] Οἱ πλανώμενοι.
126. Ἀλητεύων.] Πλανώμενος.
127. Ἀπατήλια.] Ἀπατηλά. Βάζει.] Λέγει, φράζει.
128. Φιλέει.] Φιλικῶς ὑποδέχεται. Μεταλλᾷ.] Ἐπιζητεῖ.
131. Παραλελεκτήναιο.] Παραπεχθήσεται, παρὰ τὴν
ἀλήθειαν * καθαπτυόσεως.
134. Ἑρύσαι.] Ἑλκύσαι, διασπάσαι.
136. Ψαμαθῷ.] * Ψάμμῳ, ἢ κόνει. Εἰλυμένα.] Κεκαλυμμένα.
137. Ἀπόλωλε.] Ἀπόλοιτο.
144 Πάθος.] Ἐπιζήτησις. Αἴνυται.] Λαμβάνει.
145. Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε.] Φησὶν, ὅτι Ὀδυσσέα φιλοφρονημάτων ἕνεκα σωτηρίας ὀνομάζειν αἰδοῦμαι πρεσβύτερον ὄντα ἀδελφὸν καλῶ.

NOTÆ IN SCHOLIA.

131. * Καθαπτυόσεως) Hanc vocem in fine addo, ex *Aloysii* MSto.
136. * Ψάμμῳ) Ità ex eadem MSto. *Aloysii*, pro ψαμάθῳ, nè vox ulla per se exponi videretur.

VARIÆ LECTIONES.

126. Ὃς δ' ἂν) γρ. ὅς δέ κ', *H. Steph.*
142. Οὐδέ τι τῶν) γρ. οὐδέ τι τῶν, *H. Steph.*

Αἰδέο-

Αἰδέομαι· περὶ γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ·
Ἀλλά μιν ἠθεῖον καλέω, καὶ νόσφιν ἐόντα.
Τόνδ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσεύς,
Ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδέ τι φῂσθα,
Κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος·
Ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
Ὡς νεῖται Ὀδυσεύς· θᾶσσον δέ μοι ἔστω,
Αὐτίκα, ἐπεὶ κεν κεῖνος ἰὼν τὰ ἃ δώματ' ἵκηται,
Ἕσσαι μὲ χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
Πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔτι δεχοίμην.
Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς Ἀΐδαο πύλῃσι
Γίνεται, ὃς πενίῃ εἴξων ἀπατήλια βάζῃ.
Ἴσθι νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἰσίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ἦ μὴν τοι τάδε πάντα τελεῖται, ὡς ἀγορεύω·
Τῷδ' αὐτῷ λυκάβαντος ἐλεύσεται Ὀδυσεύς,
Τῷ μὲν φθίνοντος μηνὸς, τῷ δ' ἰσταμένοιο,

"Reverear; valdè enim me diligebat & curabat in animo;
"Sed tamen ipsum fratrem majorem voco, vel longè absentem.
Hunc rursus alloquutus est patiens divinus Ulysses,
"O amice, quandoquidem omninò negas, neque dicis
"Illum venturum esse, animus utique tibi semper incredulus:
"Verùm ego non temerè loquar, sed cum juramento,
"Quòd redibit Ulysses; præmium-boni-nuntii verò mihi sit,
"Tum statim, postquam ille redux suas ædes pervenerit,
"Indue me penulam, & tunicam, vestes pulchras:
"Antè autem, licet magnopere indigens, nequaquam accipiam.
"Inimicus enim mihi ille non minùs Ditis januis
"Est, qui egestate coactus fallacia loquitur.
"Sciat nunc Jupiter primùm deorum, hospitalisque mensa,
"Penatesque Ulyssis irreprehensi, quos advenio;
"Certè quidem hæc omnia perficientur, sicut dico:
"Hoc autem ipso anno veniet huc Ulysses,
"Vel fine hujus Mensis, vel Principio sequentis,

ΣΧΟΛΙΑ.

147. Ἠθεῖον.] Πρεσβύτερον ἀδελφὸν. * Θαυμαστὸν ἄγαν.

149. Ἀναίνεαι.] Ἀπιστεῖς, παραιτῇ.

152. * Νεῖται.] Ἐλεύσεται, ἔρχεται. Εὐαγγέλιον.] Ἀγαθῆς ἀγγελίας δῶρον.

159. Ἰσίη τ' Ὀδυσῆος.] Ὁ βωμὸς τῆς ἑστίας.

NOTÆ.

147. Ἠθεῖον) Vid. ad *Iliad.* χ'. v. 229.

152. Εὐαγγέλιον οὔ μοι ἔστω) Apertè in hoc loco Εὐαγγέλιον sonat, δῶρον ὑπὲρ ἀγαθῆς ἀγγελίας, *Hispanicè*, Los Albricios. Ita mox, v. 165. Οὐδ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω. Neque ego bonum hoc nuncium retribuam, εὖδέν σε λήσω ἐπὶ τούτῳ ἀγαθῷ ἀγγέλματι, ubi idem significat, quod apud Nos *Christianos*, quibus Nuntium omnium exoptatissimum, *viz.* Deum in *Christo* Peccatoribus conciliatum, Εὐαγγέλιον dicitur.

156. Ἐχθρὸς γάρ μοι κεῖνος) Huic *Distichо* ferè geminum habemus, *Il.* ι'. v. 312. Ità *Homerus*, seipsum παρῳδῶν, originem *Parodiis* dedit. *Psal.* 28. v. 3.

159. Ἰσίη τ' Ὀδυσῆος ἀμύμονος. Et mox. Καὶ οἱ μὲν Ἀρκτικοὶ, ἀφ' ἧς ἑ. ἑστιῶν, καὶ ἑστία· οἱ δὲ Ἴωνες καὶ Δωριεῖς, ἀφ' ἧς ι, ἑστιῶν, ἐξ ἑστίας· ἀμφότερα δὲ εἶσι παρὰ τῷ Ποιητῇ, Ἰσίη τ' Ὀδυσῆος· ἐξ ἀφ' ἧς ε. ἐν τῷ Ἀνέσιος. Vid. ad *Var. Lect.* & Not. in *Textum*, τ'. v. 304. & ad υ'. v. 231.

161. Τῷδ' αὐτῷ λυκάβαντος) *Julian.* Apostata, Orat. 4. fol. 154. Καί τοι λυκάβαντος φασὶν ἀπ' ἔτους Ἡλίου, τ' ἐνιαύσιον χρόνον. Ὀνομάζει δ' αὐτὸν οὐκ Ὅμηρος μόνον, ἀλλ' οἱ γνώριμοι τῆς Ἑλλάνων, τῷ τὸ ὄνομα· ὡσὲ δ' καὶ ὁ Διός· Λιωνύσου γάρ φησιν, Ὀρχομενὸς λυκάβαντα, δυωδεκάμηνα κέλευθα.

NOTÆ IN SCHOLIA.

147. *Θαυμαστὸν ἄγαν) Hæ voces in tribus Vett. *Impressis* adsunt, in MSto. frustrà quæras.

VARIÆ LECTIONES.

151. Οὐκ αὔτως) γρ. οὐκ αὔτως. *Eustath.* fol. 537. lin. 8. Ἰσέον, ὅτι τὸ οὐκ αὔτως ὁ τοῖς Ἀλικαρνασσεῦσι, ἀφ' ἧς κ'. ἀναφερόμενον, δηλοῖ ψιλοῦσθαι τὸ αὔτως, Ἰωνικῶς· ἢ ἐξ ὡς ἀπὸ ἧς, αὐτός.

159. Ἑστίη) γρ. ἰστίη. MSS. *Aloysii* Schol. *Romana* Editio, & *Basileensis Eustathii*, Textus, & περιεχόμενοι, *Aldina*, *Bedroti* & *Morrhii* Editt. *Scholiorum*; etiam *Etymolog.* M. ut in Not. ad *Textum*; omnes denique Codd. in τ'. v. 304. quare & hic in *Textum* admitto.

Οἴκαδ'

Οἴκαδε νοστήσῃ, καὶ τίσεται, ὅς κεν ἐκείνου
Ἐνθάδ' ἀπημάξῃ ἄλοχον, καὶ φαίδιμον υἱόν.
Τόνδ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα,
Ὦ γέρον, ἦ τ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω,
Οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἔκηλος
Πῖνε, καὶ ἄλλα παρὲξ μεμνώμεθα, μηδέ με τούτων
Μίμνησκ'· ἢ γὰρ θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἄχνυμαι, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος.
Ἀλλ' ἤτοι ὅρκον μὲν ἐάσομεν· αὐτὰρ Ὀδυσεὺς
Ἐλθοι, ὅπως μὶν ἔγωγ' ἐθέλω, καὶ Πηνελόπεια,
Λαέρτης θ' ὁ γέρων, καὶ Τηλέμαχος θεοειδής.
Νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ' Ὀδυσεύς,
Τηλεμάχῳ· τὸ μὲν ἐπεὶ θρέψαν θεοί, ἔρνεϊ ἶσον,
Καί μιν ἔφην ἔσεσθαι ὀπηδεόντων γε ἀνδρῶν οὔτι χερείω
Πατρὸς ἑοῖο φίλοιο, φρένας καὶ εἶδος ἀγητόν·
Τῷδέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας,
Ἠέ τις ἀνθρώπων· ὁ δ' ἔβη, μετὰ πατρὸς ἀκουήν,
Ἐς Πύλον ἠγαθέην· τὼ δ' οἰωνίζονται ἀγαυοὶ
Οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὀλέσσῃ
Νώνυμον ἐξ Ἰθάκης Ἀρκεισιάδαο θείοιο.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλώῃ,
Ἦ κε φύγοι, καί κέν οἱ ὑπέρσχοι χεῖρα Κρονίων.

"Domum revertetur, & puniet, quicunque illius
"Hic vituperat uxorem, & illustrem filium.
Hunc respondens alloquutus es, Eumæe subulce,
"O senex, neque profectò ego boni-nuncii-munus hoc rependam,
"Neque Ulysses adhuc domum veniet: verùm quietus
"Bibe, & alia præterea memoremus, neque mihi hæc
"Memora: certè enim animo in pectore meo
"Tristor, quando aliquis meminit honorandi Domini.
"Sed nunc juramentum quidem sinamus: at Ulysses
"Veniat, ut ipsum ego volo, & Penelope,
"Laërtésque senex, & Telemachus divinus.
"Nunc rursus nati casum lugeo, quem genuit Ulysses,
"Telemachi, quem postquam nutriverunt dii, plantæ similem,
"Et ipsum dicebam fore in viris non pejorem
"Patre suo charo, consiliis & specie admirabilem;
"Hujus aliquis immortalium læsit mentem intùs æquabilem,
"Vel aliquis hominum; hic enim ivit, post patris auditionem,
"In Pylum divinam; hunc verò proci superbi
"Domum venientem insidiis petunt; ut genus prorsùs pereat
"Sine nomine ex Ithacâ Arsecii divini.
"At verò illum quidem sinamus, sive oppressus sit,
"Sive fugerit, & eum protegat manu Saturnius:

ΣΧΟΛΙΑ.

168. Μεμνώμεθα.] Μνηθῶμεν.
169. Μίμνησκε.] Ὑπομνήσῃ. *Ποίῃ.
170. Μνήσῃ.] Ὑπομνήσῃ. Κεδνοῖο.] Ἐπιμελοῦς.
174. Ἄλαστον,] Ἀλαίτως, ἀνεπιλήπτως.
176. Χερείω.] Χείρονα, ἐλάττονα.
181. Λοχῶσιν.] Ἐπιτηροῦσιν.
182. Νώνυμον.] *Ἀνώνυμον, ἀκλεᾶ, ἄπικνον· ᾧ οὐκ εἰσὶ κληρονόμοι ὁμόφυλοι.

NOTÆ.

166. Οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον) Vid. suprà, ad v. 152.
171. Ἐάσομεν) Ità scribendum, pro ἐάσομεν, sæpè probo; & olim, *Iliad. ω'.* v. 71.

NOTÆ IN SCHOLIA.

169. *Ποίει) Ità pro ἐποίει, lego; cùm sit *Imperativum*.
182. Νώνυμον) Ἀνώνυμον, ἀκλεᾶ, ἄπικνον· ᾧ οὐκ εἰσὶ κληρονόμοι ὁμόφυλοι, Tale quid ad hunc locum hactenùs desideratum constat; nam quæ priùs hìc legebantur Νωνύμους) Ἀνωνύμους, νῷ δυσφήμους· οἷς οὐκ ἄν τις εὔφημον εἴποι, ea quidem nullum hic jus aut locum habent, at ad *Iliad μ'.* v. 70. summo jure pertinent. Adeò dispersa & malè ordinata hæc *Scholia* sæpenumerò invenias, & aliquando etiam ex Veteribus Lexicographis compilata, sine ullo delectu, aut judicio, ut hoc ipsum ex illo *Hesychii*, Νώνυμον) Ἀνώνυμον, δύσφημον· ὃν οὐκ ἄν τις εὔφημον εἴποι. Vid. infrà, ad v. 327.

VARIÆ LECTIONES.

163. Νοστήσῃ) γρ. νοστήσας, *H. Steph.*
168. Πῖνε καὶ ἄλλα) γρ. πῖνέ τι, καὶ ἄλλα, *H. Steph.*
171. Ἐάσομεν) γρ. ἐάσομεν, vid. Not. in *Textum*.
183. Ἐάσομεν) γρ. ἐάσομεν, vid. suprà, ad v. 171.

Ἀλλ' ἄγε μοὶ σὺ, γεραιὲ, τὰ σ' αὐτῷ κήδε' ἐνίσπε,
Καί μοι τῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεὺς,
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω,
Εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἡμὲν ἐδωδὴ,
Ἡδὲ μέθυ γλυκερὸν, κλισίης ἔντοσθεν ἐοῦσι,
Δαίνυσθαί τ' ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἕποιεν,
Ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
Οὔτι μεταπρήξαιμι, λέγων ἐμὰ κήδεα θυμῷ,
Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων,
Ἀνέρος ἀφνειοῖο παῖς· πολλοὶ δὲ καὶ ἄλλοι
Υἱέες ἐν μεγάροις ἡμῷ τράφεν, ἠδ' ἐγένοντο,
Γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ

"Sed age mihi tu, senex, tua ipsius incommoda enarra,
"Et mihi hoc dic verum; ut benè intelligam,
"Quis? unde es virorum? ubi tibi civitas & parentes?
"Quâ autem in nave venisti? quomodo te nautæ
"Duxerunt in Ithacam? qui esse profitebantur?
"Nequaquam enim te peditem puto huc venisse.
Hunc respondens, alloquutus est prudens Ulysses,
"Etenim tibi ego hæc valdè verè dicam.
"*Suppono*, quòd sit quidem nunc nobis in *longum* tempus & cibus,
"Et vinum dulce, tecta intra manentibus,
"Epularique quietè, alii autem opus exequantur,
"Facilè postea & in annum omnes
"Ne sic percurrerem dicens meos dolores animi,
"Quotquot jam omnes deorum voluntate pertuli.
"Ex Cretâ quidem genus profitor amplâ
"Viri divitis esse filius, multi verò & alii
"Filii in ædibus & educati sunt, & orti
"Legitimi ex uxore; me autem empta peperit mater

ΣΧΟΛΙΑ.

193. Ἐδωδή.] Τροφή.
194. Ἔασιν.] Οὖσιν, ὑπάρχουσιν.
195. Ἀκέοντες.] Ἡσυχάζοντες. Ἕποιεν.] Ἐνεργεῖν.
197. Διαπρήξαιμι.] Διέλθοιμι.
198. Ξύμπαντα.] Ὁμοῦ πάντα.
199. Κρητάων.] Τῆς Κρήτης. Εὐρειάων.] Ἀντὶ εὐρείας· νῦν δὲ, μακρᾶς· ἔστιν γὰρ ἡ Κρήτη. ἐκπεσόντι δέ φασιν εἶναι φεύγοντα τὸν Ἕλλησπον, ἐπὶ πόρρω τὴν Ἑλλάδος.
201. Ἐγένοντο.] Ἐγενήθησαν.
202. Ὠνητή.] Ἐξ ἀγορασίας δηλη.

NOTÆ.

199. Ἐκ μὲ Κρητάων γένος εὔχομαι εὐρειάων) Κρητῶν. ἀντὶ δὲ, Κρήτης. Ità *Catullus*, Mavult quàm *Syrias Britanniasque*. Et *Propertius*, Dic alias iterum naviget *Illyrias*. *Jos. Scaliger* dicit, Solenne fuisse, *Romanorum* Provincias Numero *Plurali* enuntiare. In hoc Versu *Rhythmus* insignis, ut *Odyss. α'.* v. 40. Ἐκ δὲ Ὀρέστεω πίσις ἔστε Ἀτρείδαο. & v. 397. Αὐτὰρ ἐγὼν οἶκόνδε ἄνακτ' ἔσσυμαι ἐμμεμαῶτα. Item, *δ'.* v. 224. Οὔθ' Ἡρακλῆϊ, οὔτ' Εὐρύτῳ Οἰχαλιῆϊ. Et *μ'.* v. 70. Ἀρχὼ πεισομένοισι παρ' Αἰήταο πλέουσι. Talis ille *Simmia* in *Gorgo*, apud *Athenæ.* l. XI. fol. 491. Αἰθίοπι ὠκείᾳ ταχύπολοι πίλναντο πίλεια. Item *Anthologi.* l. I. c. 13. §. 16. fol. 19. Πειράζεις τὸ Νείλου ὁ δὲ, τὸ δίναις κροκόδειλον. Item, Τῷ πολυκαλλιθρῖτῳ τῦτ' ἠρίον Ἀρκαδίωνος. Hâc Rhythmi dulcedine capti Neoterici, præsertim *Orientalibus* & *Septentrionalibus* Linguis ὁμοιοπλώτοις cadentibus, sonum semper sibi similem, in Versibus condendis, captabant, quod in *Anglicâ* nostrâ Linguâ, *Gallicâ*, & *Germanicâ*, aptiùs, quàm in *Græcâ*, aut *Latinâ*, conveniet. Verùm nec *Ovidius*, nec *Virgilius* hanc rem intactam reliquerunt, præsertim in ὁμοιοπλώτοις. Sed *Monachorum* indocta supinitas, Schola *Salerni*, Carmina *Proverbialia*, *Cambdenique* nostri Reliquiæ plus satis hujus generis suppeditabunt, & Nos, in Prælectionibus *Græcis*, ad *Odyss. α'.* §. XXVII.

VARIÆ LECTIONES.

185. Σ' αὐτῷ) γρ. σαυτῷ, vid. ad *Iliad. κ'.* v. 389.
193. Νῶϊν) γρ. ἡμῖν, *Eustath.* fol. 539. lin. 27.
195. Ἐπὶ ἔργον ἕποιεν) γρ. ἐπ' ἔργα ἕποιεν, & ἐπὶ ἔργα τράποιντο, *Eustath.* fol. 539. lin. 30. & 47.
201. Υἱέες ἐν μεγάροις) γρ. υἷες ἐνὶ μεγάροις, & μεγάρῳ, *H. Steph.*

Παλλα-

Παλλακὶς, ἀλλά με ἶσον ἰθαγενέεσσιν ἐτίμα
Κάστωρ Ὑλακίδης, ὃ ἐγὼ γένος εὔχομαι εἶναι·
Ὅς ποτ' ἐνὶ Κρήτεσσι, θεὸς ὣς, πέπτο δήμῳ,
Ὄλβῳ τε, πλούτῳ τε, καὶ υἱάσι κυδαλίμοισιν.
Ἀλλ' ἦτοι τὸ κῆρες ἔβαν θανάτοιο, φέρουσαι
Εἰς Ἀΐδαο δόμους· τοὶ δ' ζωοὶ ἐδάσαντο
Παῖδες ὑπερθύμοι, καὶ ἐπὶ κλῆρους ἐβάλοντο·
Αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν, καὶ οἴκεῖ' ἔνεμαν.
Ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων,
Εἵνεκ' ἐμῆς ἀρετῆς· ἐπεὶ οὐκ ἀποφώλιος ἦα,
Οὐδὲ φυγοπόλεμος· νῦν δ' ἤδη πάντα λέλοιπεν·
Ἀλλ' ἔμπης καλάμῳ γέ σ' οἴομαι εἰσορόωντα
Γινώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
Ἦ μὲν δὴ θάρσος μοὶ Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη,
Καὶ ῥηξηνορίην· ὁπότε κείνοιμι λόχονδε
Ἀνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων·
Οὔ ποτέ μοι θάνατον προθυμέετο θυμὸς ἀγλαὸς,

"Pellex; ſed me pariter cum legitimis æſtimabat
"Caſtor Hylacides, hujus ego genus profiteor eſſe:
"Qui quondam in Cretenſibus, ut Deus, colebatur populo,
"Fortuniſque, divitiiſque, & filiis glorioſis.
"Sed certè illum fata iverunt mortis, ferentia
"Ad Ditis domos: facultates verò diviſerunt
"Filii inſolentes, & ſortes jecerunt:
"At mihi valdè pauca dederunt, & ædes tribuerunt.
"Duxi tamen uxorem locupletiſſimorum hominum
"Gratiâ meæ virtutis, quoniam non rejectaneus eram,
"Neque pugnæ deſertor: nunc autem jam omnia defecerunt,
"Sed tamen ſtipulam te arbitror intuentem
"Cognoſcere; certè enim me calamitas tenet valdè multa.
"Sanè quidem tunc audaciam Marſque dederunt & Minerva,
"Et fortitudinem; cùm legerem ad inſidias
"Viros optimos, mala inimicis moliens;
"Nunquam mihi mortem ante oculos poſuit animus virilis,

ΣΧΟΛΙΑ.

203. Ἰθαγενέεσσι.] Τέκνοις γνησίοις.
204. Ὑλακίδης.] Ὑλάκου παῖς.
206. Κυδαλίμοισιν.] Ἐνδόξοις.
208. Ζωοὶ.] Περιουσίαν.
209. Ἐδάσαντο.] Ἐπωλήσαντο.
210. Οἰκεῖα.] Οἰκήσιν, οἴκων.
211. Πολυκλήρων.] Πλουσίων.
214. Καλάμῳ.] Τὸ γῆρας, τὸ λεῖψανον ὥσπερ ξύμῳ, καὶ μεταφορά· ἢ γὰρ τὸ εὐζωὴ πυρὸν, ὁ τὸ ὑπολειφθείσης καλάμης δυνάμενα νοῆσαι· ἢ ὃ καλάμη, ἡ ὑποταθεῖσα ξύλον ὑπολειπομένη σίτου. Καλάμῳ.] Πι-

N O

203. Ἰθαγενέεσσιν) Miror, hoc in loco *Henrici Stephani* diligentiam fugiſſe, quod alia ſit *Lectio* ſ. Ἰθαιγενέεσσιν, etiam apud *Euſtathium*, quem videri ſibi vult totum excuſiſſe; & eo nomine pluribus magnis Viris impoſuit; cùm tamen in *Variis Lectionibus*, haud rarò illum omiſiſſe, quæ *Euſtathius* notavit, probemus. De hâc certe voce, *Euſtath.* fol. 542. lin. 27. Ἐπὶ δὲ ὅτι καὶ πλεονασμῷ ξ ἴσως λέγει Ἰθαιγενὴς, ὡς καὶ εὐπατρίδαι τινες γεγράφασιν· ὁμοίως τῷ Ἰθαμενίης, Ἰθαιμενίης, κύριον. Alludit nempe, & reſpicit illud *Homeri*, Iliad. π'. v. 586. Καί ῥ' ἔβαλε Σθενέλαον Ἰθαιμενέος φίλον υἱόν. *Aloyſii Alemanni*

VARIÆ LECTIONES.

203. Ἰθαγενέεσσιν) γρ. ἰθαιγενέεσσιν, *Euſtath.* fol. 542. lin. 26. nec tamen *H. Steph.* vidit, vid. Not. in *Textum*.

ἰθαγενὴς τῷ παρεδείγματι, ὡς δὲ ποὺς ἄγροικον ὄντος ξ λόγου· ἔστι δ' ὅλον ὅπερ εὐαργές. ὡς δὲ λύπη τὸ καλάμης ἔνεστι νοῆσαι τὸ καλὸν τῶν πεθερισμένων καρπῶν, ὅτις καὶ ἐν πεσουλικῷ σώματος τὴν ἀρχαίαν ἕξιν καταινοῆσαι.

215. Δύη.] Κακοπάθεια, καὶ ἡ ἐξ εὐδίας δυσχέρεια.

217. Ῥηξηνορίην.] Τουτέστιν ῥήσεων τὴν ἀνδρείαν, ὅ ἐστι τὴν ἀνδρείαν καὶ γενναιότητα τῶν πολεμίων. Κείνοιμι.] Διαχωρίζοιμι. Λόχονδε.] Εἰς ἔνεδρον.

219. Προθυμέετο.] Προέβλεπεν, προσεδόκα.

T Æ.

MS. apertè legit Ἰθαιγενέεσσιν, excepto quòd in fine perperam ſcribatur ἐσσι, pro ἐεσσι, & ità Vett. Codd. quare Nos in *Scholiis*, Ἰθαιγενέεσσι ponimus.

210. Αὐτὰρ ἐμοὶ μάλα παῦρ' ἔδοσαν) *Solonis* Lex, Νόθῳ μὲν εἶναι ἀγχιστείαν, γνησίων ὄντων παίδων. Quin *Abrahamus* Patriarcha natos ex Concubinis donis affectos in alias Regiones emiſit, *Iſaco* autem, legitimo Filio, totam hæreditatem reliquit, *Geneſ.* c. 25. v. 5, 6.

216. Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη) Σχῆμα Ἀλκμανικὸν, de quo Nos ad κ'. v. 513.

205. Ὅς ποτ') γρ. ὃς τότ', *H. Steph.* *Ibid.* Κρήτεσσι) γρ. Κρήτῃσι. Vid. ad v. 199. ubi Κρῆτες, pro Κρῆτα.

Ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχει ἔλεσκον
Ἀνδρῶν δυσμενέων, ὅ, τε μοὶ εἴξειε πόδεσσι
Τοῖός γ' ἐν πολέμῳ· ἔργον δέ μοι ἐσθλὸν ἔσκεν,
Οὐδ' οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα·
Ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν,
Καὶ πόλεμοι, ἠδ' ἄκοντες ἐΰξεστοι, ἠδ' ὀϊστοί,
Λυγρά, τά τ' ἄλλοισίν γε καταθνητοῖσι πέλονται.
Αὐτὰρ ἐμοὶ τὰ φίλ' ἔσκε, τά πέρ θεὸς ἐν φρεσὶ θῆκεν·
Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ὀπιτέρπεται ἔργοις.
Πρὶν μὲν γὰρ Τροίης ὀπιβήμεναι υἷας Ἀχαιῶν,
Εἰνάκις ἀνδράσιν ἦρξα, καὶ ὠκυπόροισι νέεσσιν,
Ἄνδρας ἐς ἀλλοδαπούς· καί μοι μάλα τύχανε πάντα·
Τῶν ἐξαιρούμην μνῆστιν, πολλὰ δ' ὀπίσσω
Λάγχανον· αἶψα δ' οἶκος ὀφέλλετο, καί ῥα ἔπειτα
Δεινός τ', αἰδοῖός τε, μετὰ Κρήτεσσι τετύγμην.
Ἀλλ' ὅτε δὴ τόνδε συγχεῖν ὁδὸν ὠρσε Κρονίων
Ἐφεσσάμενος, ἣ πολλῶν ἀνδρῶν ὑπὸ γυῖα λέλυσται,
Δὴ τότε μ' ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
Νῆας ἀγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
Ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δῆμον φήμις.

" Sed multò primus adoriens lanceâ occidebam
" Virorum inimicorum, quicunque mihi concederet pedibus.
" Talis eram in bello; agricultura verò mihi non grata erat,
" Neque res familiaris, quæ nutrit claros filios.
" Sed mihi semper naves remigabiles gratæ erant,
" Et bella, & tela levia, & sagittæ,
" Triſtia, quæque aliis perhorrenda sunt.
" At mihi ea grata erant, quæ utique Deus in animo posuit:
" Alius enim aliis vir delectatur operibus.
" Antè enim quàm in Trojâ pedem ponerent filii Achivorum,
" Novies viris imperator fui, & velocibus navibus,
" Viros adversos externos, & mihi valdè aderant omnia,
" Quorum seligebam quæ volui; multa autem pòst
" Sortitò obtinebam, statimque domus augebatur, & postea
" Gravisque, reverendúsque inter Cretenses evasi.
" Sed cùm jam odiosum hoc iter magnus Jupiter
" Decrevit; quod multorum virorum subtus genua solvit,
" Tunc me jusserunt & inclytum Idomenea
" Naves ducere in Ilium, neque ulla ratio
" Erat denegandi, adversa enim prohibuit vulgi fama.

ΣΧΟΛΙΑ.

220. Ὄλεσκον.] Ἔνιοι, ἔλεσκον, ἀντὶ τοῦ, ἐφόνευον.
221. Εἴξειε.] Ὑποχωρήσειεν.
222. Ἔργον.] Τὸ καλῶς γεωργίαν.
223. Οἰκωφελίη.] Οἰκουρία, οἰκονομία, ἐπιμέλεια.
225. Ἄνδρας.] Δόρυσσα.
226. Ῥιγηλά.] Φοβερά, φοβερά.
230. Τύχανεν.] Ἐπετύγχανεν.
232. Ἐξαιρούμην.] Ἐξαίρετα ἐλάμβανον.
233. Λάγχανον.] Κληρούμενος ἐλάμβανον.
234. Τετύγμην.] Ἤμην, ὑπῆρχον.
237. Ἤνωγον.] Ἠνάγκαζον.
239. Χαλεπὴ δ' ἔχε.] Ἐβίαζεν γὰρ * ἡμᾶς. Φῆμις.] Φήμη, λόγος.

NOTÆ.

220. Ἔλεσκον) In *Florentinâ*, ad Marginem, ὄλεσκον, quod in *Br. Scholiis*, ut *Textuale*, præponitur. *Henr. Steph.*

221. Ὅ, τι μοὶ εἴξειε πόδεσσι) Ὅστις μοῦ ἦσσον πεχώς, ἢ ὑπείκων ὑπεδέχετο ἐμοῦ κιχήσασθαι. Pro ὅστ, ut ὅπς pro ἅπς, *Iliad.* γ'. v. 279.

Dormiturus in cubiculum, lampadibus-lucentibus,
Ubi antea dormiebat, quandò ipsum dulcis somnus capiebat:
Illic igitur & tunc dormivit, & Auroram expectabat.
Ast in domo relictus est divinus Ulysses,
Procis cædem cum Minervâ construens.
Ibat interea ex thalamo prudens Penelope,

ΣΧΟΛΙΑ.

31. Ἀναΐξαντ.] Ἀνορμήσαντε.
32. Εἰσφόρεον.] Εἰσέφερον.
34. Χρύσεον λύχνον.] Τῷ δᾳδὶ κυρίως * τῷ ὑ, παρ' ἡμῖν καλουμένῳ λύχνῳ τὰς ἡρῴας χρωμένους ὁ Ποιητὴς οὐκ εἰσάγει, καὶ οὔτε Ἡσίοδος μέμνηται· ὀρθῶς ὑ πιποίηκε τὸν Ἀθηνᾶν, φρόνησιν ὄσαν, καθαρὸν αὐτῷ παρέχειν τὸ φῶς· καὶ οἰκειως, ἀφ' ὑ τὸ ἄσβεστον Ἀθηναῖοι λύχνον. * Ità, pro ὑ, & ῦ, &c.

32. Εἰσφόρεον) Ità pro ἐισφόρεον, paulò enim sonantius, & *Br. Schol.* apertè ità legunt & MS.

40. Ἦ μάλα τις θεὸς ἔνδον) Rectè concluditur, nam *Splendores* magni, *Odores* suavissimi, Musicique

NOTÆ.

Concentus, sine causâ aliquâ evidenti, notæ habentur Divinæ Præsentiæ. Vid. ad *Euripid.* Hippolyt. v. 1391.

42. Σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε) Simile quid de B. Virgine Matre, D. *Lucas*, c. 2. v. 19. & v. 51.

VARIÆ LECTIONES.

32. Εἰσφόρεον) γρ. ἐισφόρεον.
38. Ὑψόσ' ἔχουσιν) γρ. ὑψοῦ ἔχουσιν.
40. Τις θεὸς ἔνδον) γρ. τις θεῶν ἔνδον, *Stobæus*, *Grotii*, ut sit σωίζησις.

36. Θαῦμα.] Ἔκπληξιν.
37. Μεσόδμαι.] Τὰ μεταξὺ τῶν κιόνων ἀμφιγράμματα· οἷ πινες ἦσαν θεὶ τὰς τοίχους, τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν.
42. Ἴσχανε.] Κάτεχε.
43. Αὕτη τοι δίκη ἐστὶ θεῶν.] Οὕτως ὁ τρόπος, τὸ, ὡς βέλος θεῶν, φαίνεται.
44. Ὑπολείψομαι.] Μενῶ.

48. Δαΐδων ὑπολαμπομένάων) γρ. δαΐδων ὑπολαμπομένάων, *Schol. Pindari*, ad Olymp. ζ'. & *Henr. Stephan.* fol. 78. lin. ult. *Oxon.* Edit. Vid. ad ψ'. v. 291.

Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσέῃ Ἀφροδίτῃ·
Τῇ ῥ' ἐνὶ μὲν κλισίῃσι πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζε,
Δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἣν ποτε τέκτων
Ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆϊν ποσὶν ἧκε,
Προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλεο κῶας.
Ἔνθα καθέζετ' ἔπειτα θεὶφρων Πηνελόπεια.
Ἦλθον δὲ δμῳαὶ λευκώλενοι ἐκ μεγάροιο·
Αἱ δ' ἀπὸ μὲν σῖτον πολιὴν ἤγειρον, ἠδὲ τραπέζας,
Καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον.
Πῦρ δ' ἀπὸ λαμπήνων χαμάδις βάλον· ἄλλα δ' ἐπ' αὐτῶν
Νήησαν ξύλα πολλὰ, φόως ἔμμεν, ἠδὲ θέρεθρον.
Ἡ δ' Ὀδυσῆ ὀνείπῃσι Μελανθὼ δεύτερον αὖτις,
Ξεῖν', ἔτι καὶ νῦν σεῦθι ἀνήσεις νύκτα
Δινεύων κατὰ οἶκον; ὀπιπεύσεις δὲ γυναῖκας;
Ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
Ἢ τάχα καὶ δαλῷ βεβλημένος εἴσθα θύραζε.

Dianæ similis, vel aureæ Veneri;
Huic apud ignem quidem ſedem depoſuerunt, ubi utique aſſidebat,
Circumcirca-ornatam ebore & argento, quam quondam faber
Fecit Icmalius, & ſub ſcabellum pedibus miſit,
Aptum ex ipsâ; ubi magna injiciebatur pellis.
Illic ſedit tum-temporis prudens Penelope.
Venerunt autem famulæ albæ-ulnis ex domo,
Hæ quidem panem multum aſportaverunt & menſas,
Et pocula, unde proci ſuperbi bibebant.
Ignem verò à faculis ad terram jecerunt; aliaque ſupra ipſas
Cumulârunt ligna multa, ad præbendum lumen & calefaciendum.
Aſt Ulyſſem increpuit Melantho ſecundo rurſus,
" Hoſpes, adhuc & nunc hìc moleſtus eris per noctem.
" Frequentans in domo; obſervaſque mulieres?
" Sed exi foràs, miſer, & convivio juvare;
" Vel citò & torre percuſſus ibis forás.

Τὴν δ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς,
Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεχολημένη θυμῷ;
Ἢ ὅτι ἢ λιπόω; καὶ δὲ χροῒ εἵματα εἵμαι;

Hanc torvè conſpicatus allocutus eſt prudens Ulyſſes,
" Mala, cur in me ſic invehis irato animo?
" Nunquid quòd ſordeo? maláque corpori veſtimenta ſum indutus?

ΣΧΟΛΙΑ.

58. Περσφυέα.] Περσαπεφυκυῖαν, ἠνωμένην.
61. Ἱέρεον.] Ἀφύερον.
64. Νήησαν.] Ἐσώρευσαν. Θέρεθρ.] Θέρμην ποιεῖν.
69. Δαλῷ.] Τῇ λαμπάδι.
71. Δαιμονίη.] Θαυμασία * ἐπὶ κακῷ. Ἐπέχεις.] Ἐπίκεισαι.
72. Οὐ λιπόω.] Τῇ πυελῇ ἢ λελίπασμαι.

NOTÆ.

54. Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσέῃ Ἀφροδίτῃ) Vid. quæ Nos ad ε'. v. 37.

56. Δινωτὴν) *Heſych.* v. Δεινωτὴν, πεποικιλμένην ἢ κύκλῳ· ἢ, πεπερονωμένην· ἢ, τὴν ἐμπάσει διειλημμένην.

58. Ὅθ' ἐπὶ μέγα βάλλεο κῶας) *Ultima* Θ ἐπὶ producitur, in *Caſurâ*, vi *Toni*, & *Liquidæ*; de quâ re, ad σ'. v. 297. & aliàs.

62. Δέπα') Pro δέπαα, δέπα, *contractum*, ut in aliquibus olim ſcriptum.

63. Ἀλλὰ δ' ἐπ' αὐτῶν) Cum in *Schrevelianâ* malè adeſſet αὐτῆς, emendavi in αὐτῶν auctoritate Editionum *Florentinæ*, *Aldinæ*, *Lovanianæ Reſcii*, *Romanæ*, *Baſileenſis*, *Hervagianæ*, *Stephanianæ*, *Caſtell. Spondan. Cantabrig. Oxonienſ.* &c. refertur autem ad λαμπτήρων.

72. Ἢ ὅτι ἢ λιπόω) Ità ſanè *Romana*, & *Baſileenſis*, *Euſtathii*, item παρεκβολαὶ, *Hen. Stephanus*, *Caſtellio*, *Spondanus*, *Schrevelius*, *Cantabrigienſis*, & *Oxonienſis*, *Brevia Scholia* & *Aloyſii* MS. at aliæ legunt, Ἢ ὅτι τοὶ ῥυπόω, ut *Florentina*, *Aldina*, *Lovaniana Reſcii*, & *Hervagiana*. Eodem recidunt.

NOTÆ IN SCHOLIA.

71. * Ἐπὶ κακῷ) Adduntur, ἐκ τῶν Παλαιῶν, & ex *Aloyſii* MS. Vid. *Euſtath.* in Perieg. v. 680.

VARIÆ LECTIONES.

54. Ἠδὲ) γρ. ἠὲ, vid. N. in *Textum*. *Ibid.* Χρυσέῃ) γρ. χρυσῇ.
55. Ἔνθ' ἄρ' ἔφιζε) γρ. ἐνθάδ' ἔφιζε. *H. Steph.*
56. Δινωτὴν) γρ. δεινωτὴν, *Heſych.* Vid. N. in *Text.*
62. Δέπα') γρ. δέπα, olim, ut in N. ad *Textum*.
67. Ὀπιπεύσεις) γρ. ὀπιπεύσεις.
72. Ἢ ὅτι ἢ λιπόω) γρ. ἢ ὅτι τοὶ ῥυπόω, vid. Not. in *Textum*.

Πτωχὸς

Πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγῃ.
Τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
Τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτῳ κεχρημένος ἔλθοι.
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ πω.
Τῷ νῦν μή ποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
Ἀγλαΐην, τῇ νῦν γε μετ' δμωῇσι κέκασσαι,
Μή πως τοὶ δέσποινα κολεσσαμένη χαλεπήνῃ,
Ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
Εἰ δ' ὁ μὲν ὥς ἀπόλωλε, καὶ ὀψέ πού ἐστιν,
Ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἔκηλε
Τηλέμαχος· τὸ δ' οὔτις ἀνὴρ μεγάροισι γυναικῶν
Λήθῃ ἀταθάλλουσ'· ἐπεὶ ὀψέπι τηλίκος ἐστίν.
Ὣς φάτο· ξῦ δ' ἤκουσε θεὶφρων Πηνελόπεια·
Ἀμφίπολον δ' ἐνένιπεν, ἔπος τ' ἔφαθ', ἔκ τ' ὀνόμαζεν,
Πάντως, θαρσαλέη, κύον ἀδδεὲς, οὔπι με λήθεις
Ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
Πάντα γὰρ εὖ ἤδηθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,

" Mendico etiam in populo? Neceſſitas enim urget.
" Tales pauperes & erratores viri ſunt.
" Etenim ego quondam domum inter homines habitavi
" Beatus divitem, & ſæpè dedi erroni
" Tali, qualis eſſet, & quacunque re indigens veniret.
" Erant *mihi* verò ſervi valdè multi, aliaque multa,
" Quibus benè vivunt, & divites vocantur.
" Sed Jupiter diſſipavit Saturnius; voluit enim utique.
" Ideo nunc nè aliquando & tu, mulier, omnem perdas
" Pulchritudinem, quâ nunc inter ancillas ornata es;
" Nè tibi aliquo modo domina irata ſæviat,
" Vel Ulyſſes veniat; adhuc enim & ſpei fatum.
" Sin hic quidem omnino periit, & non ampliùs rediturus eſt,
" Nihilominus jam filius talis Apollinis ope
" Telemachus; quem nulla in domibus mulierum
" Latet, quæ perperam agat; quoniam non ampliùs infra ætatem eſt.
Sic dixit; hunc verò audivit prudens Penelope,
Ancillamque allocuta eſt, verbumque dixit, denominavitque,
" Omninò, audax, canis intrepida, non me latet
" Perpetrans magnum facinus, quod tuo capite perluet.
" Cuncta enim benè ſcis, quoniam à me audiviſti ipſâ,

ΣΧΟΛΙΑ.

76. * Δόσκον.] Ἐδίδουν.
85. Νόσιμος.] Ἀνακομισθῆναι δυνάμενος.
86. Ἀπόλλωνός γε ἔκηλε.] * Κεφαλοῦσθαι γάρ φησι. * Vid. ad XLV. v. 1.
88. Ἀπωλόμεσθα.] Ὑβρίζεσθαι.
91. * Ἀδδὲς.] Ἀπαρβές.
92. Ἔρδουσα.] Πράττουσα. Σῇ κεφαλῇ ἀναμάξεις.] Πάντως ἑαυτῇ ἐπεξελεύσεις· ἢ ἀναλήψεις.
93. Ἤδηθα.] Οἶδας, ἐπίστασο.

NOTÆ.

73. Ἀναγκαίη γὰρ ἐπείγῃ) Hinc illud *Pythagoræ*, Aur. Carm. Δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει. In quem locum videſis *Hieroclem*, & *Duportum*, Gnomologum, in hunc locum.

76. Πολλάκι δόσκον ἀλήτῃ) Vid. *Ariſtotel.* Nicomach. l. 4. c. 4. Ità notat *Iſaac. Caſaubon.* in Codice olim ſuo, nunc Epiſcopi *Elienſis*, *Mori*.

86. Παῖς τοῖος Ἀπόλλωνός γε ἔκηλε) Quoniam *Juvenes* Viros immaturè morientes *Apollo* diceretur tollere, *Puellas Diana*; è contrà cùm *Juvenes* florerent & auctiores fierent, Ἀπόλλωνος ἔκηλε, dicitur id factum: Hinc Ἀπόλλων καὶ Ἄρτεμις κυροτρόφοι. Vid. *Br. Schol.* huc annexa, & ad υ'. v. 71.

92. Ἔρδουσα μέγα ἔργον) *Ultima* Ϝ ἔρδουσα producitur, in *Cæſurâ*, & ante *Liquidam*; ut ad σ'. v. 297. *Ibid.* Ὃ σῇ κεφαλῇ ἀναμάξεις) Ità infrà, χ'. v. 217. ——σοὶ δ' αὐτῇ κραδίῃ τάδε πήσεις.

93. Πάντα γὰρ εὖ ἤδηθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς) Quoniam in hoc Verſu Editio *Florentina* malè ſe habuit, viz. ità, Πάντα γὰρ εὖ ἤδηθα, ἐπεὶ πυκινῶς

SCHOLIA.

91. * Ἀδδὲς) Ἀπαρβές. Ἐκ τῶν Παλαιῶν, & ex *Aloyſii* MSto.

VARIÆ LECTIONES.

93. Ἤδηθ') γρ. ἤδηθα, vid. Not. in *Textum*.

Ὡς τ' ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
Ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι.
Ἦ ῥα, τὴν Εὐρυνόμη ταμίη ἔπος μῦθον ἔειπεν,
Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτῷ,
Ὄφρα καθεζόμενος εἴπῃ ἔπος, ἠδ' ἐπακούσῃ
Ὁ ξεῖνος· ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὣς ἔφαθ'· ἡ δ' ἦ μάλ' ὀπαλέως κατέθηκε φέρουσα
Δίφρον εὐξέστην, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
Ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια,
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ γύναι, ὐκ ἄν τις σὲ βροτῶν ἐπ' ἀπείρονα γαῖαν
Νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἰκάνει·
Ὡς τε δὴ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
Ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,
Εὐδικίας ἀνέχησι· φέρῃσι δὲ γαῖα μέλαινα
Πυρούς, καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
Τίκτῃ δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχῃ ἰχθῦς
Ἐξ εὐηγεσίης· ἐρατῷσι δὲ λαοὶ ὑπ' αὐτῷ.
Τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μεταλλᾶ σῷ ἐνὶ οἴκῳ·
Μήδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,

"Quòd hospitem eram in domibus meis
"De marito interrogatura; quoniam frequenter tristor.
Dixit. & Eurynomen promam-cùm. dam verbo allocuta est,
"Eurynome, porta jam sedem, & pellem in ipsâ,
"Ut sedens dicat verbum, & audiat
"Hospes ex me; volo enim ipsum interrogare.
Sic dixit; hæc valdè festinantèr deposuit portans
Sedem benè-politam, & in ipsâm pellem jecit:
Illic sedit postèa laboriosus divinus Ulysses.
Illis autem verba cœpit prudens Penelope,
"Hospes, hoc quidem te primùm ego interrogabo ipsa,
"Quis? unde es virorum? ubi tibi civitas & parentes?
Hanc respondens allocutus est prudens Ulysses,
"O mulier, non aliquis tecum hominum in infinitâ terrâ
"Contendat; certè enim tua gloria ad cœlum latum pervenit:
"Sicut alicujus etiam regis inculpati; qui Deum-colens
"Viris in multis & fortibus regnans,
"Jura distribuat; feratque terra nigra
"Triticum & hordea, graventurque arbores fructu;
"Pariuntque firma pecora, mare quoque præbet pisces,
"Ex rectâ-administratione, fœliciterque degunt populi sub ipso.
"Ideò me nunc quidem alia inquire tuâ in domo;
"Nè verò meum interroga genus & patriam terram,

ΣΧΟΛΙΑ.

95. Πυκινῶς.] Ἀντὶ τοῦ, πάνυ.
108. Νεικέοι.] Κακολογήσῃ.
111. Εὐδικίας.] Δικαιοσύνας. Ἀνέχῃσι.] Ἄνω ἔχῃ, αὔξει.
112. Βρίθῃσι.] Πεπλήρωται.
114. Εὐηγεσίης.] Τῆς εὐδαιμονίας· ἢ τὴν εὐαρχίαν παρὰ τὸ εὖ ἡγεῖσθαι· κακῶς δὲ οἱ σπεύδοντες εὐεργεσίης. Ἀρεπῶσιν.] Ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ ἀφῶσιν.

NOTÆ.

ἀκάχημαι, quod ultimum *Hemistichium*, ex v. 95. ortum, Ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι. Error illius Editionis, quo ἤδηθα scriberetur suis omnibus literis, per omnes libros, exceptis mox excipiendis, propagatus. At omninò ἤδηθ' hìc legendum Versûs causâ; quod monet *Isaac. Casaubon.* in Codice Episcopi *Elienſis*, *Mori.* Et *Romana* quidem Editio, & *Basileensis Eustathii*, apertè legunt ἤδηθ', ut & *Oxonienſis*.

113. Παρέχῃ) Prior Syllaba Ε παρέχῃ producitur, quòd ϱ'. fit Litera ἀναδιπλώσεως capax, & *Asperum* in se habeat, sic *Iliad.* ζ'. v. 62. Αἴσιμα παρείπων. Sic η'. v. 121. idem χ'. v. 792. ο'. v. 404. &c. Idem fit in voce παράλιος, Ἀραβίη, & similibus, quàs cum gemino ϱ'. Poetæ solent efferre, *Plato* legit πολιτείαν, l. 2. fol. 363. Τίκτῃ & παρέχῃ, ut βρίθῃσι, &c.

VARIÆ LECTIONES.

113. Τίκτει — παρέχῃ) γρ. τίκτῃ — παρέχῃ, *Plato*, ut Not. in *Textum*.
114. Εὐηγεσίης) γρ. εὐεργεσίης, *Br. Schol.*

Μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
Μνησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ π μὲ χρὴ
Οἴκῳ ἐν ἀλλοτρίῳ γοάων τε, μυρόμενόν τε,
Ἧσθαι· ἐπεὶ κάκιον πενθήμονα ἄκριτον αἰεί.
Μή πις μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή·
Φῇ δὲ δακρυπλώειν βεβαρηότα μὲ φρένας οἴνῳ.
Τόνδ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια,
Ξεῖν', ἦτοι μὲν ἐμοὶ ἀρετὴν, εἶδός τε, δέμας τε,
Ὦλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὴν ἐμὸν βίον ἀμφιπολεύοι,
Μείζων κέ μοι εἴη ἐμὸν κλέος ἠδὲ καλλίον ὄπτω.
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσυται κακὰ δαίμων.
Ὅσσοι γὰρ νήσοισιν ὑπερκρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Οἵ τ' αὐτὴν Ἰθάκην δυδείελον ἀμφινέμονται,
Τοί μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
Τῶ οὔτε ξείνων ἐμπάζομαι, οὔτ' ἰκετάων,
Οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
Ἀλλ' Ὀδυσῆα ποθέουσα, φίλον κατατήκομαι ἦτορ.
Οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
Πρῶτον μέν μοι θεὸς ἐνέπνευσε φρεσὶ δαίμων
Στησαμένῃ μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὑφαίνειν,

"Nè mihi magis animum impleas doloribus
"Recordanti: valdè enim sum suspiriosus; neque aliquid me decet
"Domo in alienâ lugentemque flentemque
"Sedere; quoniam pejus lugere valdè semper.
"Nè aliqua mihi ancillarum irascatur, vel tu ipsa;
"Dicarque lacrymas-spargere gravatum me mentibus vino.
Huic respondit statim prudens Penelope;
"Hospes, certè quidem meam virtutem, speciemque, corpusque,
"Perdiderunt immortales, quandò ad Ilium conscenderunt
"Argivi; cum his quoque meus maritus Ulysses.
"Si ille redux hanc meam vitam gubernaret,
"Major gloria esset mea, & melius sic *esset mihi*:
"Nunc autem doleo: tot enim mihi destinavit mala siniſtrum numen.
"Quicunque enim insulis dominantur optimi,
"Dulichioque, Samæque, & sylvosæ Zacyntho,
"Quique ipsam Ithacam temperatam incolunt,
"Hi me nolentem petunt uxorem, conteruntque domum.
"Ideò neque hospites curo, neque supplices,
"Neque præcones, qui publicè operam suam navant:
"Sed Ulyssem desiderans dilecto contabesco animo,
"Hi tamen nuptias festinant: ego verò dolos adorno;
"Vestem quidem mihi primùm inspiravit mentibus Deus
"Statuenti magnam telam in domibus texere,

ΣΧΟΛΙΑ.

121. Νεμεσήσεται.] Μέμψεται.
122. Δακρυπλώειν.] Δακρύων πληθύνειν.
127. Τὸν ἐμὸν βίον ἀμφιπολεύοι.] Τὸ ἐμὸν βίον οἰκονομοῖτο.
133. Ἀεκαζομένην.] Ἀκουσαν, μὴ βουλομένην.
137. Τολυπεύω.] Κατυφαίζομαι, μηχανῶμαι.

NOTÆ.

122. Φῇ δὲ δακρυπλώειν) Inter *Var. Lect.* habes aliam hujus Versûs longè diversam Lectionem, ex *Aristotele*, Problem. §. 30. fol. 816. undè colligas, illum Sensum tantùm respexisse, vel aliam Editionem secutum.

124. Ξεῖν', ἦτοι μὲν ἐμοὶ ἀρετὴν) Toti sex abhinc Versus ab eâdem *Penelopâ* suprà dicti, σ'. v. 250. Εὐρύμαχ', ἦτοι ἐμοὶ ἀρετὴν, κλ.

128. Μείζων κε κλέος) Vid. ad σ'. v. 254.

VARIÆ LECTIONES.

122. Φῇ δὲ δακρυπλώειν βεβαρηότα μὲ φρένας οἴνῳ) γρ. Καί τύ μ' ἔφησθα δακρυπλόνειν βεβαρημένον οἴνῳ, *Aristot.* vid. Not. in *Textum*. *Ibid.* Δακρυπλώειν) γρ. δακρυπλώειν. *H. Steph.*
126. Τοῖσι δ' ἐμὸς) γρ. τοῖς δ' ἐμὸς, *H. Steph.*
128. Μείζων κε κλέος) γρ. μείζων κεν κλέος.
129. Ἐπέσσυται) γρ. ἐπέκλωσεν, *H. Steph.*
133. Τοί) γρ. οἱ, vid. in *Textum*.

Λεπτὸν

Λεπτὸν καὶ πρόμηκες· ἄφαρ δ' αὐτοῖς μετέφατον,
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον· εἰσόκε φᾶρος
Ἐκτελέσω, μή μοι μεταμώλια νήματ' ὄληται,
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι ταναηλεγέος θανάτοιο·
Μή πς μοὶ κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
Αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κλεαπάσας.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγαυός.
Ἔνθα κὲν ἡματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκον, ἐπὶν δαΐδας παραθείμην.
Ὣς τρίετες μὲν ἔληθον ἐγὼ, καὶ ἔπειθον Ἀχαιούς·
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Μηνῶν φθινόντων, καὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
Καὶ τότε δή μεν, ἀφὼ δμωαὶ, κύνες ὀκ ἀλεγύσας,
Εἶλον ἐπελθόντες, καὶ ὁμοκλήσαντ' ἐπέεσσιν.
Ὣς τὸ μὲν ἐξετέλεσσα καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης·
Νῦν δ' οὔτ' ἔκφυγέειν δύναμαι γάμον, οὔτε πὼ ἄλλην
Μῆτιν ἐφευρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
Γήμασθ'· ἀχαλάᾳ δὲ παῖς βίοτον κατεδόντων,
Γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
Οἶκον κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζει.
Ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.

" Tenuem & immensam: statim igitur inter illos dixi,
" Juvenes, mei proci, quoniam mortuus est divinus Ulysses,
" Expectate festinantes has meas nuptias, donec vestem
" Perficiam, nè mihi vana fila pereant,
" Laertæ heroi funebrem, *in tempus* quando ipsum
" Parca perniciosa capiet in longum extendentis *homines* mortis:
" Nè aliqua mihi in populo Graecorum indignetur,
" Si sine veste jaceat, multa qui possederit.
" Sic dixi; his autem persuasus est animus superbus.
" Tunc interdiu quidem texebam magnam telam,
" Noctes verò resolvebam, postquam lampades apponebam.
" Sic triennium quidem latui ego, & persuasi Achivis, i. e. *Procis*:
" Sed quando quartus venit annus, & venerunt horæ
" Mensibus desinentibus, & in orbem dies multi perfecti,
" Et tunc me, propter famulas canes non curantes,
" Ceperunt ingredientes, & minati sunt verbis.
" Sic hanc telam perfeci, & non volens necessitate.
" Nunc igitur neque effugere possum nuptias; neque aliquod aliud
" Consilium invenio; valdè enim hortantur parentes
" Nubere, & ægrè fert filius facultates *illos* dilapidare,
" Cognoscens: jamdudum enim Vir *est* maximè habilis
" Ad domum curandam, cuique Jupiter gloriam præbet.
" Sed & sic mihi dic tuum genus, unde sis?
" Non enim à quercu es antiquâ, neque à petrâ.

ΣΧΟΛΙΑ.

150. Ἀλλύεσκον.] Ἀνέλυον.
153. Ἐτελέθη.] Ἐτελειώθη, ἐπεφύκθη.
154. Οὐκ ἀλεγύσας.] Φροντίδα μὴ ποιεμένας.
155. Ὁμοκλήσαντ'.] Ὁμοῦ πάντες ἐπέπληξαν.
161. Ὀπάζει.] Παρέχει.
163. Παλαιφάτου.] Παλαιὰ φατιζομένης, ἀφ' ἧς παλαιὰ μυθεύεται· οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τὰς ἀφ' ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γεγενῆσθαι. Ἀφ' τὸ

NOTÆ.

141. Κοῦροι ἐμοὶ μνηστῆρες) Idem locus suprà, β'. v. 96.
151. Ἀχαιὺς) Ἀντὶ τοῦ, μνηστῆρας, ut, σ'. v. 190. &c.
160. Οἷός τε μάλιστα) Hæc Vera *Lectio*, οἷός τε μάλιστα· Ὃς καὶ πάντα δυνατός ἐστιν οἶκον κήδεσθαι.
163. Οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης) Huc omninò refer *Duporti* Gnomolog. in Quare cavendum, nequis *Lectionem Henrici Stephani* admittat, οἷός π, μίζας τε, errore ex alio loco orto, οἷός τε, μίζας τέ.

VARIÆ LECTIONES.

143. Μεταμώλια) γρ. μεταμώνια, *H. Steph.* Vid. σ'. v. 331. & v. 391.
144. Εἰσότε) γρ. εἰς ὅτε, vid. ad β'. v. 99.
160. Οἷός τε μάλιστα) γρ. οἷός τε, μίζας τε, *H. Steph.* Vid. Not. in *Textum*.
161. Κοῦδος) γρ. ὄλβον, *H. Steph.*
163. Παλαιφάτου) γρ. παλαιφάγου, παλαιφύτου, vid. Not. in *Textum*.

Τιὸ

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
" Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
" Οὐκ ἔτ' ἀπολλήξεις τ' ἐμὸν γόνον ἐξερέουσα;
" Ἀλλ' ἔκ τοι ἐρέω· ἢ μάν μ' ἀχέουσί γε δώσεις
" Πλείοσιν, ἢ ἔχομαι· ἦ γὰρ δίκη, ὅππότε πάτρης
" Ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
" Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων·
" Ἀλλὰ καὶ ὣς ἐρέω, ἣ μ' ἀνείρεαι, ἠδὲ μεταλλᾷς.
" Κρήτη τις γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
" Καλὴ, καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
" Πολλοὶ, ἀπειρέσιοι καὶ ἐννήκοντα πόληες.
" Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ,
" Ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
" Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί.

Hanc respondens allocutus est prudens Ulysses,
" O uxor venerabilis Laërtiadæ Ulyssis,
" Non ampliùs cessabis meum genus interrogare?
" Verùm agè tibi dicam; certè quidem me doloribus dabis
" Pluribus, quàm teneor: nempe hic mos, quandò â patriâ
" Suâ abest vir tanto tempore, quanto ego nunc,
" Multas hominum ad civitates errans, dolores patiens:
" Sed & sic dicam, quodcunque me interrogas, & inquiris.
" Creta quædam terra est, medio in nigro ponto,
" Pulchra, & pinguis, circumfluа; in hâc autem homines
" Multi infiniti, & nonaginta civitates.
" Alia autem aliorum lingua mixta: in ipsâ quidem Achivi,
" In eâ Indigenæ-Cretenses magnanimi, in eâ Cydones,
" Dorienseſque triplicitèr-diviſi, divinique Pelasgi.

ΣΧΟΛΙΑ.

τὰς πετρύσας εἰς τὸ σπλίχη ἢ σπλαια σὺν θῆναι τὸ παιδία· ἔστι ὁ λόγος, ἐφ' ᾧ δὴ ἐκείνων εἶ σύ· * εἰς πλανὸν ὃ τὰς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον δρυῶν καὶ πετρῶν· πηγὴ ὃ παλαιφάγη, ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγουν· παρὰ τοῦτο καὶ φηγὸς, ὡς φαγὸς τις ὤσπερ.

166. Ἀπολλήξεις.] Ἀποπαύσῃ.

167. Ἀχέουσι.] Λύπας. Δώσεις.] Ἐμβαλεῖς.

169. Ἀπίῃσιν.] Ἄπεισιν.

173. Πίειρα.] Λιπαρά. Περίρρυτος.] Ὑδρηλή.

174. Πολλοὶ ἀπειρέσιοι.] Ἐπιῴγηκε τῷ πολλοὶ, τὸ ἀπειρέσιοι, αὐξήσεως ἕνεκεν. Ἐννήκοντα πόληες.] Ἐν Ἰλιάδι ἑκατόμπολιν φῶ Κρήτῃ λέγει, ἐκ ἀριθμένας ἑκατὸν πόλεις ἔχουσιν, ἀλλὰ ἀντὶ ϐ, πολλάς. ἔνιοι ὃ φασὶν, Ἰδομενέα, καθὰ τ' ἐξ Ἰλίου ἀναπλεῖν, ἀπολωνόμενον τ' Κρήτης * ὑπὸ Λεύκου, ὃν φασὶν ὄντα παῖδα, καταλελοιπέναι φύλακα τ' βασιλείας, δέκα πόλεις παραδῶσαι· μὴ ὃ τὰ * Τρωϊκὰ αἱ δέκα πόλεις * ἀφανισθῆναι.

175. Ἄλλη δ' ἄλλων γλῶσσα.] Παρηνορόμησεν, ἵνα μή τις αὐτὸν ἐλέγξῃ. Διὰ τὸ μὴ χρῆσθαι τῇ Ἀθηναίων αὐτῶν. Ἐν μὲν Ἀχαιοί.] Μετὰ τὰ Ἰλιακὰ Ταλθύβιος ἐν Μυκηνῶν ἤγαγεν ἀποικίαν.

176. Ἐτεόκρητες.] Οἱ αὐτόχθονες Κρῆτες· ἢ οἱ Ἰθαγενεῖς.

177. Τριχάϊκες.] Τριχῆ διῃρημένοι· οἱ μὲν γὰρ Εὔβοιαν κατῴκησαν· οἱ ὃ Πελοπόννησον· οἱ ὃ Κρήτην.

NOTÆ.

locum; qui dicit παροιμιωδῶς dictum pro, ὁ δυσχερὴς καὶ ἀνώνυμος. Confer *Etymolog.* M. v. Παλαιφάτῃ, *Hesych.* v. Οὐδ' ἀπὸ παλαιφάτης δρυὸς, & *Br. Schol.* Legitur & παλαιφύτῃ eidem *Hesychio*, & παλαιφάγῃ, *H. Stephanus*, ex *Eustathio*, *Hesych. Br. Schol. Seber.* &c.

NOTÆ IN SCHOLIA.

163. * Εἰς πλανὸν) Τὸ εἰς tollendum puto, quòd ex vocibus præcedentibus εἶ σὺ, malè fictum fuerit.

174. * Ὑπὸ λεύκῳ * ὄντα παῖδα) *Hiatum* hunc, quem ex *Aloysii* MSto omnes pòst Editiones sumpserunt, supplevimus. ὑπὸ Λεύκου, ὃν φασὶν ὄντα παῖδα, ex *Eustathio*, fol. 689. lin. 50. Ἐννηκονθάπολις ὃ νῦν Κρήτη, ἢ ἐν Ἰλιάδι ἑκατόμπολις, καθὰ φησὶ πάντες· ἀναπεπλευκέναι γάρ φασι δέκα πόλεις ὑπὸ Ἰδομενέως ἀπιοντος ἐξ Ἰλίου· ὅτι Λεύκου αὐτὸν ἀπόλαυσιν.

VARIÆ LECTIONES.

166. Ἀπολλήξεις) γρ. ἀπολήξεις, *H. Steph.* Vid. ad σ'. v. 361.

174. Ἐννήκοντα) γρ. ἐνενήκοντα, *H. Steph* Prosaico Vocabulo, pro *Var. Lect.* per errorem sumpto.

Τοῖσιδ' ἔνι Κνωσὸς μεγάλη πόλις· ἔνθα τὲ Μίνως
Ἐννέωρ βασίλευε Διὸς μεγάλου ὀαριστής,
Πατρὸς ἐμοῖο πατὴρ, μεγαθύμου Δευκαλίωνος.
Δευκαλίων δέ μ' ἔτικτε, καὶ Ἰδομενῆα ἄνακτα·
Ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
Ὤιχετ' ἅμ' Ἀτρεΐδῃσιν· ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων
Ὁπλότερος γενεῇ· ὁ δ' ἄρα, πρότερος καὶ ἀρείων.
Ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα.
Καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἐς ἀνέμοιο,
Ἰέμενον Τροίηνδε, παρ' ἀπλάγξασα Μαλειῶν·
Στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,

" Inter hos est Cnossus magna civitas ubi Minos
" Per-novem-annos regnavit, Jovis magni confabulator,
" Patris mei pater magnanimi Deucalionis.
" Deucalion igitur me genuit, & Idomeneum regem:
" Sed hic quidem in navibus rostratis Ilium versùs
" Ivit simul cum Atridis; mihi verò nomen inclytum Æthon,
" Junior natu; ille etenim prior & melior.
" Illic Ulyssem ego vidi, & hospitalia *dona* dedi:
" Etenim hunc ad Cretam deduxit vis venti
" Euntem ad Trojam, ubi abduxisset à Malèis;
" Statuitque in Amniso, ubi spelunca Lucinæ,

ΣΧΟΛΙΑ.

Ἀποδιώκει δὲ τοὺς πολεμικοὺς λόγους, ἀπὸ δὲ αἰσθητῶς καὶ ἐπισείοντας τὰς κόμας ἐν τῇ περικεφαλαίᾳ * ἐν τῷ πολεμεῖν, ἴσον τῷ κορυθαίκι· εἰσὶ δὲ, οἱ τοὺς *τελόφους, οἱ δὲ, τοὺς *ὀρχηστὰς ἀποδιδόασιν. Διοι.] Οἱ εὐφυέστεροι.

178. Τοῖσι δ' ἐνὶ Κνωσὸς μεγάλη πόλις, ἔνθα τὲ Μίνως Ἐννέωρ βασίλευε Διὸς μεγάλου ὀαριστής.] Μυθολογοῦσι τὴν Εὐρώπης * τοῦ Διὸς Μίνωα ἐν Κρήτῃ οἰκῆσαι διὰ συνουσίας ἀφικνεῖσθαι παρὰ τὸν πατέρα παιδευθησόμενον· ἐν ᾧ καιρῷ σοφιεῖν μεμαθήκει τε δίκαια, καὶ μὴν ἀλλὰ καὶ ἐν ἔργῳ τὰς ἀποδείξεις διδόναι· ὧν μεμαθήκοι ἂν τῇ παρὰ τὸν πατέρα συνουσιαζόμενος παρὰ τοῦ Διὸς, ὅθεν καὶ τὸ πάντων αὐτῶν βασιλέα κεκλῆσθαι· τῇ τε γνώμῃ καὶ τῇ κρίσει διενεγκεῖν, ὡς τὰ ἐν ᾅδου δικαστὴν γεγενῆσθαι τῶν ἀδίκων ψυχῶν. ἡ δὲ ἱστορία παρὰ Πλάτωνι.

179. Ἐννέωρ.] Οἱ μὲν, ὅτι παρὰ τοῦ συνόντος ἐπῶν τῶν αὐτὸς οἰκῆσαι, οἷον,— πάντες δὲ Τευχαΐκες καλέονται. Οὕνεκα τευκτοῖσι χαῖρον ἐκὰς πάντης ἐδόσαντο. Τρία γὰρ Ἑλληνικὰ ἔθνη τὴν Κρήτην ἐφώκησαν, Πελασγοὶ, Ἀχαιοὶ, Δωριεῖς. *Eustath.* fol. 690. lin. 23. Τευχαΐκες Δωριεῖς, ἐπίσης, οἱ μὲν Εὔβοιαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην ᾤκησαν· ἔστι δὲ τὰς πολεμικὰς φασι καὶ ὁμοιότητα. [*Iliad.* χ'. v. 132.] Κορυθαίκι πολεμιστῇ· δηλονότι αἱ τῶν περικεφαλαίων τείχεις αἰσθηταὶ, τυτθὸν σεῖον) καὶ πόλεμον· ἄλλοι δὲ τὰς τελόφους φασὶν, αἷς λόφους τρίχες ἔνεισιν· εἰσὶ δὲ, οἱ δὲ κύφους ὀρχηστὰς εἶπον τοὺς τευχαΐκας· ἐπὶ καὶ ἀρετὴ Κρητῶν, ἡ καὶ πόλεμον Ὀρχησικήν. Tum *Geographum* laudat, l. 10. fol. 475. Confer *Thucydid.* & *Diodor. Sicul.* Vocem τευχαΐκες, ad *Scholiorum* mentem interpretor, de quâ re *Gulielm. Burton*, Histor. *Græc.* Ling. p. 31.

179. Ἐννέωρ βασίλευε Διὸς μεγάλου ὀαριστής.)

NOTÆ IN

ante πολεμεῖν· pro corrupto κορυθαίκι, lego ex MSS. κορυθαΐκι· pro τελόφους, etiam τελόφως· & ὀρχηστὰς, pro ὀρχυστὰς, ex *Analogiâ*.

178. * Καὶ) Ità lego, pro δὲ, & * μεμαθήκοι, pro πατρὸς * σωὼν Διὶ, παρ' αὐτῷ ἐμάθησεν, ἅπερ ἦν δίκαια· οἱ δὲ, ὅτι συνεστὴς ὢν, βασιλεύειν ἤρξατο· οἱ δὲ, ὅτι ἐπ' εὐνοίᾳ ἔτη ἐβασίλευσεν, ὁμιλητὴς γενόμενος Διός· οἱ δὲ, ὅτι ἐπ' εὐνοίᾳ ἔτη παρὰ τοῦ πατρὶ ἐπαιδεύθη· φασὶ δὲ ἕτεροι, ὡς πᾶσι τοῖς βασιλεῦσι γνώμας ῥᾳδίως πιθομένοις· οἱ ὑποτεταγμένοι· αἰνίττεται δὲ αὐτὸν εἰς τὴν Ἰδαίαν Διὰ συναυλίας σεμνῆσαν νόμους, καὶ φέρεται Διὰ βασιλεῦσι, ὡς ὑπὸ Διὸς εἶεν δεδομένοι. Ὀμιλητής.

183. Κλυτόν.] Ὠκαλυόμενον καὶ καλύμενον ὀνόμην Αἴθων.] Ὄνομα κύριον.

187. Παραπλάγξασα.] Ἀποπλανήσασα.

188. Ἀμνισῷ.] Ἀμνισὸς πόλις καὶ πεδίον Κρήτης. Εἰλειθυίης.] Τῆς ἀφορμητικῆς τῶν παιδίων θεᾶς.

TÆ.

Vid. *Platonis Minoa*, fol. 319. ubi hunc locum explicat, & τὸ συνέορος, ad ὀαριστὴς, non ad βασίλευε referri vult; etiam videsis *Strabonem*, fol. 762. *Johan. Davisii* Not. in *Ciceronis Tusculan.* l. 2. p. 127. *Maxim. Tyr.* §. 22. & ejusdem Not. in locum, & *Friderici Adolphi Lampe*, de Cymbalis Vett. l. 2. c. 9. p. 191. *Petrus Daniel Huetius*, Demonstrat. Evangel. fol. 94. *Mosen* à *Minoe* expressum pluribus docere nititur.

183. Ὠίχετ' ἅμ' Ἀτρεΐδῃσι) Ità ex *Florentinâ*, *Aldinâ*, *Hervag.* refingo, pro ᾤχεθ' ἅμ', quòd malè erat in Editt. *Eustathii*, *Lovanianâ Rescii*, *H. Steph. Castellion. Spondan. Cantabrig.* & *Oxon.*

188. Ἀμνισῷ) Vid. Illustriss. *Ezekiel. Spanheim.* ad illud *Callimach.* Hymn. *Dian.* v. 15. Δὸς δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας.

SCHOLIA.

μεμαθήκοιεν, ex MS. *Aloysii*, ubi tamen non suo loco.

179. * Σωὼν lego, pro corrupto, συναὼν, Sensu postulante.

Et

Ἐν λιμέσιν χαλεποῖσι· μόλις δ' ὑπάλυξεν ἀέλλας.
Αὐτίκα δ' Ἰδομενῆα μεταλλᾶν, ἄγυδ' ἀνελθών·
Ξεῖνον γάρ μιν ἔφασκε φίλον τ' ἔμμεν, αἰδοῖόν τε.
Τρῶας ἤδη δεκάτη, ἢ ἐνδεκάτη πέλεν ἠώς
Οἰχομένῳ σὺν νηυσὶ κυρωνίσιν Ἴλιον εἴσω.
Τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισα,
Ἐνδυκέως φιλέων, πολλῶν κτῆν' οἶκον ἐόντων·
Καί οἱ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
Δημόθεν ἄλφιτα δῶκα, καὶ αἴθοπα οἶνον ἀγείρας,
Καὶ βοῦς ἱερεύσασθ'· ἵνα πλησαίατο θυμόν.
Ἔνθα δυώδεκα μὲν μετὰ μῆνα ἅμα δῖοι Ἀχαιοί·
Εἶλε γὰρ Βορέης ἄνεμος μέγας, οὐδ' ἐπὶ γαίῃ
Εἶα ἵστασθ'· χαλεπὸς δέ τις ὦρορε δαίμων·
Τῇ τεισκαιδεκάτῃ δ' ἄνεμος πέσε· τοὶ δ' ἀνάγοντο.
Ἴσκεν, ψεύδεα πολλὰ λέγων, ἐτύμοισιν ὁμοῖα·
Τῆσδ' ἄρ' ἀκὺ χύσις ῥέε δάκρυα, τήκετο δ' χρώς.
Ὡς δ' ἔαρος νιφάδες κατακείρεται ὀρεσσιν,
Ἦντ' Εὖρος κατέτηξεν, ἐπιὼν Ζέφυρος καταχεύει·
Τηκομένης δ' ἄρα τε ποταμοὶ πλήθουσι ῥέοντες·
Ὡς τῆκετο καλὰ παρήϊα δακρυχεούσης,

" In portibus difficilibus: vix enim evasit procellas.
" Statim igitur Idomeneum quærebat, ad civitatem profectus;
" Hospitem enim ipsum dicebat, dilectumque esse, reverendumque.
" Huic verò jam decima vel undecima fuit Aurora
" Eunti cum navibus rostratis Ilium versùs.
" Hunc quidem ego ad domos ducens comitèr hospitio excepi,
" Accuratè tractans, cum satis multa in domo suppeterent:
" Et ei, atque aliis sociis, qui simul ipsum sequebantur,
" Publicè farinas dedi, & nigrum vinum collectum,
" Et boves mactandos, ut satiarent animum.
" Illic duodecim quidem manserunt dies clari Achivi;
" Detinebat enim Boreæ ventus magnus, neque in terrâ
" Sinebat stare, sævus verò aliquis movebat Deus.
" Tertiodecimo autem die ventus cecidit: Et hi solverunt.
Ita dixit, mendacia multa dicens, veris similia;
Huic utique audienti fluebant lacrymæ, liquefiebatque corpus:
Sicut autem nix liquefit in altis montibus,
Quam Eurus liquefecit, postquam Zephyrus diffuderit,
Liquefactâ igitur hâc fluvii implentur fluentes:
Sic hujus liquefiebant pulchræ genæ lacrymantis,

Σ Χ Ο Λ Ι Α.

190. Μεταλλᾶν.] Ἐπιζήτ.
192. Δεκάτη ἢ ἐνδεκάτη.] Ψευδόμενοι ἐπὶ πολὺ λέγουσι τὰ μὴ εἰδέναι ἀληθῶς, πιθανώτεροι δοκεῖν εἶναι.
194. Ἐξείνισα.] Φιλικῶς ὑπεδέξαμην.
195. Φιλέων.] Φιλοφρονούμενος.
197. Δημόθεν.] Ἐκ τῆς πόλεως.
198. Ἱερεύσασθ.] Ἱερεῦσαι. Πλησαίαθ.] Πλησθῶσιν, κορεσθῶσιν.
202. Πίσεν.] Ἀντὶ τοῦ, ἐπαύσατο.
203. Ἴσκεν ψεύδεα πολλὰ λέγων) Cum *Brevibus Scholiis* confer *Etymolog.* M. v. Ἴσκε, necnon *Eustath.* fol. 691. lin. 12. Τὸ δὲ, ἴσκεν, οἱ μὲν γλωσσογράφοι, ἀντὶ τοῦ, ἔλεγεν ὑποδέχονται· οἱ δὲ ἀκριβέστεροι, ἀντὶ τοῦ, ἴσκεν, ὃ ἐστιν εἴκαζεν, ἀπεικονίζων τοὺς ἀληθεῖς.
203. Ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.] Τινὲς βέλον, τὸ *ἔλεγε σημαίνειν· ἄλλοι δὲ, τὸ ἴσκε, τὸ εἴκασεν, *ὁμοίᾳ· τὸ δὲ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὡς τι ὅμοια εἶναι ἀληθέσιν· ἀπὸ δὲ εἴδω, ὃ μέλλων, εἴσω. Ἐτύμοισι.] Τοῖς ἀληθέσιν.
206. Καταχεύῃ.] Ἄγαν σκήπτῃ.
207. Πλήθουσι.] Πλημμυρεῦσιν.
208. Παρήϊα.] Αἱ παρειαί.

N O T Æ.

203. Ἴσκεν ψεύδεα πολλὰ λέγων) Cum *Brevibus Scholiis* confer *Etymolog.* M. v. Ἴσκε, necnon *Eustath.* fol. 691. lin. 12. Τὸ δὲ, ἴσκεν, οἱ μὲν γλωσσογράφοι, ἀντὶ τοῦ, ἔλεγεν ὑποδέχονται· οἱ δὲ ἀκριβέστεροι, ἀντὶ τοῦ, ἴσκεν, ὃ ἐστιν εἴκαζεν, ἀπεικονίζων τοὺς ἀληθεῖς.

NOTÆ IN SCHOLIA.

203. *Ἔλεγε, lego, pro ἔλεγεν, & *ὁμοίᾳ, pro ὁμοίοις, priùs ex *Contextu*, alterum ex tribus Vett.

Hesiod. imitatur, *Theogon.* v. 27. Ἴσμεν ψεύδεα πολλὰ λέγειν, ἐτύμοισιν ὁμοῖα.
205. Ὡς δὲ χιὼν καταχεύῃ) Mirantur elegantiores Suavitatem horum Versuum, dulcemque παρήχησιν agnoscit ipse *Scaliger*.

Codd. hoc enim *Scholion* in MS. *Aloysii*, ut puto, nusquam apparet, certè non suo in loco.

VARIÆ LECTIONES.

190. Μεταλλᾶν) γρ. μεταλλαεν.
198. Ἱερεύσασθ) γρ. ἱερεύσαθ, *Br. Schol.*
201. Εἶα) γρ. ἴαεν.
206. Καταχεύοι) γρ. καταχεύῃ, *H. Steph.*

Κλαιούσης ἑὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
Θυμῷ μὲν γόωσαν ἐὴν ἐλέαιρε γυναῖκα,
Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,
Ἀσφάραγος δὲ βλεφάροισι δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.
Ἦδ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπεν,
Νῦν μὲν δή σευ, ξεῖνέ γ', οἴω πειρήσεσθαι,
Εἰ ἐτεὸν δὴ κεῖθι σοὶ ἀμφιθέοις ἑτάροισιν
Εἴνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
Εἰπέ μοι, ὁπποῖ', ἄσσα περὶ χροῒ εἵματα ἕσσο,
Αὐτός θ' οἷος ἦεν, ἠ ἑταίρους, οἵ οἱ ἕποντο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ γύναι, δεινὸν τόσσον χρόνον ἀμφὶς ἐόντα
Εἰπέμεν· ἤδη γάρ οἱ ἐείκοσιν ἔτεα ἐστὶν,
Ἐξ οὗ κεῖθεν ἔβη, ἠ ἐμῆς ἀπελήλυθε πάτρης.
Ἀλλὰ ἰὼν ὡς ἐρέω, ὡς μοι ὑποδάλλεται ἦτορ.
Χλαῖναν πορφυρέην δίπλακα ἕσσε δῖος Ὀδυσσεύς,
Διπλῆν· αὐτὰρ οἱ περόνη χρυσοῖο τέτυκτο
Αὐλοῖσιν δεδυμένοισι· πάρος δὲ δαίδαλον ἦεν·
Ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἔλλὸν

Flentis ſuum virum aſſidentem: at Ulyſſes
Animo quidem lugentem ſuam miſerabatur uxorem,
Oculi tamen tanquam cornua ſtabant, vel ferrum,
Immoti in palpebris; dolo enim hic lacrymas occultabat.
Hæc igitur poſtquam ſatiabatur multarum-lacrymarum luctu,
Iterum ipſum, verbis reſpondens allocuta eſt,
" Nunc jam te, hoſpes, puto me tentaturam,
" An verè jam illic cum divinis ſociis
" Hoſpitio-excepiſti domibus meum maritum, ſicut dicis.
" Dic mihi, qualia, quæ circa corpus veſtimenta indutus erat,
" Ipſeque qualis erat; & ſocios, qui ipſum ſequebantur.
Hanc reſpondens allocutus eſt prudens Ulyſſes,
" O mulier, difficilè tanto tempore ſeorsùm exiſtentem, *i.e. ſeparatam*,
" Dicere; jam enim ei vigeſimus annus eſt,
" Ex quo illinc ivit, & meâ abiit patriâ.
" Verùm & ſic dicam, ſicut mihi ſimilitudinem-aſſequitur animus.
" Veſtem purpuream ſubtilem habebat divinus Uiyſſes,
" Duplicem; at ei fibula auro facta erat
" Calamis duplicibus; antrorsùm verò opus-muſivum erat:
" In prioribus pedibus canis habebat varium cervum

Σ Χ Ο Λ Ι Α.

211. Κέρα.] Τόξα· ἴνα ᾖ, πεπωμένως εἶχε τὰς ὀφθαλμοὺς, ὥσπερ τόξα· ἢ ἄλλως, πρὸ φύσιν δὲ κέρατα· * ἐλάμβανε· σκληρὸν γάρ.

213. Τάρφθη.] Ἐκορέσθη, ἐτέρφθη· ἢ ἐξετερέπη δὲ γόος. Πολυδακρύτοιο.] Πολλῶν δακρύων αἰτίου.

214. Ἀμειβομένη.] Ἐξ ἀμοιβῆς ὑποκειναμένη.

215. Πειρήσεσθαι.] Διαπειρᾶν λήψεσθαι.

217. Ξείνισας.] Ὑποδέξαι.

218. Ὁπποῖ', ἄσσα.] Ὁποῖα, ἅπινα.

221. Ἀμφὶς ἐόντα.] Χωρὶς ὄντα, ἀπόντα.

224. Ὡς μοι ὑποδάλλεται ἦτορ.] Ὡς μοι ἀναφέρει ἡ ψυχὴ, ὡς ἀναμίμνησιν.

225. Πορφυρέην δίπλακα.] Ἤτοι ὁλοπόρφυρον· ἢ πτυχαῖον. * Ἔχε.] Ἀντὶ δὲ, ἐφοιβάζετο.

226. Περόνη.] Πόρπη.

227. Αὐλοῖσι.] Ῥάβδοις εὐθείαις, εἰς ἃς καθελίσσοντο αἱ περόναι. Διδύμοισι.] Διπλαῖς, ἢ συμφυέσι περόναις. Δαίδαλον.] Καλλιτέχνημα ποικίλον.

228. Προτέροισι.] Τοῖς ἐμπροσθίοις. Ἔλλὸν.] Νεβρὸν, νεογνὸν ἔλαφον.

N O T Æ

226. Διπλῆν· αὐτὰρ οἱ περόνη) *Ultima* δὲ αὐτὰρ producitur, etiam extra *Cæſuram*, vi *Toni*, & *Finalis*, necnon *Aſperi* ſequentis.

228. Ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἔλλὸν)

NOTÆ IN SCHOLIA.

211. * Ἐλάμβανε) Pro ἐφείλκυε, reſtituo, ex MS. *Aloyſii*.

225. * Hæc ex MS. *Aloyſiano* & trib. Vett. *Impreſſis*. Malè olim ad v. 228. ubi ἔχε quidem, at alio *Senſu*.

VARIÆ LECTIONES.

213. Τάρφθη) γρ. πάρπη, *Hervagian.* Edit. in margine, & *Br. Schol.* *H. Steph.*

224. Ἀλλὰ ἰὼν ὡς ἐρέω) γρ. αὐτὰρ ἰὼν ἐρέω, *Hervagian.* Edit. in margine.

226. Αὐτὰρ οἱ) γρ. αὐτὰρ ἑοῖ, *Hervagian.* Edit. in margine.

Ἀσπά-

Ἀσπαίρονθα λάων· τὸ ᾗ θαυμάζεσκον ἅπαντες,
Ὡς οἱ χρύσεοι ὄντες, ὁ μὴ λάε νεβρὸν ἀπάσχων,
Αὐτὰρ ὁ, ἐκφυγέειν μεμαὼς, ἤσπαιρε πόδεσσι.
Τὸν ᾗ χιτὼν ὑπόησα περὶ χροΐ σιγαλόεντα,
Οἷόν τε κρομύοιο λοπὸν καθ' ἁλέοιο.
Τὼς μὲν ἦεν μαλακὸς, λαμπρὸς δ' ἦν, ἠέλιος ὥς·
Ἦ μὴν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Οὐκ οἶδ', εἰ τάδε ἕσο περὶ χροΐ εἵκοθ' Ὀδυσεύς,
Ἦ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
Ἦ τις πὴ ᾗ ξεῖνος· ἐπεὶ πολλοῖσιν Ὀδυσεὺς
Ἦεν φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
Καί οἱ ἐγὼ χάλκειον ἄορ, ᾗ δίπλακα δῶκα
Καλήν, πορφυρέην, ᾗ τερμιόεντα χιτῶνα.
Αἰδοίως δ' ἀπέπεμπον ἐϋστέλμῳ ἐπὶ νηός.
Καὶ μήν οἱ κῆρυξ ὀλίγον πρεσβυγενέστερος αὐτῷ
Εἵπετο· ᾗ τόν τοι μυθήσομαι, οἷος ἦεν πέρι·
Γυρὸς ἐν ὤμοισιν, μελανόχροος, ὑλοχάρηνος·

" Trementem videns; & hoc admirabantur omnes;
" Quòd hi aurei existentes, hic quidem respexit hinnulum suffocans,
" At hic, effugere nitens, palpitabat pedibus.
" Interulam verò observavi circa corpus splendidam,
" Tanquam cæpæ juxta tunicam aridæ.
" Sic quidem erat mollis; splendida enim erat, Sol sicut:
" Certè quidem multæ ipsum admirabantur mulieres.
" Aliud autem tibi dico, tu verò in mentibus pone tuis:
" Nescio, an hæc indutus fuerit circa corpus domi Ulysses,
" An aliquis sociorum dederit velocem in navem euntí,
" An aliquis alicubi & hospes, quoniam multis Ulysses
" Fuit amicus; pauci enim Achivorum erant similes,
" Et ei ego æreum ensem, & duplicem dedi *vestem*
" Pulchram, purpuream, & talarem tunicam:
" Honoratè autem dimisi benè-tabulatâ in-navi.
" Et quidem eum præco paululùm ætate-major ipso.
" Sequebatur, & hunc tibi dicam, qualis erat:
" Gibbosus in humeris, nigro corpore, crispo capite;

ΣΧΟΛΙΑ.

229. Λάων.] Ὁ μὲν Ἀρίσταρχος, ἁπλαύων, ἁπλωστικῶς ἔχων· ὁ δὲ Κράτης λάων φησὶν, ἀντὶ τοῦ βλέπων· ὅθεν καὶ σίρησιν ἀλαὸς, ὁ τυφλός. οἱ δὲ φασὶν ἀφῃρῆσθαι τὸ υ. ἴσα τῷ ὑλάων· ἢ ἁπλαύνων. Θαυμάζεσκον.] Ἐξεπλήττοντο.

230. Λάε.] Οἱ μὲν ἐπιβλέποντος· οἱ δὲ ἁπλαωστικῶς ἠσθιεν.

232. Σιγαλόεντα.] Ἁπαλόν.

233. Λοπόν.] * Λέπυρον· εἴρηται δὲ ἀπὸ τοῦ ἐχῖνος.

NOTÆ.

ἄπη σὺ, Ἐν τοῖσι παραπεφάσμασι τοῖς Μηδικοῖς γεγράφθαι. *Sidonius*, Peregrina det supellex, *Ctesiphontis*, ac *Niphatis* Juga texta, Belluasque Rapidas, vacante panno; Acuit quibus furorem Benè ficta plaga cocco, &c. Quid sit ἑλλὸς, vid. *Photii* Bibliothec. fol. 2583. & *Etymolog.* M. v. Ἑλλόποδες; & v. Ἑλλοί. Hinc ἑλλοφόνος Ἄρτεμις.

229. Ἀσπαίροντα λάων) *Eustath.* fol. 693. lin. 46. Τὸ δὲ λάων Ἀρίσταρχος μὲν, ἀντὶ τοῦ ἁπλαύων· ἀφ' οὗ

NOTÆ IN SCHOLIA.

233. * Λέπυρον) Ità, pro corrupto *λέπιστον, ex *Eustath.* fol. 693. lin. 53. Κρομύου δὲ λοπὸς, λέπυρον, παρὰ τὸ λέπω. Error omnes *Impressos* & MS. *Aloysii* pervaserat. Καθ' ad λοπὸν refertur.

241. * Δίπλακα.) Hoc *Scholion*, ex *Hesychio*, restituo τῆς Παλαιᾶς.

VARIÆ LECTIONES.

229. Ἀσπαίροντα λάων) γρ. ἀσπαίροντ' ὑλάων, & ἀσπαίρον' ἐλάων, *Br. Schol.*

244. Καὶ μὴν οἱ) γρ. ἓ μέν οἱ, non æquè benè.

246. Γυρὸς ἐν ὤμοισιν) γρ. γυρὸς ἦν ὤμοισιν, & γυρὸς ἦν ὦμος, vid. Not. in *Textum*.

Εὔγυ-

Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
Ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ἤδη.
Ὡς φάτο· τῇ δ' ἔπι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο,
Σήματ' ἀναγνύσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
Ἣδ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Καὶ τότε μὲν μύθοισιν ἀμειβομένη προσέειπε,
Νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς
Ἐν μεγάροισιν ἐμοῖσι, φίλος τ' ἔσῃ, αἰδοῖός τε·
Αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
Πτύξασ' ἐκ θαλάμου· περόνην τ' ἐπέθηκα φαεινὴν,
Κείνῳ ἄγαλμ' εἶναι· τὸ δ' οὐκ ὑποδέξομαι αὖτις
Οἶκαδε νοστήσαντα, φίλην ἐς πατρίδα γαῖαν.
Τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
Ὤιχεθ' ἑπόψόμενος κακοίλιον οὐκ ὀνομαστήν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν

" Eurybates verò nomen fuit, honorabat autem ipsum præ cæteris
" Suorum sociorum Ulysses; quòd ei animo congrua sciret.
Sic dixit; huic adhuc magis desiderium movit luctûs
Signa agnoscenti, quæ ei firma dixit Ulysses.
Hæc autem quùm satiata est multùm-lacrymabili luctu,
Et tunc ipsum verbis respondens alloquuta est,
" Nunc quidem mihi, hospes, antea licet esses miserabilis
" In domibus meis, amicusque eris, honorabilisque:
" Ipsa enim hæc vestimenta ego præbui, qualia dicis,
" Plicata ex cubiculo, fibulamque imposui lucidam,
" Ut illi ornamento esset: hunc autem non suscipiam rursus
" Domum redeuntem, dilectam in patriam terram,
" Ideò malo fato concavâ in navi Ulysses
" Ivit inspecturus malam-Trojam non nominabilem.
Hanc respondens alloquutus est prudens Ulysses,
" O uxor veneranda Laërtiadæ Ulyssis,
" Nè ampliùs nunc corpus pulchrum macera; neque animum

ΣΧΟΛΙΑ.

248. Ἅρπα.] Ἀσφαλῆ, βέβαια.
250. Ἀναγνύσῃ.] Γνωρισμόν.
263. * Ἀναίρεο.] Καθίφθειραι, * ἀφάνιζε.

NOTÆ.

Editt. *Florentinâ*, *Aldinâ*, *Lovanianâ Rescii*, *Hervagianâ*, utràque *Eustathii*; quùm ex unicâ *Hen. Stephani* Editione, Error in plurimas proseminaretur; ille enim Γυρὸς ἶλω ὤμοισι, μελανόχρως, ἐλαχάεις, quem secuti *Castellio*, *Spondanus*, *Schrevelius*, &c. *Oxoniensis* in hâc parte feliciùs, Γυρὸς ἶλω ὤμοις, cui *Lectioni* & ipse libens accederem; nisi Vett. Exempl. satis commodè legissent. Etiam in *Scholiis* MSS. legitur γυρὸς ἐν ὤμοισι, quin ità legit *Etymolog.* M. v. Γυρὸς, & *Maximus Tyrius*, §. 1. Quin Vett. *Brevium Scholiorum* Editores ita legunt, ad quarum Exemplar nostra *Scholia* emendamus. Denique *Johan. Tzetzes*, Γυρὸς ἐν ὤμοισιν legit, MSS. *Schol.* ad *Iliad.* α'. v. 2. in v. ἐλαχ. Τὸ ἶλω non erat hic repetendum; cùm præcesserit, Versu in ultimo præcedenti. *Suidas*, etiam Edition. *Küsteriana*, corruptè legit, &, quod mireris, ὡδὶ Ὀδυσσέως, quasi dictum esset de *Ulysse*; cùm de *Ulysse* præconе, *Eurybate* dicatur; ut ex hoc ipso *Homeri* loco constat. *Neocoro* itaque erat certè notandum, aut supplendum, legendo, ὡδὶ Ὀδυσσέως κήρυκος, Εὐρυβάτου. Vid. *Suidam*, v. Γυρός.

250. Σήματ' ἀναγνύσῃ) Vid. ad ψ. v. 205.

261. Τὴν δ' ἀπαμειβόμενος) Cùm fortè fortunâ in *Henrici Stephani* Editione, Τόν δ' ederetur, cæteræ Editiones subsecutæ, Errori auctoritatem dare videbantur. Ego manifestum Errorem sistendum duxi; quùm & *Sensus* probat, Orationem ad *Penelopem* dirigi, & olim etiam Versio habuerit *Hanc*, & *Oxoniensis* Editio τὴν restituit; quod & *Florentina* fecerat, *Aldina*, *Lovaniana*, *Hervagiana*, utraque *Eustathii*, omnes *Henrico Stephano* priores. Vid. infrà, ad ψ. v. 25.

263. Μηκέτι νῦν χρόα καλὸν ἐναίρεο) Vid. Not. in *Scholia*.

NOTÆ IN SCHOLIA.

263. * Ἀναίρεο) Ità quidem in MS. & *Impressis*, ab ἀναίρω, tollo, voce *Euripideâ*; at ἐναίρεο, Vox

VARIÆ LECTIONES.

250. Ἀναγνύσῃ) γρ. ἀναγνύσης, *Eustath.* ut in Not. ad *Odyss.* ι'. v. 256.
257. Εἶναι) γρ. ἶμεναι, *H. Steph.*
263. Ἐναίρεο) γρ. ἀναίρεο, *Br. Schol.* Edit. *Hervagian.* in margine, & *Schrevelian.*

Τῆτι,

Τῆκε, πόσιν γοόωσα· νεμεσσῶμαί γε μὲν ἔδην·
Καὶ γάρ τίς τ' ἄλλοιον ὀδύρεται ἄνδρ' ὀλέσασα
Κυρίδιον, τῷ τέκνα τέκη Φιλότητι μιγεῖσα,
Ἢ Ὀδυσῆ, ὃν Φασι Θεοῖς ἀτάλιγκιον εἶναι.
Ἀλλὰ γόε μὲν παῦσαι, ἐμεῖο δ' σύνθεο μῦθον·
Νημερτέως γάρ τοι μυθήσομαι, οὐδ' ὑποκεύσω,
Ὡς ἤδη Ὀδυσῆος ἐγὼ θεὸν ἄγχι νέεσθαι
Ἀσχῷ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
Ζωὸν· αὐτὰρ ἄγη κειμήλια πολλὰ καὶ ἐσθλὰ,
Αἰτίζων ἀνὰ δῆμον· ἀτὰρ ἑτάροιο ἑταίρους
Ὤλεσε, καὶ νῆα γλαφυρὴν, ἐνὶ οἴνοπι πόντῳ,
Θρινακίης ἀπὸ νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
Ζεύς τε, καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκτανε ἑταίρους,
Οἳ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
Τὸν δ' ἄρ' ἐπὶ τρόπις νηὸς ἔκβαλε κύμα ἐπὶ χέρσου
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν.
Οἳ δή μιν θεὸν κῆρι, θεὸν ὡς, τιμήσαντο,
Καί οἱ πολλὰ δόσαν, πέμπειν τέ μιν ἤθελον αὐτοὶ
Οἴκαδ' ἀπήμαντον· καί κεν πάλαι ἐνθάδ' Ὀδυσεὺς
Ἦεν· ἀλλ' ἄρα οἱ τό γε κέρδιον εἴσατο θυμῷ,
Χρήματ' ἀγυρτάζειν πολλὸν ἐπὶ γαῖαν ἰόντι·
Ὡς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
Οἶδ' Ὀδυσεύς· οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος,
Ὡς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων.
Ὤμνυε δ' ᾧ θεῷ ἔμμεν' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,

"Tabefac, virum lugens; reprehendo quidem nihil;
"Etenim aliqua & aliusmodi lugent virum perdens,
"Quem juvenem *habuerit*, cui filios peperit amore mixta,
"Quàm Ulyssem, quem dicunt Deis similem esse.
"Sed à luctu quidem cessa, meîque intellige sermonem;
"Verè enim tibi loquar, neque occultabo,
"Nam jam de Ulyssis ego reditu audivi,
"Propè Thesprotos viros in pingui populo,
"Vivi: at ducit thesauros multos & delectos,
"Efflagitans per populum: verùm amabiles socios
"Perdidit, & navem concavam in nigro ponto,
"Trinacriâ ab insulâ veniens: irascebantur enim ipsi
"Jupiterque & Sol: hujus enim boves interfecerunt socii;
"Qui quidem omnes perierunt undoso in ponto:
"Hunc autem super carinâ navis ejecit unda in continentem,
"Phæacum in terram, qui Diis-similes sunt,
"Hi utique ipsum ex animo, tanquam deum, honorabant,
"Et ei multa dederunt; mitteréque ipsum voluissent ipsi
"Domum illæsum: & jam pridem huc Ulysses
"Venisset; sed ei hoc utilius visum est animo,
"Res congregare multam in terram euntem:
"Adeò astutias multas præ mortalibus hominibus
"Cognovit Ulysses; neque aliquis contendat homo alius;
"Sicut mihi Thesprotorum rex locutus est Phedon.
"Juravit autem me ipsum, sacrificans in domo

ΣΧΟΛΙΑ.

284. Ἀγυρτάζειν.] Ἀθροίζειν.

NOTÆ.

284. Χρήματ' ἀγυρτάζειν) Τὰ δῶρα συναθροίζειν, συλλέγειν. Ἀγυρτὰς, συναθροιστὰς, μάντεις, ὡς Ἀττικῶν. *Hesych.* v. Ἀγυρτάζει· & Ἀγυρτὴς. *Etymolog.* v. Ἀγύρ). dam Literam sequentem censeo; de quâ re sæpè passim monemus, & ad π'. v. 15.

286. Οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος) Ità semper, cùm Vocalis *brevis* sit producenda, geminan-

288. Ὤμνυε δ' ᾧ θεῷ ἔμμ' αὐτὸν) Ità pro ἐμαυτὸν semper apud *Homerum* scribendum probo, ad *Iliad.* α'. v 271. Καὶ μαχέσμεν καὶ ἔμ' αὐτὸν ἐγώ. *Eustath.*

NOTÆ IN SCHOLIA.

Homerica, est Vera *Lectio*. Addo in *Scholiis* Vocem dudum deperditam *ἀφάνιζε, quam in *Scholiis* ad locum reperit *Isaac. Casaubon.* ad D. *Matthæ.* c. 6. v. 16. nisi *Eustathium* fortè notaverit, qui per ἀφανίζειν, αἰχόνειν, reddit, fol. 695. lin. 34.

VARIÆ LECTIONES.

268. Μῦθον) γρ. μύθων, *H. Steph.*
283. Ἦλω) γρ. ἦεν, *Seberus*, Indice *Homerico*.
285. Πέρι) γρ. περὶ, non æquè benè.
286. Ἐρίσσειε) γρ. ἐρίσσειεν, olim.

Νῆα κατειρύσσῃ, καὶ ἑταίρους ἔμμεν ἑταίρους,
Οἵ κέ μιν πέμψωσι φίλην ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐμὲ μὲν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηὸς
Ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
Καί μοι κλήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσῆος·
Καί νύ κεν ἐς δεκάτιν γενεὴν ἕτερόν γ' ἔτι βόσκοι,
Ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα Θεοῖο
Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,
Ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν,
Ἤδη δηὖ ἀπεών, ἢ ἀμφαδόν, ἠὲ κρυφηδόν.
Ὣς ὁ μὲν ὕττως ἐστὶ σόος, καὶ ἐλεύσεται ἤδη
Ἀσχι μάλ'· αὐτὰρ ἔπειτα φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω·
Ἴστω νῦν Ζεὺς πρῶτα, Θεῶν ὕπατος καὶ ἄριστος,
Ἰσίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ἦ μήν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω·
Τῷδ' αὐτῷ λυκάβαντι ἐλεύσεται ἐνθάδ' Ὀδυσεύς,
Τῷ μὲν φθίνοντος μηνός, τῷ δ' ἰσαμένοιο.
Τόνδ' αὖτε προσέειπε πολύφρων Πηνελόπεια,
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
Τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,

"Navem detractam esse, & præparatos esse socios;
" Qui nempè ipsum deducent dilectam in patriam terram.
" Sed me priùs dimisit; contigit enim veniens navis
" Virorum Thesprotorum in Dulichium ferax frumenti,
" Et mihi res ostendit, quascunque congregaverat Ulysses:
" Quin vel in decimam ætatem alterum adhuc pascerent,
" Quantæ ei in ædibus opes jacebant regis.
" Ipsum autem in Dodonem dicebat iisse, ut Dei
" Ex quercu altâ Jovis consilium audiret,
" Quomodo rediret dilectam in Patriam terram
" Jam diù absens, vel manifestè, vel clàm.
" Ità quidem ille adeò est salvus, & veniet jam
" Propè valdè, neque nunc longè ab amicis & patriâ terrâ
" Diù aberit: veruntamen tibi juramenta dabo;
" Sciat nunc Jupiter primùm, Deorum maximus & optimus,
" Domúsque Ulyssis strenui, ad quam perveni,
" Hoc modo hæc omnia perficientur, sicut dico:
" Hoc ipso anno veniet huc Ulysses,
" Hoc quidem finiente mense, illo autem incipiente.
Hunc rursus alloquuta est prudens Penelope,
" Utinam enim hoc, hospes, verbum perficiendum esset:
" Ideò citò cognosceres amicitiamque, multaque dona,

ΣΧΟΛΙΑ.

294. Ἕτερον γ' ἔτι βόσκοι.] Ἐλλείπει, γένος.
299. Κρυφηδόν.] Κρύφα, λαθραίως.
305. Ἦ μήτι.] Τοῦτο τῷ τρόπῳ.

NOTÆ.

fol. 696. lin. 29. Μίμνει] Ὁ ἀνακεφαλαιωλικῶς καὶ νῦν, καθὰ ἐν τοῖς πρὸς Εὔμαιον ὅ τε Θεσπρωτῶν βασιλέως Φείδωνος λέγει ὃ ἐν τῇς πρώτης σίχυς, δι' ὧν ἐκεῖνος ἄμυνε πρὸς ὅ Ὀδυσέως, λάσπίνδην σὺν οἴκῳ· καὶ τὰς ἑτέρας ὃ τρεῖς σίχυς τὰς περὶ τὸ δίξεως τὸ ὅ Ὀδυσέως κλημάτων, ἐν τῷ αὐτῶν προσέτι· καὶ τὰς τέσσαρας σίχυς τὰς περὶ τὸ ἐς Δωδώνην ἀπολείπεσθαι ὅ Ὀδυσέως, φράσας μὴ ἀπαραλλάκτως αὐτὰ ἑκεῖνα τὰ ἔπη, μεταξάξας ὃ πὰς οἰκείας· καὶ τὸ μὴ ὕστερον, ἐν τοῖς ἑκεῖ, τὸ, Ὡμοσε ὃ πρὸς ἐμὸ αὐτὸν, πρῶτον ἐντεῦθα φησίν· δεύτερον ὃ, τὸ ἑκεῖ πρῶτον, τῷ τῶ κλημάτων δηλαδὴ ὑποδείξιν· τρίτον ὃ, τὸ ἑκεῖσε δεύτερον, τὸ περὶ τὸ Δωδώνης λόγου· οἶδε γὰρ ὁ πολὺς ῥήτωρ Ὅμηρος, ὡς ἀφορᾷν γραφῆς ποιεῖ καὶ ἡ τῶ νοημάτων μεταξάξις.

296. Τόνδ' ἐς Δωδώνην) Vid. ad ξ'. v. 327.

304. Ἰσίη τ' Ὀδυσῆος) Suavis iterum παρήχησις ἴσω, & ἰσίη. Notandum autem hoc in loco Omnes Codices habere Ἰσίη, quare ad eandem normam τὸ ἰσίη, quod olim erat, ξ'. v. 159. in ἰσίη refingo, ut *ibidem*, in *Var. Lect.* Communis autem ἰσίη *Asperatur*, *Ionica* ἰσίη *Lenitur*; ut ostendo, ad *Anacreon*, v. 44. Παρὰ δ' ἰσίλω καθίσας, & ad v. 1091. Πίνοσα τὸν ἐπίσιον. Vid. infrà, ad υ'. v. 231.

309. Αἲ γὰρ τοῦτο, ξεῖνε) Tres hi Versus omnes iterum occurrunt suprà, ad ο'. v. 535. & ρ'. v. 163.

VARIÆ LECTIONES.

295. Ὅσσα) γρ. τόσσα, ut ξ'. v. 326.
297. Ἐπακούσῃ) γρ. ἐσακούσῃ.
304. Ἰσίη) γρ. Ἐσίη, vid. Not. in *Textum*.

Ἐξ ἐμεῦ· ὡς ἄν τις σὲ σαωσάμενος μακαρίζοι.
Ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀίεται, ὡς ἔσεται περ·
Οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
Τεύξῃ· ἐπεὶ ἤτοι σημάντορές εἰσιν ἐν οἴκῳ,
Οἷος Ὀδυσεὺς ἔσκε μεθ' ἀνθρώποισιν, εἴποτ' ἔλωγε,
Ξείνους αἰδοίους ἀποπεμπέμεν, ἠδὲ δέχεσθαι.
Ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνήν,
Δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα,
Ὡς κ' εὖ θαλπιόων χρυσόθρονον ἠῶ ἵκηται.
Ἠῶθεν δ' μάλ' ἔπειτα λοέσας τε, χρίσας τε,
Ὡς κ' ἔνδον πὰρ Τηλεμάχῳ δείπνοιο μέδηται
Ἥμενος ἐν μεγάρῳ· τῷ δ' ἄλγιον, ὅς κεν ἐκείνων
Τῆνον ἀνιάζῃ θυμοφθόρος, οὐδέ τι ἔργον
Ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
Πῶς γὰρ ἐμεῖο σὺ, ξεῖνε, δαήσεαι, εἴ τι γυναικῶν
Ἄλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
Εἴ κεν ἀϋσταλέος, κακὰ εἰμένος, ἐν μεγάροισι
Δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
Ὅς μὴ ἀπῃνής τ' αὐτὸς ἔῃ, καὶ ἀπῃνέα εἰδῇ,
Τῷδε κακῳῶν πάντες βροτοὶ ἄλγε' ὀπίσσω

" Ex me; ut aliquis tibi obvius te beatum dicat.
" Sed mihi sic in animo putatur, sicut erit:
" Neque Ulysses ampliùs domum veniet, neque tu reductionem
" Assequeris; quoniam non tibi Directores sunt in domo,
" Qualis Ulysses fuit inter viros (sicubi fuerit)
" Hospites honoratos dimittere & suscipere.
" Verùm ipsum, famulæ, lavate, & sternite lectum,
" Stramenta, & chlænas, & cooperimenta splendida;
" Ut bene calefactus ad aureæ-sedis Auroram perveniat.
" Manè autem valdè maturè lavate ungiteque,
" Ut intùs apud Telemachum cœnam curet
" Sedens in domo: huic autem pejus erit, qui illorum
" Hunc tristitiâ-afficiet pernicioſus, neque aliquod opus
" Hìc ampliùs faciet, valdè quamvis iratus-graviter.
" Quomodo enim me tu, hospes, cognosces, si quid mulieribus
" Aliis præsto mente, & prudenti consilio,
" Si squalidus, malè indutus, in domibus
" Convivaris? homines autem brevis- & fugacis-vitæ sunt.
" Qui quidem sævus ipse erit, & crudelia patravit,
" Huic imprecantur omnes homines dolores in futurum

ΣΧΟΛΙΑ.

314. Σημάντορες.] Οἱ καλοὶ ὁρμοί, διασῴζοντες.
317. Κάτθετε.] Ἀντὶ δ, θρῴσκεται.
319. Θαλπιόων.] Θαλπόμενος, θερμαινόμενος.
320. Λοέσας.] Λοῦσαι.
326. Περίειμι.] Ὑπερβάλλω.
327. Ἀϋσταλέος.] Ἀσχημῶν.
328. Δαινύῃ.] Εὐωχῆται μέλλεις. Ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσι.] Τοῦτο ἀντὶ τοῦ εὐθημοίαν εἰρηκεν· καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος· ὀλιγοχρόνιοι δὲ ὑπάρχοντες οἱ ἄνθρωποι, ὀφείλουσιν εὖ πράττειν ἐν τῷ βίῳ, καὶ φήμην ἀγαθὴν ἀπολείπειν.

NOTÆ.

202. * Γεννήσῃς) Ità, pro γένησεις, ex *Eustathio* restituo, MS. γενήσεις, tres Impressi Codd. γένησις, malè.

VARIÆ LECTIONES.

192. Ἐξ εὐχεται) γρ. ἐξεύχεται). vid. ad α'. v. 406.
196. Καὶ) γρ. κὰν, *H. Steph.*
199. Πατὴρ ὦ ξεῖνε) γρ. πάτερ ὦ ξεῖνε, Vid. Not. in *Textum*. *Ibid.* Ἔσσω) γρ. ὄπισσω, vid. *ibid.*
200. Κακοῖς ἔχεαι πολέεσσιν) γρ. κακοῖς ἔχεαι πολλοῖσιν, vid. Not. in *Textum*.

Εἶπε

Εἴπῃ ἔπ ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
Εἰ δ' ἤδη τέθνηκε, καὶ εἰν ἀίδαο δόμοισιν,
Ὤ μοι ἔπειθ' Ὀδυσῆος ἀμύμονος, ὅς μ' ἐπὶ βουσὶν
Εἶσ' ἔπ τυτθὸν ἐόντα, Κεφαλλήνων ἐνὶ δήμῳ·
Νῦν δ' αἰ μὴ γίνοιτ' ἀθέσφατοι, ὥδέ κεν ἄλλως
Ἀνδρί γ' ὑποφαχύῃλο βοῶν γένος εὐρυμετώπων·
Τὰς δ' ἄλλοι μὲ κέλονται ἀγινέμμεναι σφίσιν αὐτοῖς
Ἔδμεναι· ὐδέ π παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
Οὐδ' ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
Κτήματα δάσασθαι δηρὸν οἰχομένοιο ἄνακτος.
Αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ φρεσὶ φίλοισι
Πόλλ' ὀπδυνᾷ· μάλα μὴν κακὸν, ὅμος ἐόντος,
Ἄλλων δῆμον ἰκέσθαι, ἰόνθ' αὐτῇσι βόεσσιν,
Ἄνδρας ἐς ἀλλοδαπούς· τὸ ἧ ῥίγιον, αὖθι μένοντα
Βουσὶν ἐπ' ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
Καί κεν δὴ πάλαι ἄλλον ὑποφθιμένων βασιλήων
Ἐξικόμην Φεύγων· ἐπεὶ ἤδη πάντ' ἀνέχ' ἄλγε'· ἀνὴρ
Ἀλλ' ἔπ τ' δύσφρων οἰόμην, εἰ ποθεν ἐλθὼν
Ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Βουκόλ', ἐπεὶ οὔτε κακὸν, οὔτ' ἄφρονι, φωτὶ ἔοικας,
Γινώσκω δ' αὐτὸς, ὅ τοι πινυτὴ φρένας ἔνδον,
Τοὔνεκά τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
Ἴσθι νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἰσίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,

" sicubi adhuc vivit, & videt lumen Solis.
" Sin jam mortuus est, & in inferni domibus,
" O *miserum* me tum ob Ulyssem strenuum; qui me bubus
" Præfecit adhuc parvulus cum essem, Cephallenorum in populo!
" Nunc autem hæ quidem fiunt innumeræ, neque aliter
" Cuiquam accresceret boum generatio latarum-frontium:
" Ast illas alii me jubent ducere sibi-ipsis
" Edere; neque filium in ædibus curant,
" Neque reverentiam timent Deorum, prompti sunt enim jamdudum
" Facultates dividere diù ablentis regis.
" At mihi hoc animus in pectoribus dilectis
" Multùm volvit; valdè quidem malum, filio superstite,
" Ad alium populum ire, euntem cum ipsis bobus,
" Viros ad alienos hoc tamen durius, hìc manentem
" Bubus alienis assidentem dolores pati.
" Et jam olim ad alium è magnificis regibus
" Venissem fugiens, quoniam non ampliùs tolerabilia sunt:
" Sed adhuc hunc infelicem exspecto; si cunde veniens
" Virorum procorum dispersionem per ædes faciat.
Hunc respondens alloquutus est prudens Ulysses,
" Bubulce quoniam neque malo, neque insipienti, viro similis es.
" Cognosco autem ipse, quòd tibi prudentia mentem occupat,
" Ideò tibi dico, & magnum juramentum juro:
" Sciat nunc primùm Jupiter Deorum, Hospitalisque mensa,
" Domusque Ulyssis strenui, ad quam veni,

ΣΧΟΛΙΑ.

ὁ λοιμὸς. πολλὰς τροφὰς λαμβάνῃ.
219. * Αὐτῇσι βόεσσιν.] Σὺν αὐτοῖς ταῖς βουσί.
228. Πινυτὴ.] Σύνεσις.

NOTÆ.

ἢ σὺν συνόησεν. Vid. quæ Nos ad *Euripid.* Oreſt. v. 596.
231. Ἰσίη) Ità quidem ſuprà ſcribitur in Omni- SCHOLIA.
219. * Αὐτῇσι βόεσσι) Σὺν αὐτοῖς ταῖς βουσὶ, MS. *Aloyſii.*

VARIÆ LECTIONES.

229. Πινυτὴ) γρ. πινυτῆς.
231. Ἰσίη) γρ. ἐσίη, vid. Not. in *Textum.*

NOTÆ IN SCHOLIA.

210. * Εἶσεν) Ἔπαξεν, ex *Euſtathio*, fol. 730. lin. 51.
212. Ὑποφαχύῃλο) γρ. ὑπαιφαχυῆτο, ὑπεφαχύοιο.
219. Ἄλλων δῆμον) γρ. ἄλλον δῆμον, *Euſtath.* fol. 731. lin. 30. *H. Steph.*

Ἦ σέθεν ὀνθάδ' ἐόντ' ἐλεύσετ' οἶκαδ' Ὀδυσσεύς·
Σοῖσιν δ' ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ' ἐθέλῃθα,
Κτεινομένους μνηστῆρας, οἳ ὀνθάδε κοιρανέουσι.
Τόνδ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ,
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
Γνοίης, οἵη ἐμὴ δυνάμις καὶ χεῖρες ἕπονται.
Ὡς δ' αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
Ἥρτυον· αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἦλυθεν ὄρνις,
Αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο, καὶ μετέειπεν,
Ὦ φίλοι, οὐκ ἡμῖν συνθύσεται ἥδε γε βουλὴ,
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.
Ὡς ἔφαθ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιπλώδανε μῦθος.
Ἐλθόντες δ' ἐς δώματ' Ὀδυσσῆος θείοιο,
Χλαίνας μὲν κατέθεντο κατ' ἰμσμούς τε, θρόνους τε·
Οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
Ἱέρευον δὲ σῦας σιάλους καὶ βοῦν ἀγελαίην·
Σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων· ἐν δ' ἄρα οἶνον
Κρητῆρσιν κεράσαντο· κύπελλα δὲ νεῖμε συβώτης.
Σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
Καλοῖς ἐν κανέοισιν· ἐῳνοχόει δὲ Μελανθεύς.

" Certè, te hic præsente, veniet domum Ulysses;
" Tuisque oculis videbis, si volueris,
" Interfectos procos, qui hìc dominantur.
Hunc rursus allocutus est boum bubulcus vir,
" Utinam hoc, hospes, verbum perficiat Saturnius!
" Cognoscerès, qualis mea potentia & manus sequerentur.
Sic similiter Eumæus supplicabat omnibus Diis,
Redire Ulyssem multùm sapientem suam ad domum.
Sic hi quidem talia inter se confabulabantur.
Proci interea Telemacho interitumque mortemque
Parabant: at his sinistra venit avis
Aquila altevolans, tenebatque timidam columbam.
His igitur Amphinomus loquutus est, & dixit,
" O amici, non nobis perficietur hoc consilium,
" Telemachi cædes; verùm recordemur convivii.
Sic dixit Amphinomus; his verò placuit verbum.
Ubi itaque venissent in domos Ulyssis divini,
Chlænas quidem deposuerunt in lectisque, sedibusque:
Hi autem sacrificabant oves magnas, & pingues capras,
Mactârunt etiam porcos, & bovem indomitam,
Viscera verò assantes distribuebant; sed & vinum
Pateris immiscebant: poculaque distribuebat subulcus:
Panem verò ipsis distribuebat Philœtius, eximius virorum,
Pulchris in canistris: potumque ministrabat Melanthius,

Σ Χ Ο Λ Ι Α.

250. Οἱ δ' ἱέρευον ὄϊς.] Παρατηρητέον, ὅτι μόνους τοὺς μνηστῆρας ἱεροῖς θύοντας οἶδεν· * εἰ μὴ ἐνταῦθα μόνον.

* Εἰ μὴ &c. Addo, ex *Eustath.* fol. 733. lin. 14.

N O T Æ.

bus, τ'. v. 304. quare & hìc ità scribendum censeo; quùm *Homerus* libentèr *Ionum* Dialecto utatur. Ità *Eustath.* fol. 731. lin. 9. & *Etymolog.* M. ut ξ'. v. 159.

235. Ἐπιβουκόλος) Τὸ ἐπὶ elegantèr redundat, nec sine ratione; denotat enim *Superiorem* in illo Officio, ut aliàs, γ'. v. 422. Ità μ'. v. 131. ἐπιμήνιες, *Pastores præcipui*, & ἐπίουρος. Vid. *Eustath.* fol. 731. lin. 20.

244. Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο) *Ultima* Σ Ἀμφίνομος producitur, in *Cæsurâ*, vi *Finalis*, ut mox, v. 246. in φόνος, &c.

246. Τηλεμάχοιο φόνος) Vid. suprà, ad v. 244. & infrà, ad v. 267.

251. Ἱέρευον) De *Anapæsto* in *Primâ* sede, vide ad ρ'. v. 181. ubi hic Versus. Potest tamen & ἴερευον legi, ut ἰεῦς, pro ἰερεὺς & ἰρὸς, pro ἱερὸς, plus semel *Homero*, & suprà, v. 3. olim.

V A R I Æ L E C T I O N E S.

237. Ἕπονται) γρ. ἵπανται. & ἄαπται.

250. Ἱέρευον) γρ. ἴερευον, vid. suprà, ad v. 3. & Not. in *Textum*, v. 251. *Ibid.* Μεγάλους) γρ. μεγάλας, *H. Steph.*

251. Ἱέρευον) γρ. ἴερευον, vid. Not. in *Textum*.

Οἱ

Οἱ δ' ἐπ' ὀνείατ' ἐτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
Ἐντὸς ἐϋξάθου μεγάρου, πρὸ λάϊνον οὐδόν,
Δίφρον ἀεικέλιον πρόθετο, ὀλίγῳ τε τραπέζαν·
Παρ δ' ἐπίθη σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχυθεν
Ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν,
Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
Κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
Πάντων μνηστήρων· ἐπεὶ οὔτοι δήμιός ἐστιν
Οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος· ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
Ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ὀνίπτης
Καὶ χεῖρας· ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδάξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός,
Καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοί,
Τηλεμάχου· μάλα δ' ἡμῖν ἀπειλήσας ἀγορεύει.
Οὐ γὰρ Ζεὺς εἴασε Κρονίων τῷ κέ μιν ἤδη
Παύσαμεν ὀμφὴν μεγάροισι, λιγύν περ ἐόντ' ἀγορητήν.
Ὣς ἔφαθ' Ἀντίνοος· ὁ δ' ἄρ' οὐκ ἐμπάζετο μύθων.
Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
Ἦγον· τοὶ δ' ἀγέροντο καρηκομόωντες Ἀχαιοὶ
Ἄλσος ὑπὸ σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο

Hi igitur in cibos paratos præjacentes manus mittebant.
Telemachus autem Ulyssem sedere fecit, astutias versans,
Intra bene-ordinatam domum, apud lapideum limen,
Sede indecenti appositâ, parvâque mensâ.
Apposuit verò ei viscerum partes, infuditque vinum
In poculo aureo, & ipsum est alloquutus,
" Hic nunc sede cum viris vinum-bibens;
" Convitia verò tibi ipse ego & manus arcebo
" Omnium procorum; quoniam non publica est
" Domus hæc, verùm Ulyssis; mihi etenim acquisivit ille.
" Vos itaque, proci, continere animum à convitio,
" Et manus; ut non aliqua lis & contentio oriatur.
Sic dixit: hi verò omnes mordicus labra tenentes
Telemachum admirabantur; quòd audaciùs locutus esset.
His autem Antinous interlocutus est, Eupithis filius,
" Et molestum quamvis sit, suscipiamus verbum, Achivi,
" Telemachi; valdè licet nobis minatus loquitur:
" Non enim Jupiter fivit Saturnius: alioquin ipsum jam
" Compressissemus in ædibus, licet suavis sit concionator.
Sic dixit Antinous; hic verò non curavit verba.
Præcones autem per civitatem sacram Hecatomben
Duxerunt; & *ad illam* confluxêre capite-comantes Achivi
Nemore sub umbroso longè-jaculantis Apollinis.
Hi autem postquam assaverunt carnes superiores, & traxerunt

ΣΧΟΛΙΑ.

259. Ἀεικέλιον.] Εὐτελῆ.
264. Δήμιος.] Δημόσιος.
266. Ἐπίσχεσθε.] Καθίσχεσθε. Ἐνίπης.] Ἐπιπλήξεως· σύντομη, ἡ ἀφ' λόγων ἐπίπληξις, καὶ ἀπειλή· ἀπὸ δ συνίπω.

NOTÆ.

253. Κρητῆρσιν κεράσσας) Juxta Vetera Exemplaria Κρητῆρσιν, cum ρ. scribo, nè cæspitent *Tyrones*.

259. Δίφρον ἀεικέλιον παρέθετο, ὀλίγῳ τε τραπέζαν) *Aristoteles* hoc Versu inter alios utitur, ad ostendendum, quomodò nobilis Poeta τὸ ὕψος conservaret, abjectis humilioribus voculis μικρῷ & μικρὰν, pro grandioribus, ἀεικέλιον & ὀλίγῳ. Ut suprà, ι'. v. 515. Νῦν δέ μ' ἐὼν ὀλίγος τε, καὶ ἀσθενὲς, καὶ ἀκικυς, pro humiliori, Νῦν δέ μ' ἐὼν μικρός τις, καὶ ἀσθενικὸς, & ἀειδής. Et *Iliad.* ε'. v. 265. Ἠϊόνες βοόωσιν, pro κράζουσιν, in quem locum, vide plura.

267. Χεῖρας· ἵνα) *Ultima* Σ χεῖρας producitur, in *Cæsurâ*, vi *Finalis*, & ante συμὼν, nec non *Asperum*.

272. Μάλα δ' ἡμῖν) De ἡμῖν, pro ἡμῶν, *Metri* causâ, vid. ad v. 177.

273. Οὐ γὰρ Ζεὺς εἴασε) Ità scribendum & hìc, ut & olim suprà, ad v. 164. eadem utrobique ratio. Subintelligit verò, Consilium, quod inierant de Tollendo *Telemacho*.

276. Θεῶν ἱερὴν ἑκατόμβην) De hoc *Festo*, vid. *Brevia Scholia*, ad v. 155.

VARIÆ LECTIONES.

253. Κερώντες) γρ. κεράσσαντες, *H. Steph.*
279. Καὶ ἐρύσαντο) γρ. κἀὐτ' ἐρύσαντο.

Μοῖρας

Μοίρας δασσάμενοι δαίνυνθ' ἑρικυδέα δαῖτα.
Παρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν θέσαν, οἱ πονέοντο,
Ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἀνώγει
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Μνηστῆρας δ' ὐ πάμπαν ἀγαυόρας εἴα Ἀθήνη
Λώβης ἴσχεσθ' θυμαλγέος· ὄφρ' ἔτι μᾶλλον
Δύη ἄχος κραδίῃ Λαερτιάδαο Ὀδυσσῆα.
Ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ, ἀθεμίστια εἰδὼς,
Κτήσιππος δ' ὄνομ' ἔσκε, Σάμῃ δ' ἔνι οἰκία ναίων·
Ὃς δή τοι κλεάτεσσι πεποιθὼς πατρὸς ἑοῖο,
Μνάσκεθ' Ὀδυσσῆος δηρὸν οἰχομένοιο δάμαρτα.
Ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα,
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω.
Μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
Ἴσην· ὐ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
Ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώματ' ἵκηται.
Ἀλλ' ἄγε οἵ κε ἐγὼ δῶ ξείνιον· ὄφρα κὲ αὐτὸς
Ἠὲ λοετροχόῳ δώῃ γέρας, ἠέ τῳ ἄλλῳ
Δμώων, οἵ κ' τ' δώμασ' Ὀδυσσῆος θείοιο.
Ὣς εἰπὼν, ἔρριψε βοὸς πόδα χειρὶ παχείῃ,
Κείμενον, ἐκ κανέοιο λαβών· ὁ δ' ἀλθύνθη Ὀδυσεύς,
Ἦκα δὲ κλινὰς κεφαλήν· μείδησε δὲ θυμῷ

Partibus divisis, convivabantur glorioſum convivium.
Apud Ulyſſem verò partem poſuerunt, qui miniſtrabant,
Æqualem, ſicut ipſi ſortiti ſunt: ſic enim juſſerat
Telemachus, dilectus filius Ulyſſis divini.
Procos autem non omnino ſuperbos ſivit Minerva
Convicio abſtinere triſti; ut adhuc magis
Intraret dolor in cor Laërtiadæ Ulyſſis.
Erat verò quidam inter procos vir, injuſta ſciens,
Cteſippus autem nomen erat, & in Same domum habitabat;
Qui quidem poſſeſſionibus fretus patris ſui,
Petebat Ulyſſis diu abſentis uxorem:
Hic tunc procos ſuperbos alloquutus eſt,
" Audite me, proci ſtrenui; ut quid dicam;
" Partem quidem jam hoſpes habet diù, ſicut decet,
" Æqualem; non enim bonum eſt fraudare, neque juſtum,
" Hoſpites Telemachi quicunque ad has domos pervenerit.
" Verùm age, ei & ego dem hoſpitale donum; ut & ipſe
" Vel balneatori det munus, vel alicui alii
" Famulorum, qui ſunt in ædibus Ulyſſis divini.
Sic loquutus, projecit bovis pedem manu forti
Jacentem, ex caniſtro captum: ipſe tamen evitavit Ulyſſes
Lenitèr declinato capite; ſubriſit autem animo

ΣΧΟΛΙΑ.

289. Ὃς δή τοι κλεάτεσσι πεποιθώς.] Ἠθικῶς δείκνυσιν ὁ Ποιητὴς, ὅτι ὐδὲν συλλαμβάνει πλοῦτος πρὸς σωφροσύνην.

294. Ἀτίμβειν.] Σπείσειν.

296. Δῴη.] Παρέχῃ.

NOTÆ

281. Παρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν) *Ultima* Ϝ Ὀδυσσῆϊ producitur, in *Cæſurâ*, ob *Hiatum*, & propter *Liquidam* ſequentem.

286. Δύη ἄχος κραδίην Λαερτιάδην Ὀδυσσῆα) *Euſtath.* fol. 734. lin. 27. Ἦγον, ἵνα ἐπεισέλθῃ λύπη

297. Λοετροχόῳ.] Νῦν, τῷ τὰ λουτρὰ * παρέχοντι· ἢ παρασκευάζοντι.

301. Μείδησε δ θυμῷ Σαρδάνιον μᾶλλα τοῖον.] Οἱ τὸν * Σαρδόνα καθικέσθαι, ἀπὸ Καρχηδονίων ὄντες, χρῶνται νόμῳ τινὶ βαρβαρικῷ, καὶ πολὺ τὸ Ἑλλήνων

NOTÆ IN

297. * Παρέχοντι, pro hâc unâ voculâ, MS. habet ἐπιχέοντι τῷ λέοντι.

301. Hoc *Scholion* extat quidem in MSto, at non

SCHOLIA.

τὸ Ὀδυσσέως καὶ καρδίαν· ἢ ἀνθρωπικῶς τὴν καρδίαν τοῦ Ὀδυσσέως.

294. Ἀτίμβειν) Vid. *Etymolog.* M. v. Ἀτίμβειν.

299. Βοὸς πόδα) Vid. *Etymolog.* M. v. Βοὸς πόδα.

ſuo in loco, ponitur enim in ipſo *Rhapſodiæ* fine, ut & in tribus Vett. *Impreſſis*. * Σαρδόνα verò, pro Σάρδιν, ex *Euſtathii*, *Heſychii*, *Stephani* περὶ πό-

VARIÆ LECTIONES.

281. Οἱ πονέοντο) γρ. οἵ ῥα πόνεντο, & οἵ ῥ' ἐπόνεντο, *H. Steph.*

286. Λαερτιάδην Ὀδυσσῆα) γρ. Λαερτιάδεω Ὀδυσσῆος.

288. Ναίων) γρ. ναίων, *H. Steph.* malè.

294. Ἀτίμβειν) γρ. ἀτιμβεῖν, *Etymolog.* M.

Σαρδάνιον μάλα τοῖον· ὁ δ' εὔδμητον βάλε τοῖχον.
Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ,
Κτήσιππε, ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·
Οὐκ ἔβαλες τ' ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός·
Ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
Καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
Ἐνθάδε· τῷ μή τις μοι ἀεικείας ἐνὶ οἴκῳ
Φαινέτω· ἤδη γὰρ νοέω ἠδ οἶδα ἕκαστα,
Ἐσθλά τε, ἠδὲ τὰ χέρεια· πάρος * δ' ἔτι νήπιος ἦα.
Ἀλλ' ἔμπης τάδε μὴν ἠδὲ τέτλαμεν εἰσορόωντες,
Μήλων σφαζομένων, οἴνοιό τε πινομένοιο,
Καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
Ἀλλ' ἄγε μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·
Εἰ δ' ἤδη μ' αὐτὸν κλεῖναι μνηστεύετε χαλκῷ,
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη

Sardonium prorsus *risum* talem; hîc benè-ædificatum percussit murum.
Ctesippum verò Telemachus increpuit verbo,
" Ctesippe, certè longè tibi hoc utilius fuit animo;
" Non percussisti hospitem, evitavit enim telum ipse,
" Certè enim aliàs te medium percussissem lanceâ acutâ,
" Et tibi pro nuptiis pater exequias celebrâsset
" Hîc: ideò nè quis mihi insolentiam in domo
" Ostendat; jam enim intelligo, & scio singula,
" Bonaque & pejora; anteà autem infans eram.
" Sed tamen hæc quidem & tolerâvimus inspicientes,
" Dum oves jugularentur, & vinum epotaretur,
" Et panis *profunderetur*: difficile enim impedire unum multos.
" Verùm agite, nè ampliùs mihi mala facitote infenso animo:
" Sin jam me ipsum interficere prompti estis ære,
" Equidem hoc vellem, & multò utilius esset

ΣΧΟΛΙΑ.

ἀπηλαλδῶν· τῷ δὲ Κρόνῳ θύουσιν ἡμέρας * τεσσὶ πεπεμπάσας, ἃ μόνον τῶν αἰχμαλώτων τὰς καλλίστας, ἀλλὰ καὶ τῶν σεσωσυτέρων τὰς ὑπὲρ εὐδαιμονίαν ἔτη γεγυμνασμένας. * Τούτοις δὲ θυομένοις, τὸ μὲ δακρύειν αἰσχρὸν εἶναι δοκεῖ καὶ * δῆλον, τὸ δὲ ἀπαλγεῖν καὶ γελᾶν ἔθεσιν, καὶ σωφρόνων ἀνδρῶν τὸ καλόν. ὅθεν φασὶ καὶ τὸν ἐπὶ κακῷ σωφρονιστὴν γέλωτα κληθῆναι σαρδάνιον. ἢ δὲ ἱστορία παρὰ Δήμωνι.

302. Σαρδάνιον μάλα τοῖον.] Σεσηρὸς ἐπ' ὀλέθρῳ· * φασὶ δὲ Ἡφαιστόδυκτον ὑπὸ Διὸς Εὐρώπην δεθέντα φύλακα τῆς ἐπιβαίνουσης τῇ Κρήτῃ ἰδίως πωμερεῖσθαι· πηδῶντα γὰρ εἰς τὸ πῦρ. καὶ γερμαίνουσα τὸ σῶμα πε-

ριπίσασα αὐτὸν, ὧν καιομένων, σκαίνον σεσηρέναι· ἔνιοι δὲ γίνεσθαι λέγουσιν ὃν Σαρδοῦ τῇ νήσῳ σίλινον ποιοῦσιν, ὃ τοὺς φάγοντας ξένους μὴ ἀπασμοῦ σεσηρότας ἀπολλύναι ποιεῖ. * Τίμαιος δέ φησι τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς ἐπὶ βόθρον καὶ καταβάλλειν εἰς αὐτόν· τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν. ἄλλοι δὲ ἄλλως· ἄμεινον δὲ τὸν ἐπὶ καταμωκήσει σωφρονιστὴν γέλωτα· παρὰ τὸ σεσηρέναι, ὅ ἐστιν ἀνοίγειν τὸ χείλη.

304. Τόδε κέρδιον ἔπλετο.] * Τὸ μὴ βάλλειν, ἐπεὶ αὐτὸς ἀνήρητο· ἢ τὸ βάλλειν τὸν ξένον, αἱρεῖται τὸ κέρδιον.

308. Ἀεικείας.] Αἰκίας, * ἀπρεπείας.

NOTÆ.

302. Σαρδάνιον μάλα τοῖον) Præter *Brevia Scholia*, in v. 301. & v. 302. & ad *Iliad.* σ'. v. 101. vid. *Eustath.* fol. 735. lin. 47. &c. *Cicero* alludit, *Epistol.* l. 7. §. 25. Vid. infrà, ad v. 347. Γράφει δέ τις τῶν Παλαιῶν, καὶ ἔτι. Σαρδάνιος γέλως, κεχηνότος καὶ σεσηρότος ἐπὶ τιμωρίᾳ, ἐπ' ἐκ τοῦ ἀλγηδόνος γινόμενος. Σαρδόνιον, *Eustath. Hesych. Suidas*, in v. Σαρδάνιος γέλως. *Etymolog.* M. v. Διασαρδάνασε. Vid. *Zenobii* Adag. p. 146. *Turneb. Vulcob. Bongarsi* & *Dupor.* Σαρδιανὸν, *Plutarch.*

303. Τηλέμαχος ἠνίπαπε) Vid. infrà, ad v. 374.

NOTÆ IN SCHOLIA.

λεων, auctoritate; qui Σαρδὼ & Σαρδόνα plus semel vocant, Σάρδιν nunquam. Pro ἡμέρας τεσσὶ, lego ἡμέρας τεσσὶ. pro * τούτοις, τούτοις, pro δῆλον, * δεῖλον, Omnia ex *Aloysii* MSto.

302. In hoc *Scholio*, * φασὶ lego, pro φησὶ,

* Τίμαιος, pro τί μοι, ex *Aloysii* MSto.

304. Hoc *Scholion*, malè olim ad v. 331. ubi similis *Textus*, at Mens diversa.

308. * Ἀπρεπείας, ità pro ἀπρεποῦς scribendum, quis non videt? MS. nihil apertè determinat.

VARIÆ LECTIONES.

302. Σαρδάνιον) γρ. Σαρδιανὸν, *Plutarch.* Σαρδόνιον, vid. Not. in *Text.* *Ibid.* Μάλα) γρ. μέγα. *H. Steph.*

310. Χέρεια) γρ. χείρονα, suprà, σ'. v. 228. *Ibid.* Πάρος δ' ἔτι) Ità olim, σ'. v. 228. & ità in hunc locum scribendum notat manu, *Isaac. Casaubon.* malè olim πάρος δὲ π.

Τεθνά-

Τεθνάμεν, ἢ τάδε αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
Ξείνους τε φυσελιζομένους, δμωάς τε γυναῖκας
Ῥυσάζοντας ἀεικελίως κτ' δώματα καλά.
320 Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ὄψὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος,
Ὦ φίλοι, οὐκ ἂν δή τις ὀπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι καταπλόμενος χαλεπαίνοι.
Μήτ' ἔπι τ' ξεῖνον φυσελίζετε, μήτε τιν' ἄλλον
325 Δμώων, οἳ κτ' δώματ' Ὀδυσῆος θείοιο.
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
Ἧπιον, εἰ σφῶϊν κραδίῃ ἄδοι ἀμφοτέροισιν·
Ὄφρα μὲν ἡμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
330 Τόφρ' ὔπις νέμεσις μεμέμβλετο τ' ἦεν, ἰαχέμεναί τε,
Μνηστῆρας κτ' δώματ'· ἐπεὶ τόδε κέρδιον ἦεν,
Εἰ νόστησ' Ὀδυσεύς, καὶ ὑποτροπόων ἵκετο δῶμα·
Νῦν δ' ἤδη τόδε δῆλον, ὅτ' οὐκέτι νόστιμός ἐστιν.
Ἀλλ' ἄγε σῇ τάδε μητρὶ παρεζόμενος καταλέξον,
335 Γήμαιθ', ὅστις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρῃσιν·
Ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
Ἔδμεναι καὶ πίνειν· ἡ δ' ἄλλου δῶμα ἴσχῃ).

" Mori, quàm hæc ſemper indecentia opera videre,
" Hoſpites pulſatos, famulaſque mulieres
" Violari indecenter in ædibus pulchris.
Sic dixit: hi autem omnes quieti facti ſunt ſilentio.
Tarde itaque tandem loquutus eſt Damaſtorides Agelaus,
" O amici, non jam quis ob juſtum dictum
" Contrariis verbis inceſſens indignetur:
" Neque ampliùs hoſpitem verberato, neque aliquem alium
" Servorum, qui in domibus *ſunt* Ulyſſis divini.
" Telemacho tamen verbum ego & matri dicam
" Mite, ſi ipſis corde placeat ambobus:
" Quamdiu quidem nobis animus in pectoribus ſperabat
" Rediturum Ulyſſem perprudentem ſuam ad domum,
" Tamdiu nulla invidia, exſpectareque, & detinere,
" Procos in domibus *ſuis*; quoniam hoc utilius erat,
" Si rediſſet Ulyſſes, & poſtliminiò veniſſet domum:
" At nunc jamdudum hoc manifeſtũ, quòd non ampliùs reverſurus eſt.
" Verùm agè, tuæ hæc matri aſſidens narra,
" Nubat *ei*, quicunque optimus vir, & plurima præbeat;
" Ut tu quidem gaudens paterna omnia depaſcaris,
" Edens & bibens, hæc verò ad alterius domum veniat.

ΣΧΟΛΙΑ.

319. Ῥυσάζοντας.] Ῥυσάζειν δὲ τὸ μὴ βίας ἕλκειν. παρὰ τὸ ἐρύω, ἢ ῥύω.
326. Φαίην.] Εἴποιμι.
327. Σφῶϊν.] Αὐτοῖς.
332. Νόστησ'.] Ἐπανῆλθεν. Ὑποτροπόων.] Ὑποστρέψας.
336. Νέμηαι.] Καρπῖζῃ.

NOTÆ.

318. Ἡμῖν) Ità omninò legendum; nam ut *Euſtath.* fol. 736. lin. 38. Ἀγέλαος δὲ, εἷς τῶν μνηστήρων, τοῦτό φησιν, quare ſeipſum includens, ἡμῖν ait. *Aldina* & *Lovaniana Reſcii*, ἡμῖν, licet *Florent.* ὑμῖν. Vid. *Var. Lect.*
335. Γημαίθ') Ità in *Florentinâ*, *Romanâ* & *Baſileenſi Euſtathii*, *Aldinâ*, *Lovanianâ Reſcii*. *Hervag. Stephan. Caſtellion. Spondan. Oxon.* Aliàs tamen, γήμαιθ', pro γήμαιθ, ut π'. v. 392. & φ'. v. 162. At *Schrevelii* Lectio ℥, γήμαθ', ad Corvos abjicienda.

NOTÆ IN SCHOLIA.

319. *Etymologicum* M. Ῥυσάζειν, τὸ μὴ βίας ἕλκειν, παρὰ τὸ ἐρύω, ἢ ῥύω· καὶ πλεονασμῷ, ῥυσάζειν· ἔστι δὲ, τὸ μὴ βίας ἀναγκὴς ἕλκειν καὶ μιγνυδὲ γυναικί. καὶ Λυκόφρων ῥυσαγμάτων λέγει. Nempè v. 1089. Ἐμῶν ἕκαλε δυσγάμων ῥυσαγμάτων. Hinc pro MS. ἠρύω, & Impreſſis ἤῦω, lego disjunctim, *ἢ ῥύω.
331. *Scholion*, quod olim hìc malè ponebatur, nunc reperies ad v. 304.

VARIÆ LECTIONES.

317. Ἦ τάδε αἰὲν) γρ. τάδε γ' αἰέν.
328. Ἡμῖν) γρ. ὑμῖν, *Florent.* & *Euſtath. Roman.* fol. 1893. lin. 44. & *Baſil.* fol. 736. lin. 47. ἡμῖν tamen in *Textu* utriuſque Edit. Vid. N. ad *Textum*.
335. Γήμαιθ') γρ. γήμαιθ', vid. Not. in *Textum*.
337. Δῶμα) γρ. δώματ'.

Τόνδ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
Ὃς πού τηλ' Ἰθάκης ἢ ἔφθιθ', ἢ ἀλάληθ',
Οὔπω δηθύνω μητρὸς γάμον· ἀλλὰ κελεύω
Γήμασθ', ᾧ κ' ἐθέλῃ, πολλὰ δ' ἄσπετα δῶρα δίδωμι.
Αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο διέσσαι
Μύθῳ ἀναγκαίῳ· μὴ τῦτο θεὸς τελέσειεν.
Ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
Ἀσβεστον γέλον ὦρσε, παρέπλαγξεν δὲ νόημα.
Οἱ δ' ἤδη γναθμοῖσι γελώων ἀλλοδαποῖσιν·
Αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον· ὄσσε δ' ἄρα σφέων
Δακρυόφιν πίμπλαντο· γόον δ' ὠΐετο θυμός.

Hunc Telemachus prudens contrà locutus est:
" Non per Jovem, Agelaë, & dolores patris mei,
" Qui alicubi longè ab Ithacâ, vel mortuus est, vel errat,
" Nequaquam differo matris nuptias; sed jubeo
" Nubere, cuicunque velit, insuper & multa dona largior.
" Vereor autem nolentem à domo amovere
" Verbo necessario; non hoc Deus perficiat.
Sic dixit Telemachus; procis verò Pallas Minerva
Inextinguibilem risum movit; errareque fecit mentem;
Hi itaque jam maxillis ridebant alienis:
Cruentatas verò carnes comedebant, oculique ipsorum
Lacrymis impleti erant; luctumque præsagiebat animus.

ΣΧΟΛΙΑ.

339. Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα.] *Ἔθος ἦν ἀρχαῖον, πρῶτον ὄμνυναι, εἶτα ἐπάγειν ἃ πρὸς ἰδίας συμφορὰς, ἢ τὰ πατέρων.

341. Διατελῶ.] Κωλύω.

339. Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο.] Ἐπὶ ξένοις γελῶντας, †Αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι· καὶ θεῖον ‡Ὅσσον ἄχεις ἀπηλοίησε, καὶ τοῖς τιτύσκε.

342. Δίδωμι.] Κελεύω.

347. Οἱ δ' ἤδη γναθμοῖσι γελώων ἀλλοδαποῖσιν.] Αἱμοφόρυκτα μεμολυσμένα.

NOTÆ.

339. Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο.] *Eustath.* fol. 739. lin. 6. Ξένοις παρεναῖς γελᾶν, &c. Vid. *Tho. Gataker.* ad *M. Antonin.* l. 1. p. 28. col. 1. lin. 5. *Euripides* Herc. Fur. v. 935. Γέλωτα παραπεπληγμένον vocat. Et Nos de *Hamane*, brevi perituro, *Esther.* v. 1161. Γναθμοῖς ἀλλοτρίοισιν ἐπὶ Φαίδωνα γέλασσεν. Vid. *Duport.* in hunc *Homeri* locum. *Eustathius* quidem contendit γελοίων scribi debere, fol. 739. lin. 17. Τὸ δὲ γελοίων, πλεοναστικῶς ἔχει δὲ ἰδίᾳ, ὡς ἀπὸ δὲ γελόων, ἤγουν, ἐγέλων, γενόμενον· ἔστι γὰρ γελόω ῥῆμα, ὡς ἀρόω, βοάω, καὶ τὰ ποιητικὰ διὸ καὶ γελόωντες ἀρεῖ ἐν τοῖς ἑξῆς. *Ἐπὶ ξείνοις γελόωντες καὶ, †Αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι· καὶ θεῖον ‡Ὅσσον ἄχεις ἀπηλοίησε, καὶ τοῖς τιτύσκε. * v. 374. † φ'. v. 105. ‡ *Iliad.* δ'. v. 521.

342. Δίδωμι.) *Henricus Stephanus*, ex *Romanâ* Editione, cui consentit *Basileensis*, δίδωσι legit, at in *Margine* δίδωμι ponit. Sanè τὸ δίδωσι, si modò *Subjunctivè* sumi posset, melius videtur illud exprimere, quòd modò præcesserat, v. 335. καὶ πλεῖστα πόρησιν. Verùm quùm *Florentina*, omnium Vetustissima, δίδωμι hìc legat, ut & *Aldina*, *Lovaniana Rescii*, *Hervagiana*, quod *Castellio* quoque facit, & *Seberus* agnoscit, & inter *Varias Lectiones* nemo non fateretur, & eorum qui δίδωσι legunt, nemo δίδωσιν scribit, addito ν΄. quod certè fieri debuit, ob sequentis Versûs Initium cum Vocali; præterea quoniam τὸ δίδωμι majorem *Telemachi* alacritatem ostendit, hoc in *Textum* admitto, illud ad *Var. Lect.* rejicio. *Spondanus* quidem, licet aliud faciat, in *Versione* tamen *Sensum* δ δίδωμι retinet, &c.

347. Οἱ δ' ἤδη γναθμοῖσι γελώων ἀλλοτρίοισιν.) Τοῖσι

NOTÆ IN SCHOLIA.

339. Ἔθος ἦν ἀρχαῖον.) Hoc *Scholion* ex *Scholiastâ Apollonii* huc referendum duxi, nempè ad Argonaut. l. 2. v. 257. Ἴστω Λητοῦς γόος, ὅ μοι σάφρων ἐδίδαξε Μαντοσύνας· ἴστω δ' δυσώνυμος ἣ μ' ἔλαχεν κῆρ. *Voces, ἢ τ' πατέρων addo, huic loco convenientes. Talis ille locus, 2 *Samuel.* c. 4. v. 9. ubi *Davides* Rex jurat, *Deus vivit, qui me redemit ex Omnibus Adversis meis.*

VARIÆ LECTIONES.

342. Δίδωμι.) γρ. δίδωσι, vid. Not. in *Textum*.

347. Γελώων) γρ. γελοίων, vid. Not. in *Textum*.

Τοῖσι δ' ἐτὶ μετέειπε Θεοκλύμενος θεοειδής,
Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
Εἰλύαται κεφαλαί τε, πρόσωπά τε, νέρθε τε γοῦνα.
Οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·
Αἵματι δ' ἐρράδαται τοῖχοι, καλαί τε μεσόδμαι.
Εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ,
Ἰεμένων Ἐρεβόσδε κατὰ ζόφον· Ἠέλιος δὲ
Οὐρανῷ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομε ἀχλύς.
Ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
Ἀφραίνῃ ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
Ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
Εἰς ἀγορὴν ἔρχεσθαι· ἐπεὶ τάδε νυκτὶ ἐοίκῃ.
Τόνδ' αὖτε προσέφη Θεοκλύμενος θεοειδής,
Εὐρύμαχ', οὔτι σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν·
Εἰσί μοι ὀφθαλμοί τε, καὶ ἴχνια, καὶ πόδες ἄμφω,

His autem & interlocutus eſt Theoclymenus divinus,
" Ah miſeri, quid malum hoc patimini? caligine quidem veſtra
" Cooperiuntur capitaque, faciesque, infraque genua.
" Ululatus autem increbuit, lacrymiſque-oppletæ-ſunt genæ:
" Sanguine verò madent parietes pulchraque lacunaria,
" Umbris item plenum veſtibulum, plenaque & aula,
" Ruentibus ad Orcum ſub tenebras; Sol quoque
" Ex cœlo periit; ominoſaque ingruit caligo.
Sic dixit: illi utique omnes ſuper eo ſuaviter riſerunt;
His autem Eurymachus, Polybi filius, incepit dicere,
" Deſipit hoſpes nuper alicundè veniens.
" Sed ipſum ſtatim, ô Juvenes, domo emittite foràs
" In forum ire; quoniam hæc nocti aſſimilat.
Hunc rurſus alloquutus eſt Theoclymenus divinus,
" Eurymache, non te poſco mihi comites dare:
" Sunt mihi oculique & aures & pedes ambo,

ΣΧΟΛΙΑ.

352. Εἰλύαται.] Κεκαλυμμένα ἐστίν.
353. Δίδηε.] Διεγήγερται. Δεδάκρυνται.] Δακρύων πεπλήρωνται.
354. Ἐρράδαται.] Περιέρραται.
357. Οὐρανῷ ἐξαπόλωλεν.] Οὐχ ὡς ἐκλείψεως

ΝΟΤÆ.

350. Τοῖσίδε δὲ μετέειπε Θεοκλύμενος) Aliud hoc Omen conſpicuum, & Prædictio minimè ſanis contemnenda; ſed *Quos vult Deus perdere, Dementat prius.* Ὅταν δὲ δαίμων ἀνδρὶ πορσύνῃ κακὰ, Τὸν νῷ βλάπτει πρῶτον, ἢ βουλεύει. Vid. quæ Nos ad *Euripid.* Electr. v. 522. & *Martinii* Lexicon Philolog. v. *Scotomania. Lycurgi* Orat. contra *Leocratem*, & Scholiaſt. ad *Sophocl.* Antigon. v. 635.

351. Νυκτὶ μὲν ὑμέων Εἰλύαται κεφαλαί τε) Hinc explicatur illud *Virgilii*, de *Marcello* brevi-morituro, *Sed Nox atra caput nigrâ circumvolat umbrâ.*

354. Αἵματι δ' ἐρράδαται τοῖχοι) Talia memorat Prodigia *Cæſaris* morti præceſſiſſe *Lucanus*, & *Virgil.* Georgic. l. 4. Ἐρράδαται) Thema ῥάζω, non

NOTÆ IN

354. Περιέρραται) Ità in MS. & Impreſſis; malè *Schrevel.* περιέρανται. Eſt autem *Ionicum*, pro περιῤῥασμένα εἰσίν.
357. Ἐπιλέλοιπεν) Ità pro ἐκλελοίπῃ lego, ex

VARIÆ LECTIONES.

350. Τοῖσι δὲ) γρ. τοῖσίδε.
352. Γοῦνα) γρ. γυῖα, *Plato*, in *Ione*, fol. 539.

SCHOLIA.

γεγλυκημένης, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἐπιλέλοιπεν· ἐξέρχεται γὰρ ἕτερος ἐκ τῆς οἰκίας οἰκονομικῶς. Ἀχλύς.] Ἀσφαλία.
360. Ἀφραίνῃ.] Μωραίνῃ.

γράινω, tum enim ἐρράδαται ſcriberetur, inquit *Euſtath.* fol. 739. lin. 34. Vid. *Etymolog.* M.

355. Εἰδώλων δὲ πλέον πρόθυρον) Et hoc antiquitùs obſervatum, Umbras hominum mox moriturorum viſas eſſe: & conſtantèr hoc affirmatur D. *Agnetis* nocte quotannis fieri.

356. Ἰεμένων Ἐρεβόσδε) Ἴεμαι. ὁρμῶ. πρόθυμος· ὁρμητικὸς πορεύομαι. ὡς Οἰκαδὲ ἰεμένων. Vid. *Etymolog.* M. v. Ἴεντο, & quæ Nos ad *Iliad.* ν'. v. 707. *Ibid.* Ἥλιος δὲ Οὐρανῷ ἐξαπόλωλε) *Euſtath.* fol. 738. lin. 46. Ταῦτα δὲ, ὡς ἀπὸ ἡλίου ἐκλείψεως, & mox, lin. 53. Ἡ δὲ τοῦ ἡλίου ἔκλειψις, ὅταν ἀπίδῃ, εἶτα γλυκαινομένη εἰς νυμφίαν, ἐ γνωσθεῖσαι δὲ ἑτέρους πσὶν, ἢ μόνῳ τῷ φιλοσόφῳ καὶ Θεοκλυμένῳ. Aliud *Br. Schol.*

SCHOLIA.

Euſtathio, fol. 739, lin. 2. Καὶ μήν τινες τὸ, Ἥλιος ἐξαπόλωλεν, εἰς ἔκλειψιν ἐπὶ τοῦ ἐκλιπεῖν· ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἤδη ἐπιλέλοιπεν, ὡς τεθνηξομένοις. Vid. Not. in *Text.* ad v. 356.

paulò melius.
356. Ἥλιος δὲ) γρ. ἡλιός τε, *H. Steph.*

Καὶ

Καὶ νόος ἐν φήθεσι τετυγμένος οὐδὲν ἀεικής·
Τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
Ἐρχόμενον, τό κεν οὔτις ὑπεκφύγοι, οὐδ' ἀλέαιτο
Μνηστήρων, οἳ δῶμα καὶ ἀντιθέου Ὀδυσῆος
Ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε.
Ὣς εἰπὼν, ἐξῆλθε δόμων θοῦ ναυβατάοντος·
Ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
Μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες,
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες·
Ὧδε δέ τις εἴπεσκε νέων ὑβριοφρονεόντων,
Τηλέμαχ', οὔτις σεῖο κακοξεινώτερος ἄλλος·
Οἷον μὰν πινα τῶτον ἔχεις ἐπίμαστον ἀλήτην,
Οἶνόν τε σίτόν τε κεχρημένον· οὐδέ τι ἔργων
Ἔμπαιον, οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.
Ἄλλος δ' αὖτέ τις ὧτος ἀνέστη μαντιδέεσθαι.
Ἀλλ' εἴ μοι πείθοιο, τό κεν πολὺ κέρδιον εἴη·
Τὼς ξείνους ἐν νηῒ πολυκλήϊδι βαλόντες

" Et mens in pectoribus facta nequaquam incongrua.
" His *me moventibus* exeo foras, quoniam intelligo malum vobis
" Imminens, quod non aliquis subterfugiet, neque evitabit
" Procorum, qui in domo divini Ulyssis
" Viros injuriis afficientes injusta operamini.
Sic loquutus, exivit ædibus bene habitatis:
Ivit autem ad Piræum, qui ipsum promptus suscepit.
Proci verò omnes inter se aspicientes,
Telemachum irritabant super illius hospitibus ridentes:
Sic igitur aliquis dixit juvenum superborum,
" Telemache, non te hospitibus infortunatior alius;
" Qualem quidem hunc habes famelicum erronem,
" Vini & panis indigentem, neque operum
" Scientem, neque fortitudinis; sed inutile pondus terræ.
" Alius item aliquis hic incepit divinari:
" Verùm si mihi persuadeberis, quod multò utilius erit;
" Hos hospites in navi multi-jugâ conjectos

ΣΧΟΛΙΑ.

374. Γελόωντες.] Γελωτοποιούμενοι, καταγελῶντες.
376. Κακοξεινότερος.] Κακῶν ξένων ὑποδοχεύς.
377. Ἐπίμαστον.] Ἐπιμαστύονται καὶ ἐπιζητοῦται * τὴν τροφήν· ἢ, τὸν ὑπ παιδὸς, οἷον τὸν ἀπὸ μαστοῦ ἐπαίτην.
379. Ἔμπαιον.] Ἔμπειρον.

NOTÆ.

367. Τοῖς ἔξειμι θύραζε) De malorum consortio tempestivè vitando, vid. *Duporti* Gnomolog. in locum.

372. Ἵκετο δ' ἐς Πείραιον) Huic *Telemachus* dudum, rus ad *Eumæum* abiturus, *Theoclymenum* commendârat, ὁ'. v. 539. Πείραιε Κλυτίδη, κλ.

374. Τηλέμαχον ἐρέθιζον) *Ultima* & Τηλέμαχον producitur, in *Cæsura*, vi *Finalis* Liquidæ, ut sæpè aliàs, & suprà, v. 303. & versu mox sequenti, v. 375.

375. Ὧδε δέ τις εἴπεσκε) De τὶς producto, vid. suprà, ad v. 374.

376. Κακοξεινώτερος) Ex Regulâ esset κακοξεινότερος, verùm quùm fiat à κακόξεινος, rectè primùm κακοξεινώτερος scribitur, tum demùm *Ionicè* mutatur σ'. in ρ'. Ità λαοσσόος, licet prior sit *longa*, quoniam pro λιαροπός, cujus prior *brevis*. Vid. quæ Nos ex *Eustathio*, ad *Iliad.* ε'. v. 445. Ὀϊζυροτέρος. *Dionys.* Perieg. v. 742. — μύλαι γάρ τε κακοξεινώτεροι ἄλλων.

378. Οἶνόν τε σίτόν τε) Malè olim, σίτόν τε οἶνόν, ob *Hiatum* importunum; potiùs itaque legendum Ordine inverso, Veteri tamen *Lectione*, inter *Varias*, reservatâ.

379. Ἔμπαιον) Vox ἔμπαιον *Mediam* hoc in loco corripit, ut *Eustath.* fol. 742. lin. 6. Vid. suprà, ad v. 89. *Ibid.* Ἄχθος ἀρούρης) Ità *Iliad.* σ'. v. 104. — ἐπώσιον ἄχθος ἀρούρης. Hinc *Nicander*, ἄχθια γαίης, & illud *Latinorum*, Telluris inutile pondus.

NOTÆ IN SCHOLIA.

377. * Τὴν τροφὴν &c. Ex *Etymolog.* M. v. Ἐπίμαστον ἀλήτην.

VARIÆ LECTIONES.

370. Ἀτάσθαλα) γρ. ἀεικέα, vid. suprà, v. 170.
378. Οἶνόν τε σίτόν τε) γρ. σίτόν τε οἶνόν, vid. Not. in *Textum*.
381. Ἀλλ' εἴ μοι πίθοιο) γρ. ἀλλ' εἴ μοι τί πίθοιο, & ἀλλ' εἴ δή τι πίθοιο, *Eustath. H. Steph. Sebast.*

Ἐς

Ἐς Σικελὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι.
Ὡς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων·
Ἀλλ' ἀκέων πατέρα προσεδέρκετο, δέγμενος αἰεί,
Ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσῃ.
Ἡ δὲ καθ' ἑστίην δεμνὴν πολυκαλλέα δίφρον
Κύδρη Ἰκαρίοιο πολύφρων Πηνελόπεια,
Ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουε.
Δεῖπνον μὲν γὰρ τοί γε γελοίωντες τετύκοντο,
Ἡδύ τε καὶ μενοεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν·
Δόρπου δ' οὐκ ἂν πως ἀχαρίστερον ἄλλο γένοιτο,
Οἷον δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
Θησέμεναι· πρότεροι γὰρ ἀείκεα μηχανόωντο.

" Ad Siculos mittamus, unde utique tibi promeritum inveniatur.
Sic dixerunt proci: hic verò non curavit verba;
Sed tacitè patrem aspiciebat, expectans semper,
Quando jam procis impudentibus manus immittat.
Ast è regione positâ perpulchrâ sede
Filia Icarii prudens Penelope,
Virorum in domibus uniuscujusque sermonem audivit:
Cœnam enim quidem illi ridentes parabant,
Suaviterque & placidè, quandoquidem valdè multa mactârant.
Cœnâ verò nunquam injucundius aliud fieret,
Quàm qualem jam nunc parabat Dea & fortis Vir
Ponere: priores enim *Proci* indigna patraverant.

ΣΧΟΛΙΑ.

383. Ἐς Σικελούς.] Ἐπιτάσσει ἄρα τὰ καθ' τοὺς Σικελούς· οὐκ εἰκὸς ἦν ἐκεῖ τὸν πλοῦν γεγονέναι. Διαφέρεται δὲ Σικελιῶται Σικελῶν· οἱ μὲν δὴ, Ἕλληνες· οἱ δὲ, βάρβαροι.

385. Προσεδέρκετο.] Προσέβλεπε.

387. Καθέντησιν.] Ἀνδρὸς δὲ ἀνδρῶν, ἐν τῇ γυναικωνίτιδι.

391. Μενοεικές.] Δαψιλὲς, πολύ.

392. Ἀχαρίστερον.] Ἀηδέστερον.

NOTÆ.

383. Ὅθεν κέ τοι ἄξιον ἄλφοι) Loquitur in *Plurali*, de Hospitibus; quare necesse est, ut τὸ ἄξιον sit Casus *Rectus*, & ἄλφοι *Passivè* capiatur.

390. Γελοίωντες) *Eustath.* fol. 741. lin. 35. Τὸ δὲ γελοίωντες τετύκοντο, βέλτιον ἦτω γράφειν· εἰ δὲ τε γράφοι γελώωντες, ἀφ' οὗ δύο μεγάλων ω, γοητέον, τὸν οἱ δίφθογγον δ' γελοίωντες τραπῆναι εἰς ω, ὁμοίως τῷ, μέγκώνη, ἐ τοῖς ὁμοίοις. Ità certè suprà, ad v. 347. γελώων scribitur.

NOTÆ IN SCHOLIA.

383. Εἰς Σικελὺς) Ad horum *Scholiorum* illustrationem confert *Stephanus* περὶ πόλεων, v. Σικελία. *Eustath.* ad *Iliad.* fol. 213. lin. 1. & ad hunc locum, *Odyss.* fol. 741. lin. 10.

VARIÆ LECTIONES.

387. Καθέντησιν) γρ. καθ' ἅντησιν. *Etymolog.* M. v. Ἅντησιν.

390. Γελοίωντες) γρ. γελόωντες, & γελώωντες, vid. Not. in *Textum*.

ΤΗΣ

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Φ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Φ'.

Πηνελόπη τῷ πίνοντι τὸ τόξον ὁμολογεῖ τὴν αὐτῆς χάριν. Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐπιτελεῖται μὲν τὴν θυρῶν ἀσφαλείας, αὐτὸς ἀφίησι τὸ βέλος διὰ τῶν πελέκεων, ἄλλα πίνακα τὸν τόξου μὴ δυνηθέντος.

Ἐπιγραφή.

* Τόξευσις.

* Vid. Not. ad v. 3.

Ἄλλως.

Φῖ δὲ βιὸν ἀεθλῆσιν ἄεθλον Πηνελόπεια. LIB. XXI.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
Κούρῃ Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ
Τόξον μνηστῆρσι θέμεν, πολιόν τε σίδηρον,
Ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια, καὶ φόνου ἀρχήν.
Κλίμακα δ' ὑψηλὴν προσεβήσατο οἷο δόμοιο·
Εἵλετο δὲ κληῖδ' εὐκαμπέα χερσὶ παχείῃ
Καλήν, χρυσείην· κώπη δ' ἐλέφαντος ἐτύγχανε·

IPſi etenim in mentibus poſuit Dea cæſia Minerva
Filiæ Icarii prudenti Penelopæ,
Arcum procis ponere, canumque ferrum,
In domibus Ulyſſis, certamina, & cædis principium.
Scalam igitur altam aſcendit ſui cubiculi:
Accepitque clavem benè-flexam manu ſuccidâ
Pulchram, auream; manubrium autem eboris inerat.

ΣΧΟΛΙΑ.

1. Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε.] Τὸ δὲ, ἀντὶ τοῦ, χάρ· πῆξαι δὲ τὸ τόξον, ἵνα ἐὰν μὲ πλείους ἐντείνωσι, σπασάσωσιν· ἐὰν δὲ μνηστῖς, ἀναξίοι τῆς μνηστείας φανῶσιν.

5. Κλίμακα δ' ὑψηλήν.] Τὴν * ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀποθήκην *φέρουσαν· ἵνα τὴν κλεῖν λάβῃ.

7. Κώπη δ' ἐλέφαντος ἔπηεν.] Ἡ λαβὴ δὲ ξίφους, ἢ κόπλειν δυναμένη· παρὰ τὸ κοπῆναι, ἀνακόσμημα, ἢ τροπῆς, κώπη· ἢ ἡ τῶν ἐρετῶν κώπη λέγεται, παρὰ τὸ κόπλειν ὕδωρ.

NOTÆ.

V. 1. Τῇδ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ) Ità rectè *Florentina*, *Aldina*, *Lovaniana Reſcii*, *Hervagiana*, &c. verùm cùm caſu, in *Henrici Stephani* Editione, θεὰ ante θῆκε locum habuerit, qui illum Cæci ſequuntur, etiam hunc errorem ſunt amplexi, ut *Caſtellio*, & *Schrevelius*: *Spondanus* quidem noluit tam inſubido Exemplo manus dare; ut nec *Oxonienſis*. Præpoſteram locutionem *Iſaac. Caſaubon.* in ſuo Co-

7. Κώπη δ' ἐλέφαντος ἔπηεν.] *Euſtath.* fol. 743. lin. 3.

NOTÆ IN SCHOLIA.

V. 5. * Ἐκ τῆς) Ità ex *Aloyſii* MSto, pro corrupto, αὐτῆς· * φέρουσαν addo, ad *Senſum* ſupplendum.

VARIÆ LECTIONES.

V. 7. Χρυσείην) γρ. χαλκείην, vid. Not. in *Textum*.

Βῆ δ' ἴμεν᾽ ἐς θάλαμόνδε, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Ἔγχεα· ἐν θάδε οἱ κειμήλια κεῖτο ἄνακτος,
Χαλκός τε, χρυσός τε, πολύκμητός τε σίδηρος.
Ἔνθάδε τόξον ἔκειτο παλίντονον, ἠδὲ φαρέτρη
Ἰοδόκος, πολλοὶ δ' ἔνεσαν γοόεντες ὀϊστοί·
Δῶρα, τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας,
Ἶφιτος Εὐρυτίδης, ὀπιείκελος ἀθανάτοισι.
Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,
Οἴκῳ ἐν Ὀρσιλόχοιο δαϊφρονος· ἦτοι Ὀδυσσεὺς
Ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε·
Μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
Νηυσὶ πολυκλήϊσι τριηκόσι᾽, ἠδὲ νομῆας.
Τῶν ἕνεκ᾽ ἐξεσίλω πολλὸν ὁδὸν ἦλθεν Ὀδυσσεὺς,
Παιδὸς ἐών· πρὸ γὰρ ἦκε πατὴρ, ἄλλοι τὲ γέροντες.
Ἶφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο,
Δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί·

Perrexit verò Ire ad thalamum cum ancillis mulieribus
Interiorem; illic nempè ei thesauri jacebant regis,
Æsque, aurumque, elaboratumque ferrum.
Ibi arcus jacebat reflexus, & pharetra
Sagittifera; multæque inerant suspiriosæ sagittæ:
Dona, quæ ei hospes Lacedæmoni dedit obvius factus,
Iphitus Eurytides, similis immortalibus.
Hi etenim in Messenâ convenerant ad invicem,
Domo in Orsilochi bellicosi: siquidem Ulysses
Ivit ad debitum, quod ei omnis populus debebat:
Oves enim ex Ithacâ Messenii viri extulerant
Navibus multijugis trecentas, & pastores.
Horum gratiâ ad legationem multam viam venit Ulysses,
Adolescens cùm-esset; præmisit enim pater, aliique senes.
Iphitus rursus equas quærens, quæ ei perditæ erant,
Duodecim fœminæ, & sub illis mulæ patientes operum:

ΣΧΟΛΙΑ.

9. Ἔγχεα.] Νῦν, τὸ ἐνδέπαθον.
10. Πολύκμητος.] Ὑφ' ὧν πολλὰ κάμνουσιν.
11. Ἔνθαδὲ τόξον ἔκειτο.] Περιττολογῶν, ὅτι ἐν τῷ ἀνδρῶνι· ἵνα μὴ τὸ ἦ κατὰ τὴν ὠδὴν ῥαγῇ.
13. Λακεδαίμονι.] Νῦν, ἐν τῇ χώρᾳ. Τυχήσας.] Σωτυχών.
14. Ἐπιείκελος.] Ὁμοῖος.
15. Μεσσήνῃ.] Τῇ Μεσσηνιακῇ χώρᾳ, ἥτις ἦν μέρος τῆς Λακεδαίμονος, ὡς τῆς Ἡρακλειδῶν καθόδου.
16. Οἴκῳ ἐν Ὀρσιλόχοιο.] Ἐν Φεραῖς.
17. Μετὰ χρεῖος.] Διὰ ὄφλημα.
18. Ἄειραν.] Νῦν, ἥρπασαν.
20. Ἐξεσίλω.] Δημοσίαν ἔκπεμψιν.
21. Παιδὸς.] Παῖς νέος.
23. Δώδεκα θήλειαι.] Ἶφιτος, Εὐρύτου μὲν παῖς, Οἰχαλιεὺς δὲ τὸ γένος, ἀπολωλότων αὐτῷ τῶν ἵππων, Χαλκείῳ δὲ, ὃ τῶν σὺν σιδήρῳ, καὶ τὸ, χάλκεα ὅπλα· ἀλλὰ τῷ αὐτόχρημα χαλκῷ· διὸ καὶ καλῷ αὐτῷ ἔφη· ὃ καὶ μᾶλλον ἐπεκαλοῦντο γεγραφῷ ἑτέρῳ, τῷ ἐν ποσὶν Ἀνδρομάχης. ἦγον τὸ, Καλῷ, Χρυσέῳ· χρυσῷ γὰρ μᾶλιστα οἰκεῖον τὸ καλόν. Et *Aurum* aptius *Ebori* jungitur; quare χρυσείῳ omninò legendum; licet oppidò plura Exemplaria χαλκείῳ præferant.
9. Ἔγχεα) *Eustath.* fol. 743. lin. 42. Ὅτι θάλαμος ἐγχέων καὶ σύνταξις, τὸ παροιμιῶδες· ὃ καὶ βασιλικόν ἐστι, λέγει τὰ βασιλέα Ὀδυσσέα· ἐν ᾧ, φησι, κειμήλια κεῖτο ἄνακτος.
16. Ὀρσιλόχοιο) Genuinum Nomen est Ὀρσίλοχος, ut probatur ex Historiis & emendatioribus *Homeri* locis; quarè Ὀρπλόχοιο, quod hìc hactenùs obtinuerat, ad *Var. Lect.* removeo.

NOTÆ IN SCHOLIA.

15. *Brevia Scholia* explicat & confirmat suo suffragio *Pausanias*, Περὶ δὲ τὰ μάχης, ἣν Θηβαῖοι πρὸς Λακεδαιμονίους ἐν Λεύκτροις ἐμαχέσαντο, πόλιν ἐδείμαν πρὸ κλεθρίνας πρότερον δεκατῇ Μεσσήνης· εἰκάζω δ' ἔγωγε ἐκ τῶν ἐπῶν τῶν Ὁμήρου τοῖς ἔπεσιν· ἐν μὲν γὰρ Καλλόγῃ τῇ εἰς Ἴλιον ἀφικομένῃ, Πύλον, καὶ Ἀρήνην, καὶ ἄλλας καλέσαν, ἐδείμαν πόλιν Μεσσήνην ἐκάλεσεν. Tum laudat, *Iliad. β'.* v. 599. &c. Quod & magis ait apparere, ex hoc loco, Τὼ δ' ἐν Μεσσήνῃ — Οἴκῳ ἐν Ὀρσιλόχοιο. Hujus enim Domum non in *Messenâ* aliquâ urbe, sed *Pheris* fuisse, ipse Poeta aliàs dicit, Ἐς Φηρὰς δ' ἵκανε, Διοκλῆος μέγα δῶμα, Υἱὸς Ὀρσιλόχοιο. Confer *Strabon.* l. 8. fol. 367.
23. * Πεζεύει lego, ex MS. *Aloysiano*, pro πεζῇ.

VARIÆ LECTIONES.

9. Ἐνθαδὲ) γρ. ἔνθα δέ.
11. Ἐνθαδὲ) γρ. ἔνθα δέ.
16. Ὀρσιλόχοιο) χρ. Ὀρπλόχοιο, vid. N. in *Textum*.
17. Ὄφελλε) χρ. ὄφλει. *Eustath.* fol. 747. lin. 24. & *H. Steph.*

Αἰ δή οἱ καὶ ἔπειτα Φόνος καὶ μοῖρα γένοντο·
Ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον
Φῶθ' Ἡρακλῆα, μεγάλων ἐπίστορα ἔργων,
Ὃς μιν ξεῖνον ἐόντα κατέκτανεν ὤ οἱ ἰῷ·
Σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τραπέζαν,
Τὴν δή οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν·
Ἵππους δ' αὐτὸς ἔχε κραιπνοὺς ἐν μεγάροισι.
Τὰς ἐρέων Ὀδυσῆϊ συναντόμενος· δῶκε δὲ τόξον,
Τὸ πρὶν μὲν ῥ' ἐφόρεσε μέγας Εὔρυτος, αὐτὰρ ὁ παῖδι
Κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσιν.
Τῷδ' Ὀδυσεὺς ξίφος ὀξὺ, καὶ ἄλκιμον ἔγχος ἔδωκεν,
Ἀρχὴν ξεινοσύνης πρόσκηθεν· οὐδὲ τραπέζῃ
Γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
Ἶφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν.

Quæ jam ei & posteà cædes & pœna factæ sunt:
Postquam ad Jovis filium pervenit magnanimum
Virum Herculem, magnorum sectatorem operum,
Qui ipsum, hospes cùm esset, interfecit suis in ædibus:
Miser, neque deorum timorem reveritus est, neque mensam,
Quam dudum ei apposuerat; posteaque occidit & ipsum:
Equas tamen ipse habuit fortes-inguibus in ædibus,
Has quærens Ulyssi obvius-fuit, & ditque arcum,
Quem antea quidem portabat magnus Eurytus, at hic filio
Reliquit moriens in ædibus altis.
Huic Ulysses ensem acutum, & validam lanceam dedit,
Principium hospitalitatis dolorosæ; neque in mensâ
Cogniti sunt inter se: antè enim Jovis filium interfecit
Iphitum Eurytidem, similem immortalibus;

ΣΧΟΛΙΑ.

* Ἀξιοῦσι τὰς πέντε ἐρυθρὰς πόλεις, εἶπεν φανεῖσαν. Πολυΐδου δὲ μάντεως εἰπόντος αὐτῷ, μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, ἣ γὰρ εἶναι συμφέρον, λέγει παρακύσασα παραχρῆμα. Τὸν δὲ Ἡρακλέα μηχανῇ τινι καὶ φαρμακίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ἐπίκρημνον πίτυν, καὶ καθαρίψαι. Ἀφ' οὗ τὸ σπᾶν αὐτὸν ἔχειν ἐγκλήματα, καὶ τὸν πατέρα, ὅτι πλουτήσαντι αὐτῷ τὸν ἆθλον, τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκεν, ἀλλ' ἀπημάκυνεν ἀπέπεμψεν· λέγεται δὲ, ὡς ἀγανακτήσας ὁ Ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ, συνέπαξεν Ἑρμῇ λαβόντα

Hæc ei & Dii Erythræ urbes, ait apparens. Polyidi autem vatis dicentis ipsi, ne proficisceretur in Tirynthum quærendi causâ, quæ sibi esset profutura, ille persuadens statim Herculem quodammodo veneficio quodam secum abducere ad præruptum pinum, & dejicere. Ab eo tempore illum habere crimina; & patrem, quòd divite ipso præmium, Ioleni nuptias non dederit, sed procul amandârit dimiserit: dicitur autem, quòd indignatus Jupiter de cæde hospitis, conjunxerit Mercurio sumptum

ΝΟΤΑ.

25. Ἐπειδὴ Διὸς υἱὸν) Versus σχολιός, sive ἀκίφαλος, de quâ re diximus ad θ'. v. 452. & ω'. v. 423.

28. Σχέτλιος· οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τραπέζαν) Quod diximus de *Hesiodo*, Carmina sibi *Homerica* vindicanti, ad τ'. v. 360. nunc id ex hoc loco evincam. Perpende itaque hunc locum & historiam, ubi *Hercules Iphitum*, suum hospitem, contra fas jusque Hospitii, Deique Hospitalis Reverentiam, occidisse dicitur; quòd intelligeret ad illum pertinere *Equos*, quos illi quidem furto surreptos ab *Autolyco*, & temerè ab *Hercule* emptos, Vir summus adeò illibentèr redditurus erat; ut nè hoc faceret, Amicum potiùs trucidaret. Jam *Hesiodus*, de quibusvis Injustis hominibus, Σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες, οὐδὲ τραπέζαν, ubi malè εἰδότες σωκεδότες ἦδ ποιεῦσιν οἱ κακοὶ ἀνοσίως. Τῷ δὴ θεῶν ὄπιν οὐδασι πάντες, ἀλλ' οὐκ αἰδέονται. Quare ὅτι οὐκ εἰδότες minuit vim peccati, nec assequitur τὸ ὄπιν αἰδόμενοι. Et sic de cæteris *Hesiodi* compilationibus ex *Homero* judicandum.

30. Ἵππους δ' αὐτὸς ἔχε) *Eustath.* fol. 745. lin. 44. Τὰς δὲ ῥηθείσας ἵππους εἶχεν Ἡρακλῆς, ἐξ αὐτὸς ἢ λῃσάμενος, ἢ ὑφελόμενος, ἀλλ' ἐτέρωθεν κλίμακα λαβών· Αὐτόλυκος γάρ, φησιν, ὁ Ἑρμοῦ, κλέψας τὰς Εὐρύτου ἵππους, πέπρακε τῷ Ἡρακλεῖ. Vid. suprà, ad. v. 28.

36. Ἀλλήλων) *Eustath.* fol. 747. lin. 6. Τὸ δὲ γνώτην ἀλλήλων, κατὰ τὸ Ἀριστοφάνειον ἀκριβέστερον, καὶ πλέον χρωμένῳ τῷ Πληονασμῷ γράφουσιν Ἀλλήλων.

ΣCHOLIA.

35. * Ποιεύμενα ξενίας) Ità pro ποιεύμενα ξενίας, ex *Aloysiano* MSto. Verùm ξίφος, ἔγχος, τόξον, per Appositionem, referuntur ad τὸ, ποιούμενα.

VARIÆ LECTIONES.

29. Τῷ δή οἱ) γρ. τῷ, ἦν οἱ, *H. Steph.*

32. Παιδὶ) γρ. παιδός. *H. Steph.*

Malè hoc *Scholion* locatur in MSto & Vett. tribus Impressis, ad v. 395. De hujus *Scholii* materiâ, *Apollodor.* Bibliothec. l. 2. c. 6. p. 123. &c.

36. Ἀλλήλων) γρ. ἀλλήλω, vid. Not. in *Textum.*

Ὡς

Ὅς οἱ τόξον ἔδωκε· τὸ δ' οὔποτε δῖος Ὀδυσσεὺς,
Ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν
Ἧιρειτ'· ἀλλ' αὐτῷ μνῆμα ξείνοιο Φίλοιο
Κέσκεθ' ἐνὶ μεγάροισι· φόρει δέ μιν ἦος ἐπὶ γαίης.
Ἦδ' ὅτε δὴ θάλαμον τ' ἀφίκετο δῖα γυναικῶν,
Οὐδόν τε δρύϊνον περιστείχησατο, τόν ποτε τέκτων
Ξέσσεν ἐπιστάμενος, καὶ ἐπὶ στάθμην ἴθυνεν,
Ἐν δ' ἄρα σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς·
Αὐτίκ' ἄρ' *ἦγε ἰμάντα θοῶς ἀπέλυσε κορώνης,
Ἐν δ' κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας,
Ἄντα πτυσσομένη· τὰ δ' ἀνέβραχεν, ἠΰτε ταῦρος
Βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα
Πληγέντα κληῖδι, πετάσθησαν δέ οἱ ὦκα.
Ἦδ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ, σὺν δὲ κηλοὶ
Ἕσσαν· ἐν δ' ἄρα τῇσι θυώδεα εἵματα κεῖτο.
Ἔνθεν ὀρεξαμένη, ἀπὸ πασσάλου αἴνυτο τόξον
Αὐτῷ γωρυτῷ, ὅς οἱ πρόσκειτο φαεινός.
Ἐζομένη δ' καθ' αὐτοῦ, φίλοις ἐπὶ γούνασι θεῖσα,
Κλαῖε μάλα λιγέως· ἐκ δ' ἧκεε τόξον ἄνακτος.

Qui ei arcum dedit; hunc tamen nunquam divinus Ulysses,
Proficiscens ad bellum nigris in navibus
Portavit; sed ibi monimentum hospitis dilecti
Jacebat in ædibus; portabat tamen illum suâ in terrâ.
Hæc quando jam ad thalamum hunc pervenit divina mulierum,
Limenque quernum accessit, quod quondam faber
Polivit scienter, & ad perpendiculum direxit;
Ibidem postes aptavit, januasque addidit splendidas:
Statim hæc lorum velociter solvit annuli,
Clavemque immisit, januarumque pepulit seras,
Coram collimans: hæ autem resonuerunt, velut taurus
Pascens *in* prato; tantum sonuerunt pulchræ portæ
Percussæ clavi, apertæque sunt ei cito.
Hæc igitur in alta tabulata ivit, ubi capsæ
Stabant; inque his odoriferæ vestes jacebant.
Illinc extensa à clavo accepit arcum
Cum coryto, qui eum operiebat nitidus.
Sedensque ibidem, dilectis in genibus ponens,
Flebat valdè stridulè; & extraxit arcum regis.

ΣΧΟΛΙΑ.

38. Ὅς οἱ τόξον ἔδωκε.] Τελεῖον εἴρηκε τὸν δόσιν, ἀπὸ μέσου τινὰ παραδηλῶν.

40. Ἧιρειτ'.] Ἐλάμβανεν.

41. *Κέσκετ'.] Ἔκειτο.

46. Ἀπέλυσε κορώνης.] Τὸ κλεῖθρον ἐκφωνήσειν ἐξηπλῶ ὡς κέλκον, ὥστε δι' ἧς διελκομένης εἰς τὸν ναὸν πόρον ἀνοίγεσθαι. *Κορώνης.] Κέλκου, κόρακος.

47. Ἀνέκοπτεν.] Ἀνέκρουεν, ἀνέῳγε. Ὀχῆας.] Νῦν, τοὺς λεγομένους βαλάνους, τοὺς ἐν τῷ λεγομένῳ *χελωνίῳ καθ' ἁψῖδος τὰ κλειθρα, ἃς ἀφελόντες καὶ ἀνοίγουσι.

54. Γωρυτῷ.] Τῇ θήκῃ τόξου.

* Vid. suprà, ad ξ'. v. 251.

NOTÆ.

38. Ὅς οἱ) Prior Syllaba longa vi *Toni*, & *Finalis*, & *Aspiri* sequentis; ut mox, v. 54. Vid. ad *Varias Lectiones*.

46. Αὐτίκ' ἄρ' *ἦγε ἰμάντα) Cùm Prior Ε ἰμάντα corripiatur, omninò ἦγ' scribendum vidi; quare ἦγ' ad *Var. Lect.* relego, ut Error *Priorum* Edd. agnoscatur. Κορώνης) Ità, pro *κορώνῃ*, scribo, ex *Florentinâ*, *Romanâ*, & *Basileensi Eustathii*, *Aldinâ*, *Lovaniânâ Rescii*, *Hervagianâ*, &c. quare non bene *Henricus Stephanus*, è *Textu*, in *Marginem* removit: Κορώνη γὰρ, κέλκος ἦν κλεῖθρου, ὃν ἰμάντι συσκαλύπτειν εἰώθασιν· οἱ δὲ λύσοντες, σχοῦντα τὸν ἱμάντα αὐτῆς ἀπέλυσαν· εἶτα κλεῖν εἰς τὸ κρίκῳ ἔβαλον· καὶ ἔτως ὀχῆας ἀνέκοπτεν. Vid. *Eustath.* fol. 747. lin. 23.

54. Ὅς οἱ) Vid. suprà, ad v. 38.

NOTÆ IN SCHOLIA.

46. * Κορώνης) Quæ malè priùs aderant, deleo, nec MS. agnoscit, nec Codices Vett. Impressi. viz. Κερώνης) Ἔνιοι, Κορ. Duas enim priores Voces

VARIÆ LECTIONES.

38 Ὅς οἱ) γρ. ὅς ῥ' οἱ, ut infrà, v. 54.

41 Κέσκετ' ἐνὶ μεγάροισι) γρ. κέσκεθ' ἐν μεγάροισι.

46. Ἦγε ἰμάντα) γρ. ἦγ' ἰμάντα, malè in Prioribus, vid. Not. in *Textum*. *Ibid.* Κορώνης) γρ. *κορώνῃ*, utramque Lectionem *Eustathius* agnoscit, fol. 747. lin. 21. & 28.

54. Ὅς οἱ) γρ. ὅς ῥ' οἱ, ut suprà, v. 38.

55. Καθ' αὐτοῦ, γρ. καθ' αὐτῷ, *H. Steph.* vid. infrà, v. 90.

Ἦ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Βῆ ῥ' ἴμεν' ἐς μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυούς,
Τόξον ἔχων' ὀν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
Ἰοδόκον· πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί.
Τῇδ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον· ἔνθα σίδηρος
Κεῖτο πολὺς καὶ χαλκός, ἀέθλια τοῖο ἄνακτος.
Ἦ δ', ὅτε δὴ μνηστῆρας ἀφίκελο δῖα γυναικῶν,
Στῆ ῥα θοὸν παρὰ καθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη·
Αὐτίκα δ' μνηστῆρσι μετηύδα, καὶ φάτο μῦθον,
Κέκλυτέ μευ, μνηστῆρες ἀγλαΐορες, οἱ τόδε δῶμα
Ἔχεθ' ἑαθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεί,
Ἀνδρὸς ἀποιχομένοιο πολλὺ χρόνον· οὐδέ πῃ ἄλλην
Μύθῳ ποιήσασθ' ἐπιχεσίην ἐθέλοντε,
Ἀλλ' ἐμὲ ἱέμεναι γῆμαι, θέαν τε γυναῖκα.
Ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον·
Θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·

Hæc igitur postquam satiata est lacrymoso luctu,
Perrexit ire in domum ad procos superbos,
Arcum tenens in manu reflexum, & pharetram
Sagittiferam; multæ verò inerant suspiriosæ sagittæ:
Simulque cum eâ ancillæ portabant arcam; ubi ferrum
Jacebat multum & æs, certamina regis.
Hæc igitur, quando jam ad procos pervenit præstans mulierum,
Stetit apud limen domûs bene fabricatæ,
Ante genas tenens tenuia velamina;
Ancilla etiam ei utrinque assitit:
Statim autem procis loquuta est, & dixit verbum,
" Audite, proci superbi, qui hanc domum
" Usurpâstis ad comedendum & bibendum assiduè semper,
" Viro absente multo tempore; neque aliquem alium
" Rei *hujus* facere finem *nec prætextum* potestis;
" Nisi me cupientes ducere & facere uxorem.
" Verùm agite, proci, quoniam hoc apparet certamen;
" Ponam enim magnum arcum Ulyssis divini;

ΣΧΟΛΙΑ.

61. Ὄγκιον.] Ἔστι μὲν τὸ ἄπαξ εἰρημένον ἡ λίξις. σημαίνει δὲ ἀγκύλιον *κισσοειδὲς, ἐν ᾧ ἀπίκεινθο οἱ ὄγκοι. ὄγκοι δὲ εἰσὶν οἱ πώγωνες τῶν ἀκίδων. Ἓ ἐν ἄλλοις, † Ὡς δ' ὅτε νεμρόν τι κὴ ὄγκιον ἐντὸς ἐόντας. σωτικῶν δὲ τὸ ὄγκιον ἀγκύλιον· ὡς χρεῖον, τὸ χρεοδόκον· ἀγκύλιον. ὄγκιον δὲ ἡ θήκη τῶν ἀκίδων. εἴρηται δὲ παρὰ τὸ ὀγκώδες εἶναι.

62. Τοῖο.] Τοῦ ἰδίου. † *Iliad.* Δ'. v. 151.

69. Ἐχεάετ'.] Ἐβιάσασθε, ἐβαρήσατε.

71. Μύθῳ.] Νῦν, τῷ σώσεως, ὀφθῆναι κὴ *Ἀνακρέοντος τὸν ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας σωσασθαι φησιν, Μυθηταὶ δ' *σὶ νήσῳ μισγέσθω διέπουσι ἱερὸν ἄεσμα· ἀντὶ δὲ, σωσιασταὶ, μυθηταί. Ἐπιχεσίῃ.] Νῦν, σημαίνει σοφασιν· *ἐπιμονῆς γὰρ χρεία τῷ σοφασιζομένῳ εἰς τὸ ψεύδεσθαι κὴ τὸ μὴ ἀληθεύειν· κὴ Ἀλκαῖος, Οὐδέ πω *μυναμένῳ ἄλλο τὸ νόημα· ἀντὶ δὲ, σοφασιζομένης, ἀλλαχοῦ ἀπατέσπων τὸ ἑαυτοῦ νόημα.

Πτωχῷ λυγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι,
Σκηπτόμενον· τὰ δ' ἦν λυγρὰ περὶ χροΐ εἵματα ἕστο.
Οὐδέ τις ἡμείων δυνάτο γνῶναι τ' εόντα,
Ἐξαπίνης φανέντ', οὐδ' οἱ μετόπισθε γενέσθαι.
Ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίπτομεν, ἠδὲ βολῇσιν.
Αὐτὰρ ὁ τέως μὲν ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσι
Βαλλόμενος καὶ ἐνιπτόμενος, τετληότι θυμῷ·
Ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος Αἰγιόχοιο,
Σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε' ἀείρας,
Ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσεν ὀχῆας·
Αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγε
Τόξον μνηστῆρσι τιθεῖν πολιόν τε σίδηρον,
Ἡμῖν αἰνομόροισιν ἀέθλια, καὶ φόνου ἀρχήν.
Οὐδέ τις ἡμείων δυνάτο κρατεροῖο βιοῖο
Νευρὴν ἐντανύσαι, πολλὸν δ' ὀπίσω ἐρύσσεν·
Ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
Ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσι,
Τόξον μὴ δόμεναι, μήδ' εἰ μάλα πολλ' ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἷος ἐποτρύνων ἐκέλευσεν·
Αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας, δῖος Ὀδυσσεύς,
Ῥηϊδίως δ' ἐτάνυσε βίῃ, διὰ δ' ἧκε σίδηρον.
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς,
Δεινὸν παπταίνων· βάλε δ' Ἀντίνοον βασιλῆα.
Αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα,

"Posterior, at Telemachus ante præcessit.
"Hunc verò subulcus duxit, mala corpore vestimenta habentem,
"Pauperi miserando similem & seni,
"*Baculo* incumbentem; malasque circum corpus vestes indutus erat.
"Neque aliquis nostrûm potuit cognoscere illum ipsum esse,
"Qui repentè apparuit, neque ii quidem, qui majores natu erant:
"Sed verbis malis *illum* incessimus & verberibus.
"At hic quidem tantisper toleravit, in ædibus suis
"Percussus, & injuriâ affectus, patiente animo:
"Verùm quando jam ipsum suscitavit Jovis mens Ægiochi,
"Unà cum Telemacho perpulchra arma sublata
"In thalamum deposuit, & clausit seras.
"At hic suam uxorem multis astutiis jussit
"Arcum procis ponere, nitidumque ferrum.
"Nobis graviter morituris certamina & cædis principium.
"Neque aliquis nostrûm potuit rigidi arcûs
"Nervum intendere, valdè enim impares fuimus:
"Sed quando ad manus pervenit Ulyssis magnus arcus,
"Tunc nos quidem omnes minabamur verbis,
"Arcum ut nè daret, etiamsi valdè multùm diceret *Telemachus*:
"Telemachus verò eum, *i. e. subulcum*, solus confirmans jussit:
"Et proindè suscepit manu, perpatiens divus Ulysses,
"Facileque tetendit arcum, misitque per ferrum.
"Stetit igitur super limen iens, velocesque effudit sagittas,
"Acriter collimans, percussit verò Antinoum regem.
"At postea aliis immisit tela suspiriosa,

ΣΧΟΛΙΑ.

160. Ἐνίπτομεν.] Ἐπιπλήττομεν. Βολῇσιν.] Βλάσφημ. βολαῖς.
161. Τέως.] Τηλικοῦτος. Ἐτόλμα.] Ἐκαρτέρει.
165. Ἐκλήϊσεν.] Ἔκλεισεν. *ἀσφαλίσας. Ὀχῆας.] Μοχλούς.
172. Ὁμοκλέομεν.] Ἀπειλοῦμεν.
173. Ἀγορεύοι.] Λέγοι.
179. Βίλεα.] Βέλη.

NOTÆ.

166. Αὐτὰρ ὁ ἣν ἄλοχον) Male hoc Mendacium vocat *Eustathius*; licet enim non esset Verum, veri-simile tamen visum est, ità *Procos* existimare; quando audirent *Ulyssem* se palàm agnoscentem. Vid. ad v. 152.

NOTÆ IN SCHOLIA.

165. *Ἀσφαλίσας) Ità emendo, pro ἠσφαλίσας, nec enim ἠσφάλισεν, æquè benè.

VARIÆ LECTIONES.

160. Ἐνίπτομεν) γρ. ἐνίστομεν, *Eustathius*, fol. 1646. lin. 33. ità MS. *Aloysii*, *Aldina*, *Hervagiana* in Margine, ut etiam in *Textu*, mox, v. 162. Ἐνιστόμεν.

Ἄντα πλυσκόμενος· τοὶ δ' ἀλλοθεν ἐπιπλον.
Γνωτὸν δ' ἦν, ὅ ῥά τίς σφι Θεῶν ὀπιτάρροθος ἦεν·
Αὐτίκα γὰρ κατὰ δώματ' ἐπισπόμενοι μενέϊ σφῷ
Κτεῖνον ἐπιτροφάδην· τοῖς δ' ὄρνυτ' ἀεικὴς,
Κρατῶν τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θθεν.
Ὡς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ'· ὧν ἔτι καὶ νῦν
Σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
Οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώματα ἑκάστου,
Οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων,
Κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
Τόνδ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο,
Ὄλβιε, Λαέρταο πάϊς, πολυμήχαν' Ὀδυσσεῦ,

" Contrà dirigens; hi verò alius-poſt alium confertim cadebant.
" Manifeſtum autem erat, quòd aliquis ipſis Deorum adjutor eſſet:
" Statim enim in ædibus indulgentes ſuo robori
" Interficiebant circumquaque: horum verò gemitus oriebatur indecens,
" Capitibus percuſſis, pavimentumque omne ſanguine fluebat.
" Sic nos, ô Agamemnon, perditi fuimus; quorum adhuc nunc
" Corpora neglecta jacent in ædibus Ulyſſis.
" Nondum enim ſciunt amici in domibus uniuſcujuſque;
" Qui abluto nigro ſanguine ex vulneribus,
" Depoſitos lugerent; hic enim honor eſt mortuorum.
Illum itaque tunc anima allocuta eſt Atridæ, *exclamans*,
" Felix, Laertæ fili, ô prudens Ulyſſes,

ΣΧΟΛΙΑ.

182. Ἐπισπόμενοι.] Ἐπακολουθοῦντες.
186. Ἀκηδέα.] Ἀθαπτα.
188. Βρότον.] Τὸ μὴ κόπτειν καὶ ἰδρῶτα αἷμα. Ὠτειλέων.] Τραυμάτων.
191. Ὄλβιε Λαέρταο πάϊ.] Ἀπεικὸς φασὶν, περίπου τὸ συμπαθὲς ἐπὶ τῇ οἰκείᾳ τῆς Ἀμφιμέδοντος τύχῃ, ἐπαινεῖν τὴν Ὀδυσσέα· ὃν ἀπίθανος ὁ λόγος τὸ ἐκ τοῦ αὐτὸν ὑπὸ τῆς συνοικούσης τὰ κάλιστα πεπονθέναι.

NOTÆ.

190. Τὸν δ' αὖτε ψυχὴ προσεφώνεε) Mallem equidem hìc legere, Τόνδ' αὖτε ψυχὴ ἐπεφώνεεν· ἐμοὶ μὲν γὰρ ὁ Ἀγαμέμνων, ἢ μᾶλλον Ἀγαμέμνονος ἡ ψυχὴ προσφωνεῖ τὸν Ἀμφιμέδοντα· ἀλλ' ἐπιφώνημα τῷ ἀπόντι Ὀδυσσεῖ ποιῶν βοᾷ, Ὄλβιε, Λαέρταο πάϊ. Hoc erat Veterum *Criticorum* judicio dignum: at nihil illi hujuſmodi, ad hunc locum. En Objectiones, quas proferunt & diluunt, ex *Euſtath.* fol. 828. lin. 44. Τίς, φασὶ, χρεία δὲ δευτέρου τὴν Νεκυίας ἐπισοδίου; Ἡ λύσις, Ὅτι αἴτιον, ἡ τοῦ Ποιητοῦ πολύφωνος ποικιλία· καὶ ὅτι ἐν ἑτέρᾳ παρὰ τῷ Ποιητῇ πομπὴ κεῖται ὁμοειδὴς, οἷον, Μονομαχίαι καὶ ἀγῶνες, ἐν σφαιρικῇ καὶ τόξου ὁμοίαι, καὶ ἀγῶνων μεγαλαυχίαι παντοῖαι ἔχουσαι· ἔτι, Πῶς, φασὶ, χθονίου τινὸς ψυχοπόλου αὐτωνύμως καλεῖ τὸν Ἑρμῆν; Ἡ λύσις, ὅτι συνῳδὰ ταῦτα τοῖς Ἰλιακοῖς· ἔνθα ἐριούνιον αὐτὸν καλεῖ, καθὰ καὶ ἐν τοῖς ἀγῶσι τούτων· ὁ δὲ ἐριούνιος ἐκ τοῦ ἔρας παράγωγος· καὶ τὸν Ἡρακλῆ δὲ εἰς ᾅδου Ἑρμείας πέμπει σὺν Ἀθηνᾷ, ὅτι τὸ Κέρβειον ἀνήγαγε. Πῶς δὲ, φασὶ, ἐκ πίτυος Λευκὰς ἀφῆς τοῖς ἐν ᾅδου ἀφιγμένοις τυποῖς; Ἡ λύσις, ὅτι ἀφῆς τοῖς ἐπιφωλοσμένοις μέρεσι κεῖται δεῖ νοεῖν αὐτήν. Ἔτι γελοῖον, φασὶ, μετ' ὀλίγον χρόνον ἄχνυσθαι, τῷ Ἀγαμέμνονος ψυχῷ, ὡς προσφάτως θανούσαν, καὶ τοῖς ἑταίροις συνελοφύρεσθαι. Ἡ λύσις, Ὅτι ἀφὸς αὐτοῦ τοῦ θανάτου τοιοῦτος ὢν ὁ Ἀγαμέμνων, φυλάσσει ἀφ' ἑαυτοῦ τὸ ἀνάρμοστον τοῦτο, καὶ ἀπρεπὲς, καὶ ἀλλότριον τοῦ ἀνδρὸς, καὶ ἀπὸ τῶν ἑταίρων ἀπάγει τὸν λόγον· ἐπεὶ καὶ ἐν τῇ Ἰλιάδι ὁ Ἀχιλλεὺς ἐπὶ τῷ Πατρόκλου θανάτῳ ἀπαθὴς ἐστὶ τῶν ἑταίρων, καὶ μόνος ἑαυτῷ πενθεῖ· καὶ ἐν τῇ Ὀδυσσείᾳ ὁ Ὀδυσσεὺς ἐν τῷ Ἅιδου

Ἦ ἄρα σοὶ μεγάλη ἀρετὴ ἐκτήσω ἄκοιτιν.
Ὡς ἀγαθαὶ Φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
Κούρῃ Ἰκαρίου, ὡς εὖ μέμνησ' Ὀδυσῆος,
Ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος οὔποτ' ὀλεῖται
Ἧς ἀρετῆς· τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
Ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ.
Οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσαλο ἔργα,
Κουρίδιον κτείνασα πόσιν· στυγερὴ δέ τ' ἀοιδὴ
Ἔσσεθ' ἐπ' ἀνθρώπους· χαλεπὴν δέ τε φῆμιν ὄπασσε
Θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' ἐὺεργὸς ἔῃσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Ἑσταότ' εἰν ἀΐδαο δόμοις ὑπὸ κεύθεσι γαίης·
Οἱ δ' ἐπεὶ ἐκ πόλιος καλέσαν, τάχα δ' ἀγρὸν ἵκοντο
Καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποθ' αὐτὸς
Λαέρτης κτεάτησεν, ἐπεὶ μάλα πολλ' ἐμόγησεν·
Ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντη,
Ἐν τῷ σιτέσκοντο, καὶ ἵζανον, ἠδὲ ἴαυον

"Certè utique cum magnâ virtute recuperâsti uxorem!
"Quàm bona mens erat irreprehensibili Penelopæ,
"Filiæ Icarii, quam rectè recordata est Ulyssis,
"Viri cui-virgo-nupserat; unde ei gloria nunquam peribit
"Suæ virtutis: facient autem terrestribus cantilenam
"Immortales gratam prudenti Penelopæ.
"Non sicut Tyndari filia mala consultavit opera,
"Virginali interfecto marito: odiosa utique cantilena
"Erit inter homines, malamque famam præbuit
"Fœminis mulieribus, etiam ei, quæ proba fuerit.
Sic hi quidem talia ad invicem loquebantur,
Stantes in inferni domibus, sub obscuritatibus terræ:
Illi autem postquam ex civitate iverunt, citò in villam pervenerunt
Pulchram Laërtæ laboratam, quam quondam ipse
Laërtes possedit, postquam valdè multum laboravit:
Illic ei domus erat, circumque Casulæ currebant circumquaque,
In quibus comedebant, & sedebant, & dormiebant

ΣΧΟΛΙΑ.

196. Ἀρετῆς.] Σωφροσύνης. Ἀοιδήν.] Ἀντὶ τοῦ, φήμην.

197. Χαρίεσσαν.] Ἐπίφθονον, καλήν.

203. Ἑσταότ'.] Ἑστῶτας, * δηλονότι. Κεύθεσι γαίης.] Κρυπτοῖς τόποις· λέγει δὲ, τοῖς ὑπὸ γῆν.

204. Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν.] Ὑποκλίσιον μὴ τοῦτο, ἐπί τι * ψιλὸς λόγος ἐστί.

206. Κτεάτησεν.] Ἔκτησεν. Ἐμόγησεν.] Ἐκαμε.

207. Κλίσιον.] Ἅπαξ εἰρημένον· σημαίνει δὲ ἰδίδραν τινὰ συστηματικὴν, ἐν ᾗ ἔκειντο οἱ κλισμοί· ἢ κρηπίδωμα, ἐφ' ᾧ ἐκαθέζοντο, ἢ κοιμῶντο. Θέε.] Ἔτρεχεν.

208. Σιτέσκοντο.] Σίτου ἐτρέφοντο μεστὰ λαίμβεια.

NOTÆ.

Hæc *Apostrophe* ad absentem & vivum *Ulyssem*: nec ampliùs *Agamemnonis* Anima *Amphimedontis* Animam alloquitur; abhorret potiùs, ut *Ægisthо* similem, & veteris Amici successibus dehinc applaudit.

195. Τῷ οἱ κλέος οὔποτ' ὀλεῖται ἧς ἀρετῆς) Multa pulcra & præclara ad hunc locum spectantia congessit *Duportus*, in Gnomolog. *Homericâ*.

207. Περὶ δὲ κλίσιον θέε πάντη) De hâc voce κλίσιον, vid. *Eustath.* fol. 1957. lin. 51. *Roman.* & fol. 830. lin. 13. *Basil.* Edit. *Etymol.* M. & *Hesych.* v. *Spondanus* per *Claustrum* exponit, sed refert Nos tandem ad *Lexicon* nescio quod *Homericum*. Consulatur *Conon*, *Suidas*, v. Κλίσια) Βυκόλια, & *Br. Schol. Atticè* κλεισίον dicitur, *Homero* κλίσιον, de *Circulari Ordine Casularum Rusticarum circum circa Villarem Domum constructarum*, in quibus, ut ipse ait *Homerus*, Famuli, Subulci, Colonique res suas curarent, Ἐν τῷ σιτέσκοντο, ἐ ἵζανον, ἠδὲ ἴαυον Δμῶες ἀγαπαῖοι. Ergo series erat δηλικῶν οἴκων.

NOTÆ IN SCHOLIA.

204. * Ψιλὸς λόγος ἐστὶν) Ità, ex *Aloysiano* MSto lego, pro ψιλὸς λόγος ἐστὶν, licet ibi ψιλὸς scribatur, *Amanuensis*, aut *Dictantis*, uti sæpè fit, *Errore*.

VARIÆ LECTIONES.

192. Ἐκτήσω) γρ. ἐκτήσα· pro ἐκτήσαο, ut supra, v. 33. ἤρα, pro ἤραο, ἤρω.

195. Ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος) γρ. ἀνδρὸς κουριδίοιο· τῷ οἱ κλέος, ut mox, v. 201. Θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.

198. Τυνδαρέου) γρ. Τυνδαρείου. Vid. suprà, ad λ'. v. 297.

199. Στυγερὴ δέ τ' ἀοιδὴ) γρ. στυγερὴ ἢ ἀοιδὴ, olim in Pluribus.

204. Πόλιος) γρ. πόλεως.

Δμῶες ἀναγκαῖοι, τοί οἱ Φίλα ἐργάζονλο.
Ἐν ᾗ γυνὴ Σικελὴ γρῆϋς πέλεν, ἥ ῥα γέροντα
Ἐνδυκέως κομέεσκεν, ἐπ' ἀγρῷ, νόσφι πόληος.
Ἐνθ' Ὀδυσθὺς δμώεσσι καὶ υἱέι μῦθον ἔειπεν,
Ὑμεῖς μὲν νῦν ἔλθετ' ἐϋκλήμδυον * δόμον εἴσω·
Δεῖπνον δ' αἶψα συῶν ἱερδύσαλε, ὅττις ἄριστος.
Αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἡμετέροιο,
Αἴκ' ἐμ' ὀπιγνοίη τε φεάσεϑ' ὀφθαλμοῖσιν,
Ἦέ κεν ἀγνοίησι, πολὺν χρόνον ἀμφὶς ἐόντα.
Ὣς εἰπὼν, δμώεσσιν ἀρήια τεύχε' ἔδωκεν·
Οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον· αὐτὰρ Ὀδυσθὺς
Ἤιεν ἴεν πολυκάρπε ἀλωῆς, πειρηζων·
Οὐδ' εὗρεν Δολίον, μέγαν ὄρχαλον ἐσκαδαίνων,
Οὐδέ τινα δμώων, ἠδ' υἱῶν· ἀλλ' ἄρα τοίγε
Αἱμασιὰς λέξοντες, ἀλωῆς ἔμμεναι ἔρκος,
ἬΙϊχον· αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευεν.
Τὸν δ' οἶον πατέρ' εὗρεν ἐϋκλήμδυ ἐν ἀλωῇ,
Λιστρεύοντα φυτόν· ῥυπόωντα ϑ' ἕρμα χιτῶνα,

Famuli neceſſarii, qui ei amica operabantur:
Inibi quoque mulier Sicula anus erat, quæ ſenem *Laertem*
Diligenter curabat in agro longè à civitate.
Tunc Ulyſſes famulis & filio ſermonem dixit,
" Vos quidem, nunc ite ad benè-ædificatam domum-*villarem*:
" Ad cœnam autem ſtatim porcorum mactate, quicunque optimus.
" At ego patrem tentabo noſtrum,
" Si me agnoſcat, & animadvertat oculis,
" An ignoret, multo tempore qui peregrè abfui.
Sic locutus, ſervis bellicoſa arma dedit.
Hi quidem poſtea ad domum velocitèr iverunt; at Ulyſſes
Ivit propè ferax viridarium, *patrem* tentaturus:
Neque invenit Dolium, magnum in viridarium deſcendens,
Neque aliquem ſervorum, neque filiorum; ſed hi
Sepes collecturi, viridarii ut eſſent ſeptum,
Iverant; at his ſenex *Dolius* viam præiverat.
Solum autem patrem invenit benefacto in viridario,
Expurgantem plantam: ſordidam utique indutus erat veſtem,

ΣΧΟΛΙΑ.

209. Ἀναγκαῖοι.] Χρειώδεις.
216. Φεάσεϑ'.] Γνῷσι.
217. Ἀγνοίησι.] Ἀγνοήσῃ.
220. Πολυκάρπε.] Ἤτοι κυρίως· ἢ πρικίλως καρπὸν ἐχούσης.

223. Αἱμασιὰς λέξοντες.] Τὰ ὑπὸ τῶ λεπτῶν λίθων τειχία οἰκοδομήσοντες.
226. Λιστρεύοντα.] Περιξύοντα καὶ ἀποκάθαιροντα εἰς * ἀρδίαν καὶ ὁμαλίζοντα.

NOTÆ.

213. * Δόμον εἴσω) Vocem πελίεϑρον, quod priùs in *Textu* aderat, rejecimus, & δόμον εἴσω, quod in *Variis Lectionibus* hactenùs ſubſedit, in *Textum* admiſimus; quod neque vellet *Ulyſſes* eos in Urbem redire, hoc nempe iis fatale omninò eſſet futurum; nec pòſt, eos omninò in urbem, at in *Laertis* domum, abiiſſe conſtat, ut mox, v. 219. Οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον. De hâc Domo ſuprà, ad v. 207. Ἔνθα οἱ οἶκος ἔλω· ἀφνειὸν δὲ κλίσιον ὑψηλὸν πάντη. Domus erat *Villaris*, *Anglicè*, a FARM-HOUSE. In quam, *Ulyſſes* etiam Patri dicit, ſe Filium & Servos miſiſſe, ut infrà, v. 357. Ἀλλ' ἐμὸν ἔρχεϑον αὖϑι εἶσον, ὃς ὀρχάτου ἐγγὺς κέχυται· Ἐνθάδε Τηλέμαχον, Φ βουκόλον, ἠδὲ συβώτην Πρόπιμπον. *Henrici Stephani* au-

NOTÆ IN SCHOLIA.

226. * Ἀρδίαν, καὶ ὁμαλίζοντα) *Aleyſii* MS. ità, pro corrupto priori, * ἀνδρίαν, Φ τετραχίζοντα· verùm ibi, pro * ὁμαλίζοντα, malè * ὁναλίζοντα, *Amanuenſis* Errore.

VARIÆ LECTIONES.

213. Δόμον εἴσω) γρ. πελίεϑρον, malè, ut in Not. ad *Textum*.
216. Ἐπιγνοίη) γρ. ἔπ γνοίη, *H. Steph.*
222. Ἴεν) γρ. ἧιεν, ex ἦιεν, ut ἴαν, ab ἦα. Et tum fit σωίζησις.

Ῥαπίδας,

Ῥαπτὸν, ἀεικέλιον· περὶ δ' κνήμησι βοείας
Κνημῖδας ῥαπτὰς δέδετο, γεραπτὺς ἀλεείνων·
Χειρίδάς τ' ὀπὶ χερσὶ, βάτων ἕνεκ'· αὐτὰρ ὕπερθεν
Αἰγείῃ κυνέῃ κεφαλὴ ἔχε, πένθος ἀέξων.
Τόνδ' ὡς οὖν σιόησε πολύτλας δῖος Ὀδυσσεὺς
Γήραϊ τειρόμενον, μέγα δ' φρεσὶ πένθος ἔχοντα,
Στὰς ἄρ' ὑπὸ βλωθρὴν ὄχνην κατὰ δάκρυον εἶβε.
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Κῦσαι καὶ περιφῦναι ἑὸν πατέρ', ἠδὲ ἕκαστα
Εἰπεῖν, ὡς ἔλθοι τε καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν·
Ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε πειρήσαιτο.
Ὧδε δέ οἱ φρονέοντι δόασσατο κέρδιον εἶναι,
Πρῶτον κερτομίοις ἐπέεσσι πειρηθῆναι.
Τὰ φρονέων ἰθὺς κίεν αὐτῆ δῖος Ὀδυσσεύς·
Ἦτοι ὁ μὲν κάτ' ἔχων κεφαλὴν, φυτὸν ἀμφελάχαινε,
Τὸν δὲ παρισταμένου περιφώνεε φαίδιμος υἱὸς,
Ὦ γέρον, οὐκ ἀδαημονίη σ' ἔχει ἀμφιπολεύειν
Ὀρχατον· ἀλλ' εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν
Οὐ φυτὸν, οὐ συκέη, οὐκ ἄμπελος, οὐ μὴν ἐλαίη,

Laceram, indecentem, circumque tibias, bovinas
Ocreas sutiles ligaverat, sentes fugiens;
Chirothecasque in manibus, ruborum gratiâ: at desuper
Caprinam galeam in capite habebat, dolorem augens.
Hunc igitur ut agnovit perpatiens divus Ulysses
Senectute consumptum, magnumque mentibus dolorem habentem,
Stans sub altâ pyro lacrymam effudit.
Cogitabat verò postea in mente & in animo,
Vel Osculari & amplecti suum patrem, & singula
Dicere, quomodo rediisset & perveniisset in patriam terram;
An prius interrogaret, singulaque tentaret.
Sic autem ei cogitanti visum est melius esse,
Primùm cavillatoriis verbis tentare.
Hæc cogitans rectà ivit ad eum divus Ulysses;
Certè hic quidem capite demisso plantam circumfodiebat;
Hunc autem astans allocutus est illustris filius *Ulysses*,
" O senex, non imperitia te tenet adgubernandum
" Viridarium, sed benè cura tenet, neque omninò,
" Non planta, non ficus, non vitis, non quidem olliva,

ΣΧΟΛΙΑ.

228. Δέδετο.] Περιέκειτο, περιεδέδετο. Γεραπτὸς.] Τὰς τῶν ἀκανθωδῶν φυτῶν καὶ βαθυξύλους καὶ ἀμυχάς. Ἀλεείνων.] Φυλαττόμενος.

230. Αἰγείῃ κυνέῃ.] Καθ' ὑπερβατικῶς, ὡς καὶ τὴν χαλκῆν κυνέην.

233. Βλωθρὴν.] Τὴν μεγάλην, ἀπὸ τοῦ ἄνω μεμηκέναι.

235. Κῦσαι.] Περιπλακῆναι, φιλῆσαι.

241. Κάτ' ἔχων κεφαλὴν.] Κάτω ἔχων, νενευκώς· δύναται δὲ καὶ ὑφ' ἓν, τὸ κατέχων. Ἀμφελάχαινε.] Περιεσκάπτειν.

243. Ἀδαημονίη.] Ἀπειρία. Ἀμφιπολεύειν.] Ἐπεργεῖν.

NOTÆ.

v. 445. & *Pollux*. De hoc loco, à *Cicerone* malè intellecto, vid. *Petri Victorii, Var. Lect.* l. 28. c. 4. Cicero in *Catone* Majore, At *Homerus Laertem* colentem Agrum & eum *Stercorantem* facit. Nihil ibi omninò de *Stercoratione* memorat Poeta; nec quid vult vox λισπύνοντα, &c.

228. Κνημῖδας) Vid. infrà, ad v. 229.

229. Χειρίδας) Χειρὶς, χειρίδος, ἡ χειρίδης· διφθογγοῦσι δὲ, ὡς μυρία πταῦται, παρὰ πτηνὸς· οἷα, Κνημὶς, κνημῖδος· βαλβὶς, βαλβῖδος· νεβελὶς, νεβελῖδος· κιβωτὶς, κιβωτῖδος, & *Batrachomyomach.* v. 36. Σισμὶς, σισμῖδος. Hæc certè & hujusmodi alia, vel *Brevia* sunt, in *Incremento*, vel *Longa*, itàque ex *Accentûs* Variatione deprehenditur; νεβρὶδες, νεβρῖδες, &c.

233. Ὄχνην) Quare ità scribo, pro Veteri ὄγχνην, vid. infrà, ad v. 246.

245. Συκέη) Ità scribo, pro συκῆ, quòd *Homerus* Incontractis gaudet, at tum συνιζάνει τὸ ε, quare *Eust.* fol. 834. lin. 7. Ἐκτείνει δὲ καὶ νῦν τὴν ἀρχουσαν ἡ συκέη, ità nempè & ibi legendum pronuntio; nam si συκῆ legatur, non est possibile aliàs fieri. Ità & ante, v. 340. Συκέας πασχαλάκινθας.

VARIÆ LECTIONES.

233. Ὄχνην) γρ. ὄγχνην, olim male. Vid. in Not. ad *Textum*, ad v. 246.

235. Κῦσαι) γρ. κύσαι, ut infra, ad v. 319.

236. Εἰπεῖν) γρ. εἰπέμεν.

241. Κάτ' ἔχων) γρ. κατέχων, *H. Steph.* & *Brevia Scholia.*

245. Συκῆ) γρ. συκέη, Ὁμηρικώτερον, ut sit per συνίζησιν, ut mox, v. 339. μηλέας, & v. 340. συκέας.

Οὐκ ὄχνη, ὃ πρασίη τοὶ ἄνθυ κομιδῆς καθὰ κῆπον.
Ἄλλο δέ τοι ἐρέω, σὺ ἢ μὴ χόλον ἔνθεο θυμῷ·
Αὐτόν σ' ἐκ ἀγαθὴ κομιδὴ ἔχῃ, ἀλλ' ἅμα γῆρας
Λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, ἢ ἀεικέα ἕσσαι.
Οὐ μὰν ἀεργίης γε ἄναξ ἔνεκ' οὔ σε κομίζῃ,
Οὐδέ κε τοὶ δούλειον ἐπιπρέπῃ εἰσορόασθαι
Εἶδος ἢ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.
Τοιούτῳ ἢ ἔοικας, ἐπεὶ λέσαιλο φάγοι τε,
Εὐδέμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων.
Ἀλλ' ἄγε μοὶ τόδε εἰπὲ, ἢ ἀτρεκέως καθάλεξον,
Τεὸν δμῶες ἦς ἀνδρῶν; τεὸ δ' ὄρχαλον ἀμφιπολεύεις;
Καί μοι τῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Εἰ ἐτεόν γ' Ἰθάκῃσι τῳὸ' ἱκόμεθ', ὥς μοι ἔειπεν
Οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,
Οὔπω μάλ' ἀρτίφρων· ἐπεὶ ἢ τόλμησεν ἕκαστα
Εἰπεῖν, ἠδ' ἐπακῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
Ἀμφὶ ξείνῳ ἐμῷ, εἴπερ ζώει τε ἢ ἔστι,
Ἢ ἤδη τέθνηκε, ἢ εἰν ἀΐδαο δόμοισιν.
Ἐκ γάρ τοι ἐρέω, σὺ ἢ σύνθεο, καί μοι ἄκουσον,
Ἀνδρα πότ' ἐξείνισα φίλην ἐνὶ πατρίδι γαίῃ,
Ἡμέτερόνδ' ἐλθόντα· ἢ οὔπω τις βροτὸς ἄλλος

" Non pyrus, non area ſine curâ in horto eſt:
" Aliud autem tibi dico, tu verò nè iram impone animo;
" Ipſum te non bona cura tenet, ſed ſimul ſenectutem
" Moleſtam habes, ſqualeſque malè, & indecenter indutus es.
" Non quidem pigritiæ dominus gratiâ non te curat,
" Neque quid tibi ſervile congruit aſpectu
" Formâ & ſtaturâ; regi enim viro ſimilis es.
" Tali autem ſimilis es, qui poſtquam lotus eſt comeditque,
" Dormit molliter; hic enim mos eſt ſenum.
" Sed agè mihi hoc dic, & verè narra,
" Cujus ſervus es virorum? cujus item hortum gubernas?
" Et mihi hoc dic verè, ut bene ſciam,
" Si vere Ithacam hanc veni, ſicut mihi dixit
" Hic vir, qui nunc primùm obvius factus eſt huc venienti,
" Non nimis ſapiens; quoniam non auſus eſt ſingula
" Dicere, & audire meum verbum, quandò interrogavi
" De amico meo, ſicubi vivit & ſupereſt,
" An jam mortuus eſt, & in inferni ædibus.
" Nam tibi dico, tu verò intellige & me audi.
" Virum aliquandò hoſpitio excepi dilectâ in patriâ terrâ,
" Ad noſtram *domum* qui venerat, & nondum talis homo alius

Σ Χ Ο Λ Ι Α.

249. Αὐχμεῖς.] Ἐῤῥύπωσαι. Ἕσσαι.] Ἐνδύσαι.
250. Ἀεργίης.] * Ἀργίας. Κομίζῃ.] Ἐπιμελείας ἀξιοῖ.
251. Δέλειον.] Δέλοις ἁρμόδιον.
254. Εὐδέμεναι.] Καθεύδειν, ἀναπαύεσθαι.
256. Τεὸ.] Τίνος. Δμῶες.] Δοῦλοι.
260. Οὔπω μάλ' ἀρτίφρων.] Οὐ πάνυ ἔμφρων, ἀνόητος.

N O T Æ.

246. Οὐκ ὄχνη, ὃ πρασίη) *Dactylus* in primo loco, & Prior Ω ὄχνη corripitur, ut aliàs Ε τίχνη, τίκτον, & ſimilium; quod plenius probo, ad *Euripid.* Phœniſſ. v. 19. Et vel hinc patet, Veterem hanc vocem ſcribendi rationem minimè veram, cùm ubique ſcribant ὄγχνη, ut ex *Sebero* conſtat; apud quem in rectâ *Alphabeti* ſerie hæc Vox nè ſemel occurrit; & ὄγχνη ſanè in utrâque *Euſtathii* Editione ſcribitur, in *Textu.* Ὄχνη verò in *Etymolog.* M. meliùs, & in ſuo Ordine; & ità priores Editiones *Suidæ*, quod nollem Clar. Amicum *Kuſterum* notâſſe, *Minùs rectè factum.* Editio enim *Florentina* ὄχνη, etiam *Aldina*, *Lovaniana Reſcii*, *Ariſtotelis*, *Theophraſtus*, & alii Veteres & Probi Auctores, & Codices, ὄχνη habent; quare ὄγχνη certè hujus loci non eſt.

NOTÆ IN SCHOLIA.

250. * Ἀργίας) Ità, pro ἀγρείας, ex MSto *Aloyſiano.*

Variæ Lectiones.

246. Ὄχνη) γρ. ἴγχνη, vid. Not. in *Textum*, & ſupra, ad v. 233.
253. Λέσαιλο φάγοι τε) γρ. λέσῃ τε, φάγῃ τε, *Julian.* Orat. 2. fol. 77. λέσαιλο, φάγῃ τε, non benè.
261. Εἰπεῖν) γρ. εἰπέμεν.
266. Οὔπω τις) γρ. ὃ πῖος.

Ξεῖνος

Ξείνων τηλεδαπῶν Φιλίων ἐμὸν ἵκετο δῶμα.
Εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Λαέρτεω Ἀρκεισιάδην πατέρ' ἔμμεν αὐτῷ.
Τὸν μὲν ἐγὼ πρὸς δῶμα ἄγων εὖ ἐξείνισα
Ἐνδυκέως Φιλέων, πολλῶν καθ' οἶκον ἐόντων,
Καί οἱ δῶρα πόρον ξεινήια, οἷα ἐώικει·
Χρυσοῦ μὲν οἱ δῶκ' εὐεργέος ἑπτὰ τάλαντα,
Δῶκα δέ οἱ κρητῆρα πανάργυρον ἀνθεμόεντα,
Δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
Τόσσα δ' ἑάεα καλὰ, τόσσους δ' ἐπὶ τοῖσι χιτῶνας·
Χωρὶς δ' αὖτε γυναῖκας, ἀμύμονας ἔργ' εἰδυίας,
Τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι.
Τόνδ' ἠμείβετ' ἔπεφτα πατὴρ χθὶ δάκρυον εἴσων,
Ξεῖν', ἦτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις·
Ὑβρισταὶ δ' αὐτῇ γε ἀπάνθαλοι ἄνδρες ἔχουσι.
Δῶρα δ' ἐτώσια ταῦτα χαρίζεο μυρί' ὀπάζων·
Εἰ γάρ μιν ζωόν γ' ἐνίκεις Ἰθάκης ἐνὶ δήμῳ,
Τῷ κέν σ' εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε,
Καὶ ξενίῃ ἀγαθῇ· ἡ γὰρ θέμις, ὅττις ὑπάρξῃ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Πόσσον δὴ ἔτεος ἐστὶν, ὅτε ξείνισας ὄλεσσον

" Hospitum peregrinorum amicorum meam venit in domum.
" Dicebat autem ex Ithacâ genus esse, & dicebat
" Laërtem Arcesiadem patrem esse ipsius.
" Hunc quidem ego domum deducens præclare excepi
" Accurate tractans; cum multa in domo essent,
" Et ei dona præbui hospitalia, qualia decebat.
" Auri quidem ei dedi bene-facti septem talenta,
" Dedi verò ei pateram totam argenteam floridam,
" Duodecim quoque simplices vestes, totque tapetes,
" Tot etiam pallia pulchra, tot post hæc interulas:
" Separatim verò mulieres eximias, opera scientes
" Quatuor speciosas, quas voluit ipse eligere.
Huic respondit demum pater lacrymas fundens,
" Hospes, certe terram perveniisti, de quâ interrogas:
" Injurii autem ipsam, & injusti viri habent.
" Dona verò vana hæc donâsti, multa præbens:
" Si enim ipsum vivum invenisses Ithacæ in populo,
" Tunc te bene donis remuneratum dimitteret,
" Et hospitalitate bonâ; hic enim mos est, si quis cœperit.
" Sed age mihi hoc dic, & verè narra,
" Quotus jam annus est, quando hospitio illum excepisti,

ΣΧΟΛΙΑ.

272. Ἐώικει.] Πρέπον ἦν.
274. Ἀνθιμόεντα.] Ἀνθῶδες.
278. Εἰδαλίμους.] Εὐειδεῖς· ἢ, ἐπισήμους.
281. Ἔχουσιν.] Ἀντὶ τοῦ, οἰκοῦσιν.
285. *Ξενίῃ.] Ξενοσύνῃ. Ὑπάρξῃ.] Προσκαίρξῃ. * ὁ νοῦς, θέμις, καὶ δίκαιον, ἀνηξενίζειν τὸν ὑπαρξαντα.

NOTÆ.

278. Τέσσαρας εἰδαλίμους) Vid. *Etymolog.* M. v. Εἰδαλίμους.
285. Καὶ ξενίῃ ἀγαθῇ) Καὶ δαψιλεῖ ξενοσύνῃ, non subintellecto τραπέζῃ. quod nonnemo facit, ut mox notamus, ad v. 313.

NOTÆ IN SCHOLIA.

Εἰδαλίμους, καλοὺς, εὐφυεῖς, ἐπὶ τὸ εἶδος· εὐμόρφους, εὐπρεπεῖς. Quæ, Vox ἐπισήμους, sequitur, est etiam genuina; quasi ab εἶδω, *Scio*, duceretur.
285. * Ξενίῃ) Ξενοσύνῃ. Vid. Not. in *Textum*. *Ibid.* * Ὁ νοῦς) Hæc ex *Eustath.* fol. 835. lin. 15.

VARIÆ LECTIONES.

269. Αὐτῷ) γρ. αὐτῇ, *H Steph.*
273. Χρυσοῦ μὲν οἱ) γρ. χρυσοῦ μὴν οἱ, non malè.
275. Δώδεκα δ' ἁπλοΐδας) γρ. δώδεκα διπλοΐδας, ut *Iliad.* ω'. v. 230.
283. Ζωόν γ' ἐνίκεις) γρ. ζωόν γε νίκεις, *H. Steph.*

Σὸν

Σὸν ξεῖνον δύσηνον, ἐμὸν παῖδ'; εἴ ποθ' ἕλω γε,
Δύσμορον, ὅν πω, τῆλε φίλων καὶ πατρίδος αἴης,
Ἦέ πω ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσῳ
Θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ'· οὐδέ ἑ μήτηρ
Κλαῦσε θοιτείλασα, πατήρ θ', οἵ μιν τεκόμεθα·
Οὐδ' ἄλοχος πολύδωρος ἐχέφρων Πηνελόπεια
Κώκυσ' ἐν λεχέεσι φίλον πόσιν, ὡς ἐπέοικεν,
Ὀφθαλμὼς καθελοῦσα· τὸ γὰρ, γέρας ἐστὶ θανόντων.
Καί μοι τῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Ποῖ δὴ νηῦς ἔσχε θοὴ, ἣ σ' ἤγαγε δεῦρο,
Ἀνπθέης θ' ἑτάροις; ἢ ἔμπορος εἰλήλυθας
Νηὸς ἔπ' ἀλλοτρίης, οἱ δ' ἐκβήσαντες ἔβησαν;
Τόνδ' ἀπαμείβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
Εἰμὶ γὰρ ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,
Υἱὸς Ἀφείδαντος Πολυπημονίδαο ἄνακτος·

" Tuum amicum infelicem, meum filium, (si aliquando fuit)
" Infortunatum, quem procul ab amicis & patriâ terrâ,
" Vel in ponto comederunt pisces; vel in terrâ
" Feris & avibus laniamentum factus est; neque ipsum mater
" Flevit pollinctum, paterque, qui ipsum genuimus:
" Neque uxor multum-dotata prudens Penelope
" Ploravit in lectis dilectum maritum, sicut decet,
" Oculos illius claudens: hic enim est honos mortuorum.
" Et mihi hoc dic verè, ut benè sciam,
" Quis? unde es virorum? ubi tibi civitas & parentes?
" Ubi autem navis stat velox, quæ te duxit huc,
" Divinosque socios? an conductâ venisti
" Navi in alienâ; hi autem te navi educto discesserunt?
Hunc respondens allocutus est prudens Ulysses,
" Etenim ego tibi omnia valde vere narrabo;
" Sum enim ex Alybante, ubi inclytas domos habito,
" Filius Aphidantis Polypemonidæ regis:

ΣΧΟΛΙΑ.

292. Περιστίλασα.] Περικαλύψασα.
293. Πολύδωρος.] Ἡ πολλοῖς δώροις χαμηθεῖσα.
294. Ἐπέοικεν.] Ἔπρεπεν.
295. Καθελοῦσα.] Καταλαβοῦσα, ἐπικλείσασα.
298. Νηῦς.] Ναῦς, πλοῖον. Ἤγαγε.] Ἤνεγκεν.
299. *Ἔμπορος.] Τὸ νῦν, ὁ ἀλλοτρίας νεὼς ἐπιβάτης.
300. Ἐκβήσαντες.] Ἐξενεγκόντες.
303. Ἀλύβαντος.] Ἀλύβας, πόλις Ἰταλίας τὸ Μεζοντῖνον· ἢ μᾶλλον * Τῦ Πόντου, ἣν πνα ἐν τῇ καταλόγῳ Ἀλύβην ἔφη. † Αὐτὰρ Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον Τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.

† *Iliad.* β'. v. 856.

NOTÆ.

298. Πῦ δὴ νηῦς ἔσχε) *Eustathii Romana*, & *Basileensis* Editio, in *Textu*, Πῦ δαὶ legit, quare *Hen. Steph.* rectè illud saltem inter *Var. Lect.* refert; licet *Florentina*, *Aldina*, *Lovaniana Rescii*, & *Hervagiana*, simplex δὴ præ se ferant. Certè τὸ δαὶ est *Attica* flexio τῦ δὴ, *Interrogationibus* inservientis; & aliàs *Homero* notum, ut observamus ad *Iliad.* κ'. v. 408. Δὴ tamen hoc in loco præstat; licet & δὴ possit aliquo modo produci, vi nempè *Toni* sui, & ante *Liquidam*. At verò τὸ δ' ἦ omninò præplacet.

303. Εἰμὶ γὰρ ἐξ Ἀλύβαντος) In hâc Fabulâ Omnia Nomina ficta; ut post appareat, non Mendacium dixisse, sed Fabulam ornâsse: Ἀλύβας itaque ab ἄλη, *Peregrinationem*, Ἀφείδας, *Munificentiam Laerta* notat, Πολυπημονίδης, ejusdem *Afflictiones*. Vid. *Eustath.* fol. 835. lin. 37. Ὅτι Ὀδυσσεὺς ἐν τῷ Πύλῳ ἀποκειρᾶται ἐπικρύπτων ἑαυτὸν, πλάττει εἶναι ἐξ Ἀλύβαντος, &c. Et fol. 836. lin. 9. Τὸ δὲ Ἐπείρῳτος πυνθάνου πως ἐστὶ τῷ φιλομαχήσαι, ἀπὸ τῦ ἐρίζω.

NOTÆ IN SCHOLIA.

299. *Ἔμπορος) Ex *Eustath.* fol. 835. lin. 32.
303. * Τῦ Πόντου) Ità, pro μεζόποντος. Vid. *Steph.* περὶ πόλεων, v. Ἀλύβας, & *Eustathium*, fol. 835. lin. 45.

VARIÆ LECTIONES.

290. Ἦ ἐπὶ χέρσῳ) γρ. ἢ ἐπὶ χέρσῳ.
294. Ἐπέοικεν) γρ. ἐπιέκῃ, *Hervagian.* Edit. in Margine.
298. Πῦ δὴ νηῦς) γρ. πῦ δ' ἡ νηῦς, & πῦ δαὶ νηῦς, *H. Steph.* ex *Eustathio*, olim πῦ ἡ νηῦς, non benè.

Αὐτὰρ

Αὐτὰρ ἐμοί γ' ὄνομ' ἐστὶν Ἐπήριτος· ἀλλά με δαίμων
Πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν, οὐκ ἐθέλοντα·
Νηῦς δέ μοι ἥδ' ἔσχεν ἐπ' ἀγρῷ νόσφι πόληος.
Αὐτὰρ Ὀδυσσῆι τόδε δὴ πέμπτον ἔτος ἐστίν,
Ἐξ οὗ κεῖθεν ἔβην, καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
Δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι
Δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,
Χαῖρε δ' ὃ κεῖνος ἰών· θυμὸς δ' ἔπι νῶϊν ἐώλπει
Μίξεσθ' ξεινίῃ, καὶ ἀγλαὰ δῶρα δώσειν.
Ὣς φάτο· τοῦ δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Ἀμφοτέρῃσι δ' χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
Χεύατο κακκεφαλῆς πολιῆς, ἀδινὸν γενάχιζων.
Τῷ δ' ὠΐνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἧδη
Δειμὺ μάλος προὔτυψε, φίλον πατέρ' εἰσορόωντι.
Κῦσε δέ μιν θείφυς ὀπάλμιος, ἠδὲ προσηύδα,
Κεῖνος μὴν τοι ὅδ' αὐτὸς ἐγώ, πάτερ, ὃν σὺ μεταλλᾷς,
Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.

" At mihi nomen est Eperitus; sed me fortuna
" Errare-fecit à Sicaniâ, huc venire nolentem.
" Navis verò mihi hæc stat in agro procul à civitate.
" At Ulyssi hic jam quintus annus est,
" Ex quo illinc ivit, & à meâ discessit patriâ,
" Infœlix: certè ei bonæ erant aves discedenti
" Dexteræ, quibus gaudens quidem ego dimisi illum:
" Gaudebat & ille iens, animus autem nobis adhuc sperabat,
" Miscuri hospitalitatè, & splendida dona dare posse.
Sic dixit, hunc autem doloris nebula cooperuit nigra:
Ambabus igitur manibus raptum pulverem aridum
Fudit in capite albo, gravitèr suspirans.
Hujus itaque motus est animus, ad nares verò ei jam
Acutum robur erupit, dilectum patrem inspicienti.
Oculatus est itaque ipsum amplexus, subsilienſque allocutus est,
" Ille quidem hic ipse ego, pater, quem tu inquiris,
" Veni vigesimo anno in patriam terram.

ΣΧΟΛΙΑ.

306. Σικανίης.] Σικελίας· ἄκησαν ἡδ αὐτὴν Ἴδηξις, ἐλθόντες ἀπὸ *Σικανῆ, ἔ πορθμοῦ.

310. Ὄρνιθες.] Οἰωνοί, σημεῖα.

311. Δεξιοί.] Αἴσιοι· ἢ οὓς ἐκ δεξιῶν μιγέων.

318. Δειμὺ μάλος προὔτυψε.] Ἤτοι ὅτι προῆγμος ἐτόλμησεν *ἐξειπεῖν· ἢ, ὅτι ἐμεμνᾶτο *δακρύειν, προεμπίπτει ταῖς ῥισὶ δειμύοντος τὸ Προὔτυψε.] Προεκύπτουσεν.

NOTÆ.

307. Νηῦς δέ μοι ἥδ' ἔσχεν) Vocem ἥδ', quæ fortè exciderat, in *Eustathii* binis Editionibus, ac proindè in *H. Stephani*, *Castellionis*, *Spondani*, *Elzeviirii*, &c. jam ego ex *Florentinâ*, & *Hervagianâ* restitui; quibus *Cantabrigiensis* & *Oxoniensis* rectè suffragantur, licet etiam *Aldina*, & *Lovaniana Resciì* exciderit; nec tamen est, quòd quis metuat: Eadem enim Vocula, in eodem Versu, alio in loco, ab omnibus Omninò agnoscitur, *viz. Odyss. α'.* v. 185.

308. Αὐτὰρ Ὀδυσσῆι τόδε δὴ πέμπτον ἔτος ἐστὶν) *Ultima* Ε Ὀδυσσῆι producitur, in *Cæsurâ*, &c. ut ad v. 192. idem de *Ultima* Ε πέμπτον dicendum; idem infra, ad v. 310. de *Ultima* Ε ἔτος.

310. Ἔσαν ὄρνιθες ἰόντι) Vid. suprà, in Not. ad v. 308.

313. Μίξεσθ' ξεινίῃ) *Jacob. Perizonius*, ad *Ælian.* Var. Hist. l. 3. c. 37. §. 2. τραπίζῃ vult intelligi semper in hujusmodi casibus; quod in illo certè loco, ibidem laudato, nullo modo fieri potest, nempè suprà, v. 295. Καὶ ξεινίῃ ἀγαθῇ. Nemo enim benè dixerit ἀγαθῇ & ξεινίῃ simul, subintellecto τῇ τραπίζῃ.

321. Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν) De productâ *Ultima* Ε ἔτεϊ, in hoc Versu, dixi, ad α'. v. 206.

NOTÆ IN SCHOLIA.

306. * Σικανοῦ, ἔ πορθμοῦ) Ità rectè, MS. *Aloysianum*; ità *Eustath.* fol. 836. lin. 25. Quare Codd. *Impressos* hinc Corrigo, qui hoc *Scholion*, cum Σικανοῦ claudunt, sequens cum πορθμοῦ incipiunt; quâ re nihil magis ridiculum.

318. Hoc *Scholion* emendatius exhibeo, ut plura alia, legendo * ἐξειπῶν, pro ἐξειπῆ, & pro *Elzeviriano* δακρύειν, *Aldinum* δακρύειν, &c.

VARIÆ LECTIONES.

312. Χαῖρε δ' ὃ κεῖνος) γρ. χαῖρε δ' ὀκεῖνος, *H. Steph. ibid.* Θυμὸς δ' ἔπι) γρ. θυμὸς δέ τι, *id. Ibid.* Νῶϊν) γρ. ἡμῖν, *Eustath.* fol. 1962. lin. 31. *Roman.* Edit. & fol. 836. lin. 33. *Basil.*

319. Κῦσε) γρ. κύσε, ut suprà, ad v. 235.

Ἀλλ'

Ἀλλ' ἴσχεο κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
Ἐκ γάρ τοι ἐρέω· μάλα δὴ χρὴ σπεύδεμεν ἔμπης.
Μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισι,
Λώβην πυθόμενος θυμαλγέα καὶ κακὰ ἔργα.
Τόνδ' αὖ Λαέρτης ἀπαμείβετο, φώνησέν τε,
Εἰ μὴν δὴ Ὀδυσεύς γε, ἐμὸς πάϊς, ἔνθάδ' ἱκάνεις,
Σῆμά τι μοὶ νῦν εἰπὲ ἀριφραδές, ὄφρα πεποίθω.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Οὐλὴν μὲν πρῶτον τιθέτω φαέσῃ ὀφθαλμοῖσι,
Τὴν ἐν Παρνησσῷ μ' ἔλασεν σὺς λευκῷ ὀδόντι
Οἰχόμενον· σὺ δέ με πρεσβεύεις καὶ πότνια μήτηρ
Ἐς πατέρ' Αὐτόλυκον μητρὸς φίλον, ὄφρ' ἂν ἐλοίμην
Δῶρα, τὰ δεδρο μολών μοι ὑπέσχετο, καὶ κατένευσεν.
Εἰ δ' ἄγε, τοι καὶ δένδρε', ἐϋκτιμένην καθ' ἄλωὴν,
Εἴπω, ἅ μοι πότ' ἔδωκας, ἐγὼ δ' ἤτεόν σε ἕκαστα,
Παιδὸς ἐὼν, κατ' κῆπον ἑπισπόμενος· διὰ δ' αὐτῶν,
Ἰκνεύμεθα, σὺ δ' ὠνόμασας καὶ ἕκαστα ἔειπες.
Ὄγχνας μοὶ δῶκας τρισκαίδεκα, καὶ δέκα μηλέας,
Συκέας τεσσαράκοντ'· ὄρχους δέ μοι ὧδ' ὀνόμηνας
Δώσειν πεντήκοντα, διατρύγιος δ' ἕκαστος
Ἦεν· ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν,
Ὁππότε δὴ Διὸς ὥρη ἐπιβρίσειεν ὕπερθεν.
Ὣς φάτο· τῷ δ' αὐτῷ λύτο γούνατα καὶ φίλον ἦτορ,
Σήματ' ἀναγνόντος, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
Ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸ δὲ προὶ οἷ
Εἶλεν ἀποψύχοντα πολύτλας, δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐπεί ῥ' ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,

" Verùm abstine à fletu lustuque lachrymoso.
" Etenim tibi dico, valde autem oportet festinare tamen.
" Procos interfeci in nostris ædibus,
" Damnum rependens dolorosum & mala opera.
Huic rursus Laërtes respondit dixitque,
" Siquidem jam Ulysses meus filius huc venisti,
" Signum aliquod mihi nunc dic manifestum, ut persuadear.
Hunc respondens allocutus est prudens Ulysses,
" Cicatricem quidem primum hanc animadverte oculis,
" Quam in Parnasso percussit sus albo dente
" Euntem: tu verò me præmiseras & honoranda mater
" Ad patrem Autolycum matris dilectum, ut caperem
" Dona, quæ huc veniens mihi promiserat, & annuerat.
" Eia age, tibi & arbores, bene-facto in viridario,
" Dicam, quas aliquando dedisti, ego autem petii à te singulas,
" Puer cùm essem, per hortum sequens, per ipsas verò
" Ivimus, tuque nominâsti & dixisti singulas.
" Piros mihi dedisti tredecim, & decem malos,
" Ficos quadraginta, sulcos autem mihi sic disertè dixisti
" Te daturum quinquaginta, frugifer verò unusquisque
" Erat; illic uvæ omnigenæ erant,
" Quando jam Jovis tempestates aggravabant desuper.
Sic dixit; hujus autem ibidem soluta sunt genua & dilectum cor,
Signa recognoscentis, quæ ei firma dixerat Ulysses:
Circumque filium dilectum jecit brachia; hunc verò ad semet
Traxit expirantem pertolerans, divus Ulysses.
At postquam respiravit, & in mentem animus congregatus esset,

ΣΧΟΛΙΑ.

323. Σπεύδωμεν.] Ἐπίτασις.

328. Πεποίθω.] Πιστεύω, θαῤῥήσω.

ΝΟΤΑ.

322. Ἀλλ' ἴσχεο κλαυθμοῖο) Ἴσχεο, per σωνίζησιν metiendum διὰ συλλαβῶν, quasi ἴσχου scriberetur, ut mox, v. 336. ἤπιον, pro ἤπιου, & θ'. v. 550. κάλεον, pro κάλουν, quomodò ad *Iliad.* ω'. v. 287.

336. Ἤτεόν σε ἔκαστα) γρ. ἤτεον, pro ἤτεου, ut suprà, ad v. 322.

340. Ὄρχους) Ὄρχος, ἐπίσχος ἐστὶ φυτεία τῶν ἀμπέλων. Vid. *Etymolog.* M. v. Ὄρχαλος.

VARIÆ LECTIONES.

322. Ἀλλ' ἴσχεο) γρ. ἀλλ' ἴσχου, ut aliàs, in similibus, & suprà, ψ'. v. 20.

336. Ἤτεον) γρ. ἤτεου, ut suprà, v. 322.

339. Ὄγχνας) γρ. ὄγχνας, vid. suprà, ad v. 233.

Ibid. Τρισκαίδεκα) γρ. τεσσαρεσκαίδεκα, *Eustath.* fol. 838. lin. 5. quam Lectionem *H. Steph.* omisit, ut plures alias.

347. Εἶλεν) γρ. εἶλκεν, vid. ad *Iliad.* λ'. v. 239.

Ἐξαῦ-

Ἐξαῦτις μύθοισιν ἀμειβόμενον προσέειπε,
Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
Εἰ ἐπεὶ μνησῆες ἀτάσθαλοι ὕβριν ἔτισαν.
Νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα, μὴ τάχα πάντες
Ἐνθάδ' ἐπέλθωσίν ῥ' Ἰθακήσιοι, ἀγγελίας δὴ
Πάντη ἐποτρύνωσι Κεφαλλήνων * πολίεσσι.
Τόνδ' ἀπαμφότερος προσέφη πολύμητις Ὀδυσσεύς,
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Ἀλλ' ἴομεν πρὸς οἶκον, ὃς ὀρχάτῳ ἐγγύθι κεῖται.
Ἔνθάδε Τηλέμαχον, καὶ βουκόλον, ἠδὲ συβώτην
Πρῶτα μάλ', ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα.
Ὣς ἄρα φωνήσαντε βάτην πρὸς δώματα καλά.
Οἳδ' ὅτε δὴ ῥ' ἵκανον δόμους εὖ ναιετάοντας,
Εὗρον Τηλέμαχον, καὶ βουκόλον, ἠδὲ συβώτην
Ταμνομένους κρέα πολλὰ, κερωνίτας τ' αἴθοπα οἶνον.
Τοφρὰδὲ Λαέρτιον μεγαλήτορα δῖα γυνὴ οἶκῳ
Ἀμφίπολος Σικελὴ λοῦσεν, καὶ χρῖσεν ἐλαίῳ·
Ἀμφὶ δ' ἄρα χλαῖναν καλὴν βάλετ· αὐτὰρ Ἀθήνη
Ἄσχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν,
Μείζονα δ', ἠὲ πάρος, καὶ πάσσονα θῆκεν ἰδέσθαι.
Ἐκ δ' ἀσαμίνθου βῆ· θαύμαζε δέ μιν φίλος υἱὸς,
Ὡς ἴδεν ἀθανάτοισι θεοῖς εἰναλίγκιον ἄντην·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων

Iterum verbis respondens allocutus est,
" Jupiter pater, reverâ adhuc estis dii in magno Olympo,
" Si verè proci pravam injuriam luerunt.
" Nunc autem gravitèr timeo in mente; ne cito omnes
" Huc irruant Ithacenses, nuncios verò
" Undique impellant Cephallenorum in civitates.
Hunc respondens allocutus est prudens Ulysses,
" Confide, non tibi hæc in mentibus tuis curæ sint;
" Sed eamus ad domum, quæ viridarium propè jacet;
" Illuc enim Telemachum, & bubulcum, & subulcum
" Præmisi; ut cœnam pararent quantocyùs.
Sic utique locuti iverunt ad domos pulchras.
Hi quando jam venerunt domos benè habitatas,
Invenerunt Telemachum, & bubulcum, & subulcum,
Incidentes carnes multas, miscentesque nigrum vinum.
Interim Laertem magnanimum suâ in domo
Famula Sicula lavit, & unxit oleo;
Circumque vestem pulchram jecit: at Minerva
Propè astans auxit membra pastori populorum,
Majoremque, quàm antea, & pinguiorem fecit videri.
Ex balneo itaque ivit: admiratus est autem ipsum dilectus filius,
Postquam vidit immortalibus Diis similem aspectu,
Et ipsum compellans verba velocia allocutus est,
" O pater, certè valdè aliquis te Deorum sempiternorum

ΣΧΟΛΙΑ.

350. * Ἦρα.] Ὄντως.

356. * Μελόντων] Μελήσουσι.

NOTÆ.

350. Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ) Humanum ferè est, quandò injustè ab *Improbis* affligimur, de Dei *Existentiâ*, aut certè *Providentiâ*, aliquantum subdubitare; ubi verò semel tandem Improbitas suam sit sortita mercedem; tum denuo utrumque facilè concedere. Verùm hæc est nostra Imbecillitas, quâ de Deo O. M. judicare solemus, secundùm quod ergà Nos se gerat. De hoc loco diximus prolixiùs ad *Euripid.* Herc. Fur. v. 757. Τίς ὁ θεὸς ἀνομίας χαλίνων. Adde tamen huc *Duportum*, Ὁμηρικῶν Παραδόξων, καὶ Γνωμολόγων ὄχ' ἄριστον.

354. Πολίεσσι) Malè olim πολίεσσι· Solus *Eustath.* fol. 839. lin. 28. Πολίεσσι, nempè à πόλις, non à πολός. Ità & olim, suprà, ad φ'. v. 252. πολίεσσιν, in Omnibus.

NOTÆ IN SCHOLIA.

350. * Ἦρα) Ὄντως. *Hesych.* Ἦρα) Ἦτοι, ὄντως· ἢ, ὄφελ· ἢ, χάριν, βοήθειαν, ἐπικουρίαν. Prior Expositio, ad hunc locum pertinet.

356. * Μελόντων) Et hoc additur.

VARIÆ LECTIONES.

351. Ἀτάσθαλοι) γρ. ἀτάθαλον. *H. Steph.*

353. Ἔνθάδ' ἐπέλθωσίν ῥ' Ἰθακήσιοι) γρ. οὐθάδ' ἐπέλθωσιν Ἰθακήσιοι.

354. Πολίεσσιν) γρ. πολίεσσιν. Vid. N. in *Textum.*

361. Οἳδ') γρ. οἱ δ'.

364. Τοφρὰδὲ) γρ. τόφρα δέ.

Εἶδός τε, μέγεθός τε, ἀμύμονα θῆκεν ἰδέσθαι.
Τόνδ' αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα,
Αἲ γάρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Οἷος Νήρικον εἶλον, ἐϋκτίμενον πτολίεθρον,
Ἀκτὴν Ἠπείροιο, Κεφαλλήεσσιν ἀνάσσων,
Τοῖος ἐὼν τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισι,
Τεύχε' ἔχων ὤμοισιν, ἐφεζόμενος, καὶ ἀμύνειν
Ἄνδρας μνηστῆρας· τῷ κε σφέων γήθησ' ἔλυσα
Πολλῶν ἐν μεγάροισι, σὺ δ' ἦν φρένας ἔνδον ἰάνθης.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Οἱ δ' ἐπεὶ δὴ παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.
Ἔνθ' οἱ μὲν δείπνῳ ἐπεχείρεον· ἀσχίμονι δὲ
Ἦλθ' ὁ γέρων Δολίος, σὺν δ' υἷες τοῖο γέροντος
Ἐξ ἔργων μογέοντες, ἐπεὶ προμολοῦσα κάλεσσεν
Μήτηρ, γηρὺς Σικελή, ἣ σφέας τρέφε καί ῥα γέροντα
Ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρπτεν.
Οἳδ' ὡς οὖν Ὀδυσῆα ἴδον, φρεσὶν ἠδὲ καὶ θυμῷ,
Ἔσαν ἐνὶ μεγάροισι τεθηπότες· αὐτὰρ Ὀδυσσεὺς
Μειλιχίοις ἐπέεσσι κατὰ πτόμος ἀμφασίηνε,
Ὦ γέρον, ἦ ἐπὶ δεῖπνον, ἀπέκλελάθεσθε δαμῆναι·
Δηρὸν γὰρ σίτῳ ὀπιχειρήσειν μεμάασιν
Μίμνομεν ἐν μεγάροις, ὑμέας πολυδέγμενοι αἰεί·
Ὣς ἄρ' ἔφη· Δολίος δ' ἰθὺς κίε, χεῖρε πέτασσε
Ἀμφοτέρας· * Ὀδυσεὺς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,

" Formaque, staturaque, eximium fecit videri.
Hunc rursus Laërtes prudens contra allocutus est,
" Utinam enim, Jupiterque pater, & Minerva, & Apollo,
" Qualis Nericum cepi benè ædificatam urbem,
" Ad littus Epiri, Cephallensibus imperans,
" Talis existens hesternus in nostris domibus,
" Arma habens humeris, instare, & expellere
" Viros procos *opportunitatē habuerim*; ita ipsorum genua solvissem
" Multorum in ædibus; tuque mentes intra lætus fuisses.
Sic hi quidem talia ad invicem dicebant.
Illi autem quandò cessârunt à labore, paraveruntque convivium,
Ex ordine sederunt in lecticisque sedibusque:
Tunc hi quidem prandium aggressi sunt; eodemque instanti
Venit senex Dolius, simulque hujus filii senis
Ex operibus fatigati, postquam egressa vocavit
Mater anus Sicula, quæ ipsos nutrivit, & senem
Accuratè curavit, quandoquidem senectus ceperat.
Illi ut Ulyssem viderunt, agnoverunque animo,
Stetérunt in domibus stupefacti; at Ulysses
Dulcibus verbis incessens, dixit,
" O senex, sede ad cœnam, & desinite mirari:
" Diù enim cibum aggredier promptì
" Manebamus in ædibus, vos expectantes semper.
Sic dixit, Dolius autem rectà ivit manibus extensis
Ambabus, Ulyssisque captas osculatus est manus ad carpum,

Σ Χ Ο Λ Ι Α.

397. * Ἐπὶ καρπῷ.] Ἐπὶ τῷ μέρει τῶν χειρῶν.

N O T Æ.

386. Ἦλθ' ὁ γέρων Δολίος) Pius hic & fidelis senex *Dolius*, qui, cum Sex Filiis, erant omni hoc tempore fidissimi Regis *Laertæ* Domestici servi, nullo modo credendus est fuisse Pater, pessimi illius *Melanthii* Caprarii, qui tamen *Dolium* aliquem habuisse Patrem dicitur; cujus soror *Melantho*, & ipsa procax fœmina, videtur fuisse; filia enim & illa *Dolii*. Aliàs enim hunc sanctum senem Duobus simul privâsset liberis *Ulysses*, quòd minimè credendum.

N O T Æ I N S C H O L I A.

397. *Hoc *Scholion*, ex *Aloysii Alemanni* MSto.

V A R I Æ L E C T I O N E S.

387. Προμολοῦσα κάλεσσεν) γρ. προμολοῦσ' ἐκάλεσσεν, *H. Steph.*

Quare ut Plures modò probavimus, ad v. 103. *Melanthos*, ità nunc *Dolios* credamus: Ut cujusvis Nominis videmus passim haud paucos ὁμωνύμους, *Nomine* nempè *eosdem*, sed *Re* & *Fortunâ*, *Animique* & *Corporis* dotibus, longè *diversos*.

393. Ἀπεκλελάθεσθε ἦ δαμῆναι) Æoles δαμῆναι, pro δαμῆναι, efferunt, ut mox, ad v. 397.

397. Ὀδυσεὺς ἦ λαβὼν κύσε) Cùm olim in Omnibus aliis Editionibus Ὀδυσεὺς scriberetur, in Casu

397. Ὀδυσεὺς) γρ. Ὀδυσεῦς, olim in pluribus; vid. Not. in *Textum*, & infrà, ad v. 415.

Ka

Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,
Ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν,
Οὐδέ τ' ὀϊομένοισι, Θεοὶ δέ σε ἦγαγον αὐτοί,
Οὖλέ τε, καὶ μέγα χαῖρε, Θεοὶ δέ τοι ὄλβια δοῖεν.
Καί μοι τῦτ' ἀγόρθυσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Ἦ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
Νοστήσαντά σε δεῦρ', ἢ ἄγγελον ὀτρυύωμεν.
Τόνδ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πένεσθαι;
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' εὐξέστῳ ἐπὶ δίφρῳ.
Ὣς δ' αὕτως παῖδες Δολίου κλυτὸν ἀμφ' Ὀδυσῆα
Δειπνάουσ' ἐπέεσσι, καὶ ἐν χείρεσσι φύοντο·
Ἐξείης δ' ἔζοντο παραὶ Δολίον πατέρα σφῶν.
Ὣς οἱ μὲν περὶ δεῖπνον ἐπὶ μεγάροισι πένοντο.
Ὄσσα δ' ἄρ' ἄγγελος ἦκα κατ' ἄστυ φοίτα πάντη,
Μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ' ὀνέπυσσε·
Οἱ δ' ἄρ' ὁμῶς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος,

Et ipsum appellans verbis velocibus allocutus est,
" O amice, quoniam rediisti cupientibus valde nobis,
" Neque *id quidem* putantibus, Dii autem te reduxerunt,
" Salveque & valde gaude, Dii verò tibi *omnia* prospera dent.
" Et mihi hoc dic verum, ut bene sciam,
" An jam apertè scit prudens Penelope
" Te huc rediisse, an nuncium properè mittamus.
Hunc respondens allocutus est prudens Ulysses,
" O senex, jam scit; quid te oportet hæc laborare?
Sic dixit: hic itaq; rursus sedit benepolitâ in sede.
Sic & eodem modo filii Dolii inclytum circa Ulyssem,
Interrogaveruntque verbis, & manibus adhæserunt:
Deinde etiam sederunt apud Dolium patrem ipsorum.
Sic hi quidem circa cœnam in ædibus laborabant.
Fama verò nuncia citò in civitatem ivit undiquaque,
Procorum odiosam mortem & parcam annuncians:
Hi igitur simul audientes iverunt aliunde alius,

ΣΧΟΛΙΑ.

409. *Δεικανόωντε.] Περισκοπάζοντε, ἐφισταμένω, καὶ ἐφιλανθρωπεύοντε.

412. *Ὄσσα.] Φήμη.

NOTÆ.

Recto, sola *Eustathii* duplex Editio. *Florentina*, & *Junii* Epitomatoris *Eustathiani*, Ὀδυσεύς, rectè legunt, in *Genitivo*, quod est *Æolicum*; ut notabamus modò, ad v. 393. Sic ibi Ἰάμβδος, pro Ἰάμβης, ut *Anacreon*, v. 1598. λάκπδος, pro λάκπης. Ità Πυλεῦς, pro Πηλέω, & Ἰδομβρεύς, pro Ἰδομενέω, ut *Theocritus* dixit, teste *Corintho*, de *Dialectis*; qui tamen *Doricum* putat, deceptus, quòd illâ Dialecto *Theocritus* præcipuè sit usus. Ità *Johannes Tzetzes*, in *Iliad.* α'. v. 37. Κλῦθί μευ) Μεῦ, ἐμοῦ Δωρικῶς, ἢ Αἰολικῶς· τὸ γὰρ ε καὶ ο τελικῶς κιρνᾶται· παρὰ μὲν τοῖς Ἴωσιν, εἰς τὸν υ διφθογγον, ἐμέο, ἐμεῦ· παρὰ δὲ τοῖς Ἀττικοῖς, εἰς τὸν ει διφθογγον, ἐμοῦ, ἐμοῦ· πλέον, πλεῖν· παρὰ δὲ τοῖς Αἰολεῦσι, καὶ Δωριεῦσιν, εἰς τὸν ευ διφθογγον, ὡς τὸ Ἀχιλέω, Ἀχιλεύς. Hinc & Nos olim, in *Esthera*, v. 280. Λήψεαι, ἀμφότερον γήθεος χάριν, ἠδὲ τόκοιο. Necesse autem est, hoc in loco, Ὀδυσεῦς, in *Genitivo* legamus; ut sic servus Domini sui manus intelligatur Osculari, non Dominus servi sui, ut rectissimè disputat *Eustath.* fol. 1965. lin. 19. *Roman.* at fol. 840. lin. 38. *Basil.* licet aliàs, Ipse *Ulysses* servorum κεφαλὰς καὶ χεῖρας ἔκυσε, *viz.* φ'. v. 225. in quem locum, vid. quæ Nos. Nostram hìc Lectionem defendit *Etymolog. M.* v. Βασιλεύς, βασιλέω· καὶ κρᾶσις ἔ ε καὶ ο, εἰς τὸν δίφθογγον, βασιλεῦς, παρὰ τοῖς Αἰολεῦσιν, ἢ Δωριεῦσιν· ἄσπερ, Ὀδυσεῦς ὃ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ ἀντὶ ὃ, Ὀδυσσέως. Ità, *Antholog.* fol. 412. Δαιμονεῦς, pro Δαιμονέω, & *Eustath.* fol. 633. lin. 39. ad *Iliad.* ι'. v. 106. Διογενὲς, γραφέσθω καὶ Διογλυεῦς, ὁμοίως τῷ Ὀδυσεῦς, hunc locum alludens.

NOTÆ IN SCHOLIA.

409. *Δεικανόωντε) Et hoc totum, quicquid id est, ex eodem MS. *Aloysio Alemanno*, excepto, quòd ibi δικανόωντε, & proindè Omnia, quasi *Accusativi* Casûs essent, solitâ *Amanuensium* incuriâ & ignorantiâ.

412. *Ὄσσα) Φήμη, ex MSto *Aloysiano*.

VARIÆ LECTIONES.

400. Θεοὶ δέ σε ἦγαγον) γρ. Θεοὶ δέ σ' ἀνήγαγον. *H. Steph.* Edit. *Venetian.* 1524.

401. Μέγα χαῖρε) γρ. μάλα χαῖρε, *Joh. Tzetzes* MS. in *Iliad.* α'. v. 2. *Florentina*, *Brevia Scholia*,

410. Σφῶν) γρ. σφέων, & σφόν.

Μυχμῷ τε, ϛοναχῇ τε, δόμων προπάροιθ' Ὀδυσῆος·
Ἐκ δ' νέκυς οἴκων Φόρεον, κ) θάπτον ἕκαϛοι·
Τὺς δ' ἐξ ἀλλάων πολίων οἰκόνδε ἕκαϛον
Πέμπον ἄγειν ἁλιεῦϛι, θοῇς ἐπὶ νηυσὶ πιθέντες·
Αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Τοῖϛιν δ' Εὐπείθης ἀνά θ' ἵϛατο, κ) μετέειπεν·
Παιδὸς γάρ οἱ ἄλαϛον ὀνὶ Φρεσὶ πένθος ἔκειτο,
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυϛεύς·
Τοῦ ὅγε δακρυχέων, ἀγορήϛατο κ) μετέειπεν,
" Ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδε μήϛατ' Ἀχαιοῖς·
" Τὺς μὲν ϛὺν νήεϛϛιν ἄγων πολέας τε κ) ἐσθλούς,
" Ὤλεϛε μ νῆας γλαφυρὰς, ἀπὸ δ' ὤλεϛε λαούς·
" Τὺς δ' ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ' ἀρίϛους.
" Ἀλλ' ἄγεθ', πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέϖθον,
" Ἢ κ) ἐς Ἦλιδα δῖαν, ὅθι κρατέουϛιν Ἐπειοί,
" Ἴομεν· ἢ κ) ἔπϖτα κατηφέες ἐσόμεθ' αἰεί·
Λώβη γὰρ τάδε γ' ἐϛὶ κ) ἐσσομένοισι πυθέϖθαι.
Εἰ δὴ μὴ παίδων τε, κασιγνήτων τε φονῆας
Τισόμεθ', ἠ κ' ἂν ἔμοιγε μετ' Φρεσὶν ἡδὺ γένοιτο
Ζωέμεν· ἀλλὰ τάχιϛα θανὼν φθιμένοισι μετείην·
Ἀλλ' ἴομεν, μὴ φθέωϛι περαιωθέντες ἐκεῖνοι.
Ὣς φάτο δακρυχέων· οἶκτος δ' ἕλε πάντας Ἀχαιούς.
Ἀϛχίμολον δέ σφ' ἦλθε Μέδων κ) θεῖος ἀοιδὸς,
Ἐκ μεγάρων Ὀδυσῆος, ἐπεὶ σφέας ὕπνος ἀνῆκεν·
Ἕϛαν δ' ἐν μέϛοισι· πάφος δ' ἕλεν ἄνδρα ἕκαϛον.
Τοῖσίδε κ) μετέειπε Μέδων, πεπνυμένα εἰδὼς,
" Κέκλυτε δὴ νεῦ μθι, Ἰθακήσιοι· ἠ γὰ Ὀδυϛεὺς
" Ἀθανάτων ἀέκητι Θεῶν τάδε μήϛατο ἔργα·
Αὐτὸς ἐγὼν εἶδον Θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆϊ
Ἐγγύθεν εἱϛήκῃ, κ) Μέντορι πάντα ἐΐκῃ.

Cum ſtrepituque, ſuſpirioque, ædes ante Ulyſſis:
Ex vero domibus mortuos portaverunt, & ſepeliverunt ſinguli.
Qui verò *erant* ex aliis civitatibus, domum unumquemque
Miſerunt ducere piſcatoribus, velocibus in navibus ponentes:
Ipſi autem in concionem iverunt congregati, dolentes cor.
At poſtquam coacti ſunt & frequentes convenerunt,
Inter hos Eupithes ſurrexit, & locutus eſt:
Ob Filium enim ei intolerabilis in mentibus dolor recondebatur,
Antinoum, quem primum interfecerat divus Ulyſſes:
Hujus gratiâ lachrymas fundens concionatus eſt & dixit,
" O amici, certè magnum opus vir hic operatus eſt Achivis:
" Hos quidem cum navibus ducens multoſque & bonos,
" Perdidit etiam naves concavas, perdidit quoque populos:
" Hos autem, poſtquam venit, interfecit Cephallenorũ longè optimos.
" Sed agitè, ante quam hic vel in Pylum citò eat,
" Vel & in Elidem divinam, ubi dominantur Epéi,
" Eamus; alioqui poſtea propudioſi erimus ſemper:
" Contumelia enim hæc ſunt & futuris memoranda;
" Si jam non filiorumque, fratrumque homicidas
" Puniemus; non mihi in mentibus dulce erit
" Vivere, ſed citiſſimè mortuus defunctis interero:
" Verùm eamus, nè præveniant tranſeuntes illi.
Sic dixit, lacrymans: miſeratio autem cepit omnes Achivos.
Interea ad ipſos venit Medon & divinus cantor,
Ex domibus Ulyſſis; poſtquam ipſos ſomnus reliquit;
Steteruntque in mediis: ſtupor verò cepit virum unumquemque.
His igitur & denuntiabat Medon, prudentia ſciens,
" Audite jam nunc me, Ithacenſes; non enim Ulyſſes
" Immortalibus ſine Diis hæc operatus eſt opera:
" Ipſe ego vidi Deum immortalem, qui Ulyſſem
" Prope ſtetit, & Mentori per omnia ſimilis fuit.

VARIÆ LECTIONES.

415. Προπάροιθ' Ὀδυσῆϊ) γρ. προπάροιθεν Ὀδυσῆος, ut ſuprà, v. 397.
416. Ἕκαϛοι) γρ. ἕκαϛον, & ἵκαϛος, *H. Stephan.* Poteſt etiam legi ἱκάϛους.
417. Ἕκαϛον) γρ. ἵκαϛος, *H. Steph.*
425. Ἀχαιοῖς) γρ. Ἀχαιοὺς, *H. Steph.*
432. Τάδε) γρ. τόδε.
436. Φθίωϛι) γρ. φθῶϛι.
443. Τάδε μήϛατο) γρ. τόδ' ἐμήϛατο.

Ἀθά-

Ἀθάναλος ᾗ Θεὸς ποτὲ μὴν προπάροιθ' Ὀδυσῆος
Φαίνετο θαρσύνων, ποτὲ ᾗ μνησῆας ὀείνων
Θωῦξε κῆ μέγαρον· τοὶ δ' ἀλχισῆνοι ἔπιπλον.
Ὣς φάτο· τὼς δ' ἄρα πάντας ἔπω χλωρὸν δέος ἧρει.
Τοῖσι ᾗ μετέφη γέρων ἥρως Ἀλιθέρσης
Μαστορίδης· ὁ γὰρ οἷος ὅρα πεφάτο κῆ ὀπίσω·
Ὅς σφιν εὐφρονέων ἀγορήσατο κῆ μετέειπεν,
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ, τι κέν εἴπω,
Ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένηται·
Οὐ γὰρ ἐμοὶ πείθεσθ', ὄ Μέντορι ποιμένι λαῶν,
Ὑμετέρους παῖδας καταπαύεμεν ἀφροσυνάων·
Οἵ μέγα ἔργον ἔρεζον ἀταθαλίῃσι κακῇσι,
Κτήματα κείροντες, κῆ ἀτιμάζοντες ἄκοιτιν
Ἀνδρὸς ἀμύμονος· τὸ δ' οὐκ ἔπ φάτο νέεσθαι·
Καὶ νῦν ὧδε γένοιτο· πίθεσθέ μοι, ὡς ἀγορεύω·
Μὴ ἴομεν, μή πῃ τὶς ἐπίσπασον κακὸν εὕρῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρ' ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ,
Ἡμίσεων πλέιους· τοὶ δ' ἀθρόοι αὐτόθι μεῖναν·
Οὐ γάρ σφιν ἄδε μῦθος ἐνὶ φρεσὶν, ἀλλ' Εὐπείθῃ
Πείθοντ'· αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο.
Αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροῒ νώροπα χαλκὸν,
Ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος θυμοφόροιο.
Τοῖσιν δ' Εὐπείθης ἡγήσατο νηπιέῃσιν·

" Immortalis verò Deus aliquando quidem ante Ulyſſem
" Apparebat, audaciam acuens; aliquando proceſ turbans
" Turbabat per domum; hi itaque confertim cadebant.
Sic dixit, hos igitur omnes pallidus timor ſubiit.
Inter hos autem & dixit ſenex heros Alitherſes
Maſtorides; hic enim ſolus videbat præſentia & futura:
Qui ipſis benè-ſapiens concionatus eſt & dixit,
" Audite jam nunc me, Ithacenſes, quodcunque dicam;
" Veſtrâ culpâ, ô amici, hæc opera facta ſunt:
" Non enim mihi parebatis, non Mentori Paſtori populorum,
" Ut veſtros filios deſinere *faceretis* à ſtultitiis:
" Qui magnum opus fecerunt intemperie pravâ,
" Facultates arrodentes, & inhonorantes uxorem
" Viri optimi, quem non ampliùs dicebant rediturum:
" Et nunc ſic fiat; parete mihi, ſicut dico:
" Nè eamus, nè quis attractum malum inveniat.
Sic dixit; hi autem ſurrexerunt magno clamore
Mediis plures; illi igitur congregati illic manſerunt:
Non enim ipſis placuit verbum in mentibus, ſed Eupitheo
Parueruut: ſtatim verò poſtea ad arma ruerunt.
Sed poſtquam induti ſunt circum corpus ſplendido ære,
Frequentes convenerunt ante civitatem lativiam.
His autem Eupithes dux erat ſtultitiis:

ΣΧΟΛΙΑ.

461. * Ἐπίασασιν.] Καταχρηστικῶς σημαίνει τὸ ἐκτείνουσιν· ὃ ἐστιν, ὁ ἑαυτῷ τις ἐπιασάτω.

464. * Ἄδι.] Ἥδαιε.

466. * Νώροπα χαλκόν.] Ἐπαφρόδιτος, ἐν τοῖς Ὁμηρικοῖς, φησιν, Ὅτι γίγνεται ἐν Παιονίᾳ σίδηρος, ὃς ἀκονητὸς, λαμπρότατός ἐστιν· ἀφ' ὗ καὶ τὸ, Νώροπα χαλκόν.
